
3 1761 08825315 8

ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ

ΛΟΓΟΙ ΔΕΚΑ.

EUSEBII PAMPHILI

EVANGELICÆ DEMONSTRATIONIS

LIBRI DECEM

CUM

VERSIONE LATINA DONATI VERONENSIS.

RECENSUIT

THOMAS GAISFORD, S.T.P.

ÆDIS CHRISTI DECANUS

NECNON

LINGUÆ GRÆCÆ PROFESSOR REGIUS.

TOMUS II.

OXONII:

E TYPOGRAPHEO ACADEMICO.

M.DCCC.LII.



ΕΥΣΕΒΙΟΥ ΤΟΥ ΠΑΜΦΙΛΟΥ

ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ

[a]ΤΟΜΟΣ ϛ'.

ΣΑΦΩΣ ἐν τῷ πέμπτῳ συγγράμματι τῆς Εὐαγγελικῆς p. 257
Ἀποδείξεως ὡρισμένου τοῦ περὶ Πατρὸς καὶ Υἱοῦ λόγου,
καὶ Θεοῦ μὲν ἑνὸς τοῦ ἐπὶ πάντων ὡμολογημένου, δευ-
τέρας δὲ μετ' αὐτὸν ἀποδειχθείσης οὐσίας ἡγουμένης
τῶν γεννητῶν ἁπάντων, ἣν σοφίαν Θεοῦ πρωτότοκον,
[b]μονογενῆ τε υἱὸν, καὶ Θεὸν ἐκ Θεοῦ, μεγάλης τε βουλῆς b
ἄγγελον, καὶ τῶν κατ' οὐρανὸν [c]στρατιῶν ἄρχοντα, καὶ
τοῦ πατρὸς ὑπουργὸν, ναὶ μὴν καὶ Κύριον τῶν ὅλων,
καὶ Θεοῦ λόγον καὶ Θεοῦ δύναμιν, οἱ θεῖοι προηγόρευον
λόγοι, εἰ φανεῖεν ἐπὶ τοῦ παρόντος αἱ προφητικαὶ μαρ-
τυρίαι Θεὸν εἰς ἀνθρώπους ἀφίξεσθαι μέλλοντα προ-
αναφωνοῦσαι, παντί τῳ δῆλον ἐπὶ τίνα χρὴ τὴν ἀναφορὰν

[a] τόμος ϛ' sic P.S. [b] μονογενῆς S. [c] στρατειῶν] στρατιῶν P.

LIB. VI.

Quod de Patre ac Filio dicendum fuit, id plane jam in quinto Evangelicæ Demonstrationis volumine definitum est: et patrem quidem Deum unum esse constitit, alteram autem præter illum et cum illo personam esse, quæ omnia quæ facta sunt antecedat, demonstratum est: quam et sapientiam Dei primogenitam et unicum filium, Deumque de Deo, et magni consilii angelum, et cœlestis militiæ principem, et patris administrum, ad hæc et Dominum universi, et Dei Verbum, et Dei virtutem, divina prius appellabant oracula. Si ergo hoc tempore prophetica etiam testimonia Deum ad homines fuisse venturum prædixisse ostenderimus, tum unicuique planum fuerit, ad quem

τοῦ σημαινομένου ποιεῖσθαι, ὅτε μάλιστα διὰ τῶν πρό-
σθεν ἐν ἀνθρώπου μορφῇ καὶ σχήματι τοῖς ἀμφὶ τὸν
Ἀβραὰμ θεοφιλέσιν ὁ Θεὸς Λόγος ἐπ᾽ ὀνόματος Κυρίου c
καὶ Θεοῦ πέφηνε τὰς εἰς ἀνθρώπους ὀπτασίας πεποιη-
2 μένος. Φέρε οὖν ἴδωμεν, ὅπως ποτὲ μὲν Κύριον ποτὲ
δὲ Θεὸν καταβήσεσθαι εἰς ἀνθρώπους καὶ πάλιν ἀνα-
βήσεσθαι ἐναργῶς οὕτως προαναφωνεῖ τὰ παρ᾽ Ἑβραίοις
λόγια, καὶ τάς γε αἰτίας τῆς καθόδου· σημειώσῃ δ᾽ ὥς
τινα μὲν εἴρηται δι᾽ αἰνιγμάτων, τινὰ δὲ φανερώτερον.
3 Τὰ μὲν οὖν δι᾽ ἐπικρύψεως ἡγοῦμαι τῶν ἐκ περιτομῆς
ἕνεκα κεκαλυμμένως ἀποδεδόσθαι, διὰ τὰ θεσπιζόμενα d
κατ᾽ αὐτῶν σκυθρωπά· δι᾽ ἅπερ εἰκὸς ἦν καὶ ἀφανίσαι
αὐτοὺς τὴν γραφὴν, εἰ ἐκ τοῦ προφανοῦς τὴν ἐσχάτην
αὐτῶν ἀποβολὴν ἐσήμαινεν· οὕτως γοῦν καὶ τοῖς προ-
φήταις αὐτοῖς ἐπιβουλεῦσαι αὐτοὺς κατέχει λόγος, δι᾽
4 οὓς ἐποιοῦντο κατ᾽ αὐτῶν ἐλέγχους. Αἱ δὲ σαφεῖς
προφητεῖαι τὴν τῶν ἐθνῶν κλῆσιν λευκότατα περιέχουσι,
τῶν κατ᾽ εὐσέβειαν ἀγαθῶν τὰς ἐπαγγελίας οὐ τῷ Ἰου-
δαίων ἔθνει, πᾶσι δὲ ἀνθρώποις τοῖς καθ᾽ ὅλης τῆς

referre oporteat id quod significavimus, quum per ea maxime quæ antea dicta sunt demonstravimus, Deum Verbum, habitu quidem formaque hominis, nomine vero Domini ac Dei, et ipsi Abrahæ et cæteris Dei amicis viris, qui Abrahæ tempestate floruerint, seipsum videndum præbuisse. Jam nunc igitur tempus est ut videamus qua ratione nunc Dominum nunc Deum ad homines descensurum et rursus ascensurum tam evidenter Hebræorum oracula prius denuntiaverint, et quænam hujusce descensus causæ fuerint: tametsi illud tibi notandum est, alia quidem obscurius, alia autem apertius dicta inveniri. Atque ego quidem arbitror occultiora illa propter Judæos ita involute atque implicite reddita esse, quod videlicet tristia quædam in illis contra ipsos canerentur, ob quæ verisimile fuit ipsos abolituros perdituros que fuisse scripturam, si aperte extremum ipsorum interitum significasset: sic sane etiam prophetis infestos fuisse memoriæ proditum est, propterea quod ab illis reprehenderentur. Quæ vero apertius loquuntur prophetiæ, ab iis utique gentium vocatio, nullis involuta obscuritatibus, continetur: eædemque bonorum quæ a pietate proficiscuntur promissiones, non uni Judaicæ genti, sed omnibus per totum terrarum orbem hominibus, denuntiant. Quæ quum

οἰκουμένης καταγγέλλουσαι. Ὧν οὕτως ἐχόντων, καιρὸς ἤδη καὶ τῶν θείων ἐπακοῦσαι λογίων.

ΑΠΟ ΨΑΛΜΟΥ ιζ'. p. 258

Θεοῦ εἰς ἀνθρώπους ἀφίξεως δήλωσις καὶ ἐπὶ ταύτῃ κλῆσις ἐθνῶν.

1 Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ, καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων, καὶ ἔθετο σκότος ἀποκρυφὴν b αὐτοῦ, κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ.

Περὶ τῆς τοῦ Θεοῦ Λόγου εἰς ἀνθρώπους ἐπιδημίας.

2 Ἡγοῦμαι διὰ τούτων ἄντικρυς Θεοῦ κάθοδον οὐρανόθεν παρίστασθαι· προειπὼν γὰρ πολλὰς θεολογίας, ἐπιλέγει τὰ ἐκκείμενα. Τῷ δὲ λέγειν κλίνειν αὐτὸν [e] οὐρανοὺς καὶ κατεληλυθέναι, σημαίνει τὴν ὑποστολὴν τῆς ἐνθέου δόξης, ἣν ὁ θεῖος ἀπόστολος παριστὰς ἔλεγεν, ὃς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ' αὑτὸν ἐκένωσε, μορφὴν δούλου λαβών. Καὶ τὸ ἐπέβη δὲ ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη αἰνίττεσθαί c μοι δοκεῖ τὴν ἐπὶ [f] τὴν τοῦ Θεοῦ δόξαν ἀποκατάστασιν, ἣν πεποίηται ἀγγελικαῖς καὶ θείαις δυνάμεσι δορυφορούμενος. Ὃ καὶ αὐτὸ δηλοῦσθαί μοι δοκεῖ διὰ τοῦ ἐπε-

[d] Sic P.S. [e] οὐνὸν S. [f] τὴν add. P.

sic se res habeant, jam nunc oracula quoque divina audire tempus fuerit.

A PSALMO XVII.

1 *Et inclinavit cœlos et descendit, et caligo sub pedibus ejus: et ascendit super cherubim, et volavit: volavit super pennas ventorum: et posuit tenebras latibulum suum, in circuitu ejus tabernaculum ejus.* Ps. 17, 9.
Arbitror ex his planissime Dei de cœlo descensum ostendi: postquam enim multas theologias enuntiavit, tum ea quæ exposita sunt adjungit. Porro dum dicit *inclinasse illum cœlos, et sic descendisse,* contractionem divinæ gloriæ significat, quam divinus apostolus declarans ait, *Qui quum in forma Dei esset, non rapinam arbitratus est esse se æqualem Deo: sed seipsum exinanivit, formam servi accipiens.* Phil. 2, 6. Illud autem, *Ascendit super cherubim et volavit,* significare mihi videtur, quod gloriæ Dei esset restituendus, atque interim angelicis divinisque copiis constipandus: quod item mihi declarare illud videtur, *Volavit super pennas ventorum:* quod autem *tenebras latibulum suum posuerit,*

3 τάσθη ἐπὶ πτερύγων ἀνέμων. Τὸ δὲ σκότος τεθεῖσθαι τὴν ἀποκρυφὴν αὐτοῦ καὶ γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ λέγεσθαι, παραστατικὸν ἂν εἴη τῆς κρυφίου καὶ ἀπορρήτου οἰκονομίας, καθ' ἣν ταῦτα πάντα αὐτῷ ἐτελεῖτο. Κύκλῳ δὲ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ τίνα λέγεσθαι προσήκει νοεῖν, ἢ τὴν ἁγίαν αὐτοῦ καὶ καθολικὴν ἐκκλησίαν, εἴτε τὴν ἐπὶ
4 τῆς γῆς, εἴτε τὴν ἐν οὐρανοῖς; Ἑξῆς δὲ κατὰ τὸν αὐτὸν d
Ψαλμὸν τελευτῶν ὁ λόγος ὁμοῦ [f]τὴν παραίτησιν τοῦ προτέρου λαοῦ καὶ τὴν κλῆσιν τῶν ἐθνῶν προθεσπίζει, δι' ὧν φησί,

[g]Ῥῦσαί με ἐξ ἀντιλογιῶν λαοῦ, καταστήσεις με εἰς κεφαλὰς ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, [h]εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν, καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν.

Ταῦτα δὲ ὁποίας διανοίας ἔχεται, κατὰ τὸν προσήκοντα καιρὸν ἐξετασθήσεται.

ΨΑΛΜΟΥ μϛʹ. p. 259

2 Ἀνάβασις Πάντα τὰ ἔθνη κροτήσατε χεῖρας, ἀλαλάξατε τῷ Θεῷ

[f] τὴν add. P. [g] ῥύσῃ με] ῥυσαί με P. ut vulg. S. [h] εἰς—μοι add. P. et S. ubi μου non μοι.

et caliginem sub pedibus ejus dixerit, nimirum hoc sit, occultam et ineffabilem dispensationem indicantis, secundum quam universa hæc ab ipso perfecta sunt: quod autem *in circuitu ejus tabernaculum ejus* dictum sit, nihil ego aliud intelligi oportere arbitror, quam sanctam ipsius et catholicam ecclesiam, sive eam quæ in terris sive eam quæ in cœlo versatur accipias. Deinceps vero in eodem Psalmo, ubi oratio terminatur, simul et rejectionem prioris populi et vocationem gentium prædivinat, his verbis: *Eripies me de contradictionibus populi, constitues me in caput gentium. Populus quem non cognovi servivit mihi, in auditu auris obedivit mihi: filii alieni mentiti sunt mihi, filii alieni inveterati sunt, et claudicaverunt a semitis suis.* Hæc autem quonam sensu accipienda sint, suo tempore inquirendum a nobis erit.

A PSALMO XLVI.

2 Ps. 46. Ascensus *Omnes gentes plaudite manibus, jubilate Deo in voce exultationis,*

ἐν φωνῇ ἀγαλλιάσεως, ὅτι Κύριος ὕψιστος, φοβερὸς, βασιλεὺς b μέγας ἐπὶ πᾶσαν τὴν γῆν. Ὑπέταξε λαοὺς ἡμῖν, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. Ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν ἑαυτῷ, τὴν καλλονὴν Ἰακὼβ, ἣν ἠγάπησεν. Ἀνέβη ὁ Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος. Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν, ψάλατε, ὅτι βασιλεὺς πάσης τῆς γῆς ὁ Θεὸς, ψάλατε συνετῶς· ἐβασίλευσεν ὁ Θεὸς ἐπὶ τὰ ἔθνη. Ὁ Θεὸς κάθηται ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἄρχοντες λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ c Ἀβραὰμ, ὅτι τοῦ Θεοῦ οἱ κραταιοὶ τῆς γῆς σφόδρα ἐπήρθησαν.

Θεοῦ προκατεληλυθότος, καὶ [i]ἐπὶ ταύτῃ κλῆσις ἐθνῶν ἁπάντων, τὸν ἕνα καὶ μόνον Θεὸν ἐπιγνωσομένων.

2 Καὶ τί ἕτερον βούλεται σημαίνειν ἡ διὰ τούτων δηλουμένη Κυρίου τοῦ Θεοῦ ἄνοδος, ἢ τὴν πρὸ τῆς ἀνόδου κάθοδον αὐτοῦ, ἐφ᾽ ᾗ πάλιν ἡ τῶν ἐθνῶν [k]ἁπάντων κλῆσις θεσπίζεται, χαρᾶς τε καὶ εὐφροσύνης σημεῖα ἐπὶ τῇ μελλούσῃ θεογνωσίᾳ τοῖς ἔθνεσιν ἅπασιν εὐαγγελίζεται, ὅτε Κύριος αὐτὸς ὁ ὕψιστος μόνος Θεὸς καὶ βασιλεὺς ἁπάσης τῆς γῆς ὁμολογηθεὶς ὑποτάξειν λαοὺς
3 ἡμῖν λέλεκται; Ἡμῖν δὲ τίσιν; ἢ δηλαδὴ τοῖς ταῦτα προφητεύουσιν· ὃ καὶ ἔστιν ἐναργῶς ἰδεῖν πεπληρω-

[i] ἐπίκλησις] ἐπὶ ταύτῃ κλῆσις P. [k] πάντων] ἁπάντων P.

quoniam Dominus altissimus, terribilis, rex magnus super omnem terram. Subjecit populos nobis, et gentes sub pedibus nostris: elegit nobis hæreditatem sibi, speciem Jacob quam dilexit. Ascendit Deus in jubilo, Dominus in voce tubæ. Psallite Deo nostro, psallite, psallite regi nostro, psallite, quoniam rex omnis terræ Deus, psallite sapienter: regnavit Deus super gentes, Deus sedet super sedem sanctam suam. Principes populorum congregati sunt cum Deo Abraham, quoniam ipsius Dei fortes a terra vehementer elevati sunt. Quid tandem aliud præ se ferre vult is Domini ac Dei ascensus, qui hisce verbis expositus est, quam antea descendisse eum, qui nunc ascendat, post quem sane ascensum protinus gentium cunctarum vocatio canitur, hilaritatisque ac lætitiæ signa post eam quæ expectatur Dei cognitionem nationibus universis nuntiantur, quandoquidem ipsum Dominum altissimum, quem solum Deum ac regem universæ terræ confessus est, subjecturum nobis populos dicit? Nobis autem, quibus? his sane, qui hæc ipsa vaticinati sunt: quod ipsum quidem jam nunc

Dei qui prius descenderat: ac deinceps vocatio cunctarum gentium, quæ unum et solum Deum erant cognituræ.

μένον, ὅτε πάντα τὰ εἰς Χριστὸν πεπιστευκότα ἔθνη d
τοῖς λόγοις τῶν προφητῶν ὑποτέτακται. Λέγοιτο δ'
ἂν ταῦτα καὶ ἐκ προσώπου τῶν ἀποστόλων τοῦ Σωτῆρος
ἡμῶν, οἳ καὶ εἴποιεν ἂν τὸ, ἐξελέξατο ἡμῖν τὴν κληρονομίαν
4 ἑαυτοῦ. Κληρονομίαν δὲ αὐτοῦ τίνα χρὴ νοεῖν, ἢ τὴν
κλῆσιν τῶν ἐθνῶν ἁπάντων, ἣν αὐτὸς ὁ Χριστὸς τοῦ
Θεοῦ παριστὰς ἔφησε, Κύριος εἶπε πρός με, Υἱός μου εἶ
σὺ, ἐγὼ σήμερον γεγέννηκά σε· αἴτησαι παρ' ἐμοῦ, καὶ
δώσω σοὶ ἔθνη τὴν κληρονομίαν σου, καὶ τὴν κατάσχεσίν σου
5 τὰ πέρατα τῆς γῆς; Ταύτην οὖν τὴν ὑπὸ τοῦ πατρὸς
δεδομένην αὐτῷ κληρονομίαν ὑπέταξε τοῖς ἀποστόλοις
αὐτοῦ καὶ προφήταις, τῷ τοὺς εἰς αὐτὸν πεπιστευκότας p. 260
τοῖς τούτων ὑποτετάχθαι λόγοις ἀκολούθως τοῖς προ-
κειμένοις θεσπίσμασι. Καὶ ταῦτα δὲ πάντα κατορθώσας
ἐπὶ τῆς εἰς ἀνθρώπους αὐτοῦ παρουσίας ὁ Θεὸς Λόγος,
περὶ οὗ πλεῖστα ἡμῖν διείληπται, ἀνέβη ἐν ἀλαλαγμῷ.
6 Τοῦτο δὲ ἑρμηνεύων ὁ ἀπόστολός φησι· Τὸ δὲ ἀνέβη τί
ἐστιν, εἰ μὴ ὅτι καὶ κατέβη πρῶτον εἰς τὰ κατώτατα [1] μέρη
τῆς γῆς; ὁ καταβὰς, αὐτός ἐστι καὶ ὁ ἀναβὰς ὑπεράνω

[1] μέρη om. P.S.

completum plane intueri licet, quando gentes, quæ in Christi fidem venerunt, omnes oraculis prophetarum addictæ sunt. Hæc tamen eadem etiam ex apostolorum Salvatoris nostri persona dici possunt, qui quidem id ita enuntient, *elegit nobis hæreditatem suam.* Cæterum quam tandem hæreditatem accipere oportet, nisi vocationem gentium universarum, quam ipse Christus Dei quum significare vellet, ita
Ps. 2, 7. ait, *Dominus dixit ad me, Filius meus es tu, ego hodie genui te: postula a me, et dabo tibi gentes hæreditatem tuam et possessionem tuam terminos terræ?* Quæ igitur ipsa a patre data est hæreditas, hanc apostolis suis atque prophetis subjecit, dum quicunque ipsi credunt, horum præceptis ac legibus parent, quemadmodum exposita vaticinia præscribunt. Hæc vero cuncta quum Deus Verbum sub adventum suum ad homines compleverit ac perfecerit, de quo Deo Verbo jam plura tractavimus, tum *ascendit in jubilo.* Quod quidem quum apo-
Eph. 4, 9. stolus interpretaretur, ita ait, *Quod autem ascenderit, quid est, nisi quod et descenderit primum in infimas partes terræ? qui descendit, ipse est et qui ascendit supra omnes cælos:* in jubilo autem illum dicit

τῶν οὐρανῶν. Ἐν ἀλαλαγμῷ δὲ αὐτόν φησιν ἀνεληλυ-
θέναι, διὰ τὴν εἰς αὐτὸν θεολογίαν τῶν δορυφορούντων b
αὐτὸν ἀνιόντα ἀγγέλων, οἳ καὶ ἔλεγον, Ἄρατε πύλας
[m] οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε πύλαι αἰώνιοι, καὶ εἰσ-
ελεύσεται ὁ βασιλεὺς τῆς δόξης. Φωνὴν δὲ σάλπιγγος
οὐκ ἂν σφαλείης τὸ κήρυγμα εἰπὼν τὸ εὐαγγελικὸν εἰς
7 πᾶσαν ἐξηχῆσαν τὴν οἰκουμένην. Παντὸς γὰρ ὀργάνου
μουσικοῦ μεγαλοφωνοτέρας οὔσης τῆς σάλπιγγος, οἰ-
κείως παρείληπται τὸ παράδειγμα εἰς παράστασιν τοῦ
πάντων τῶν ἐξ αἰῶνος κραταιοτέραν καὶ μεγαλοφωνο-
τέραν τὴν περὶ τοῦ Χριστοῦ πᾶσιν ἀνθρώποις κατηγ- c
γέλθαι διδασκαλίαν, δι' ἧς ὥσπερ διὰ σάλπιγγος εἰς
ἐξάκουστον πάντων τῶν ἀνθρώπων βοᾷ καὶ κέκραγε τὸ
Πνεῦμα τὸ ἅγιον τὰ ἑξῆς τοῦ Ψαλμοῦ, δι' ὧν εἴρηται,
Ψάλατε τῷ Θεῷ ἡμῶν, ψάλατε, ψάλατε τῷ βασιλεῖ ἡμῶν,
ψάλατε. Ὅτι βασιλεὺς οὐκέτι μόνου τοῦ Ἰουδαίων
ἔθνους, ἀλλὰ πάσης φησὶ τῆς γῆς ὁ Θεὸς, ψάλατε συνε-
8 τῶς. Οὐκέτι γὰρ οἱ πρὶν δαίμονες, φησὶ, οὐδὲ τὰ περί-
γεια καὶ ἀπατηλὰ πνεύματα, ἀλλ' αὐτὸς ὁ Θεὸς ἐβασί-
λευσεν ἐπὶ πάντα τὰ ἔθνη, ὁ Θεὸς αὐτὸς, ὃς κάθηται

[m] οἱ—πύλαι om. S.

ascendisse ob divinas et sacras erga ipsum voces ipsum dum ascen-
deret constipantium angelorum, qui etiam illud dicebant, *Tollite* Ps. 23, 7.
*portas principes vestras, et elevamini portæ æternæ, et introibit rex
gloriæ.* Vocem autem tubæ non admodum aberraveris, si prædicationem dixeris evangelicam, quæ in totum exaudita est terrarum orbem : quum enim tuba omni alio instrumento musico vocalior sit, satis accommodata convenientique figura dictum fuerit illud ad demonstrandum quod omnibus aliis, quæ a condito ævo extiterint, robustior et vocalior cunctis hominibus denuntiata sit Christi doctrina, per quam veluti per tubam usque adeo sanctus clamat et vociferatur Spiritus, ut ab omnibus exaudiri possit hominibus, clamat vero ea quæ in eodem Psalmo sequuntur, in quibus dicitur, *Psallite Deo nostro, psallite, psallite regi nostro, psallite. Quoniam rex* non amplius unius Judaicæ gentis, sed *omnis* (inquit) *terræ Deus, psallite sapienter.* Non enim amplius (inquit) illi qui prius dæmones, neque

ἐπὶ θρόνου ἁγίου αὐτοῦ. Ἤδη δὲ πρότερον τοῦ Θεοῦ d
Λόγου τὸν θρόνον, ἐφ' ὃν καθέζεσθαι ὁ πατὴρ αὐτῷ
παρεκελεύσατο, εἰπὼν, Κάθου ἐκ δεξιῶν μου, ἕως ἂν θῶ
τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν ποδῶν σου, διὰ τοῦ πρὸ
9 τούτου συγγράμματος παρεστήσαμεν. Τὸ δὲ, ἄρχοντες
λαῶν συνήχθησαν μετὰ τοῦ Θεοῦ Ἀβραὰμ, ἔτι σαφέστερον
δηλοῖ μετατεθεῖσθαι εἰς τὸν κλῆρον τῶν πάλαι θεοφιλῶν
τοῦ Θεοῦ προφητῶν τοὺς ἐξ ἐθνῶν ἄρχοντας τῆς Χρι-
στοῦ ἐκκλησίας, οἳ καὶ τῇ δυνάμει τοῦ Σωτῆρος ἡμῶν
κραταιωθέντες σφόδρα ἐπήρθησαν, οὐδενὸς ἀνθρώπων
καταβαλεῖν αὐτοὺς καὶ ταπεινῶσαι δεδυνημένου διὰ τὴν
ἀνυψοῦσαν αὐτοὺς καὶ δυναμοῦσαν τοῦ Θεοῦ δεξιάν.
Καὶ ταῦτα δὲ ἐπὶ σχολῆς ἐντελοῦς τεύξεται διηγή- p. 261
σεως.

ΑΠΟ ΨΑΛΜΟΥ μθ'.

3 Θεὸς Θεῶν Κύριος ἐλάλησε, καὶ ἐκάλεσε τὴν γῆν ἀπὸ b
ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν· ἐκ Σιὼν ἡ εὐπρέπεια τῆς
ὡραιότητος αὐτοῦ. Ὁ Θεὸς ἐμφανῶς ἥξει, ὁ Θεὸς ἡμῶν, καὶ
οὐ παρασιωπήσεται.

Ὡς ἐμφανῶς ἥξειν ὁ Θεὸς εἰς ἀνθρώ-

circum terram versantes fallacesque spiritus, sed ipse Deus regnavit super omnes gentes, ipse inquam Deus, qui sedet super sede sancta sua. Cæterum jam antea Dei verbi sedem, super qua pater ipsum sedere jusserat illis verbis, *Sede a dextris meis, donec ponam inimicos tuos scabellum pedum tuorum,* eo qui hunc antecedit libro pro viribus declaravimus. Illud autem, *Principes populorum congregati sunt cum deo Abraham,* adhuc apertius demonstrat commutatos esse in sortem veterum religiosorum Dei prophetarum assumptos de gentibus ecclesiæ Christi principes, qui etiam virtute Salvatoris nostri corroborati in sublime admodum evecti sunt, quippe quos nemo ex omnibus hominibus dejicere aut prosternere potuerit, ob eam, qui ipsos extollit fortesque facit, summi Dei dextram Cæterum hæc majus otium nacti absolutius aliquando enarrabimus.

A PSALMO XLIX.

3 *Deus Deorum Dominus loquutus est, et vocavit terram a solis ortu usque ad occasum. Ex Sion species decoris ejus: Deus manifeste veniet, Deus noster, et non silebit.* Et post nonnulla alia: *Audi*

Ps. 49. Quod manifeste ad venturus

πους λέγεται, καὶ πᾶν γένος ἀνθρώπων πρὸς ἑαυτὸν ἀνακαλέσασθαι.

2 Καὶ μεθ' ἕτερα·

"Ἄκουσον (φησὶ) λαός μου, καὶ λαλήσω σοὶ, Ἰσραὴλ, καὶ διαμαρτύρομαί σοι. Ὁ Θεὸς ὁ Θεός σου εἰμὶ ἐγώ. Οὐκ ἐπὶ ταῖς θυσίαις σοῦ ἐλέγξω σέ. Τὰ δὲ ὁλοκαυτώματά σου ἐνώπιόν μου εἰσὶ διὰ παντός. Οὐ δέξομαι ἐκ τοῦ οἴκου σοῦ c μόσχους, οὐδὲ ἐκ τῶν ποιμνίων σοῦ χιμάρους, ὅτι ἐμά ἐστι πάντα τὰ θηρία τοῦ δρυμοῦ, κτήνη ἐν τοῖς ὄρεσι, καὶ βόες. Ἔγνωκα πάντα τὰ [n] πετεινὰ τοῦ οὐρανοῦ, καὶ ὡραιότης ἀγροῦ μετ' ἐμοῦ ἐστίν. Ἐὰν πεινάσω, οὐ μή σοι εἴπω. Ἐμὴ γάρ ἐστιν ἡ οἰκουμένη, καὶ τὸ πλήρωμα αὐτῆς. Μὴ φάγομαι κρέα ταύρων, ἢ αἷμα τράγων πίομαι; θῦσον τῷ Θεῷ θυσίαν αἰνέσεως, καὶ ἀπόδος τῷ ὑψίστῳ τὰς εὐχάς σου, καὶ ἐπικάλεσαί με ἐν ἡμέρᾳ θλίψεως.

3 Κἀνταῦθα ἡ θεία πρόρρησις σαφῶς Θεὸν ἐμφανῶς ἥξειν θεσπίζει, οὐκ ἄλλον ἢ τὸν τοῦ Θεοῦ Λόγον δηλοῦσα. Καὶ τὸ αἴτιον δὲ τῆς παρουσίας αὐτοῦ σαφέστατα παρίστησιν, αὖθις τὴν κλῆσιν σημαίνουσα τῶν d καθ' ὅλης τῆς οἰκουμένης ἐθνῶν. Ἐκάλεσε γοῦν, φησὶ, τὴν γῆν, ἀπὸ ἀνατολῶν ἡλίου καὶ μέχρι δυσμῶν. Σφόδρα δὲ ἀκολούθως μετὰ τὴν ἐπιφάνειαν αὐτοῦ καὶ μετὰ τὴν κλῆσιν τῶν ἐθνῶν τὴν παραίτησιν τῆς κατὰ τὸν Μωσέως

[n] πετηνὰ P.

dicitur Deus, et omne genus hominum ad seipsum revocaturus.

(inquit) *populus meus, et loquar tibi, Israel, et testificabor tibi, Deus Deus tuus sum ego. Non in sacrificiis tuis arguam te: holocausta autem tua in conspectu meo sunt semper. Non accipiam de domo tua vitulos, neque de gregibus tuis hircos, quoniam meæ sunt omnes feræ sylvarum, jumenta in montibus, et boves: cognovi omnia volatilia cæli, et pulchritudo agri mecum est. Si esuriero non dicam tibi, meus est enim orbis terræ, et plenitudo ejus. Nunquid manducabo carnes taurorum, aut sanguinem hircorum potabo? immola Deo sacrificium laudis, et redde altissimo vota tua, et invoca me in die tribulationis.* Etiam hoc loco divina prædictio plane Deum manifeste venturum canit, quæ quidem non alium quam ipsum Dei Verbum significat. Illius vero adventus causam manifestissime indicat, ac gentium rursus, quæ in tota terra continentur, vocationem futuram denuntiat. *Itaque vocavit,* inquit, *terram, ab ortu solis usque ad occasum.* Miro autem quodam ordine, post adventum illius et post gentium vocationem,

νόμον σωματικωτέρας λατρείας διδάσκει, ἣ καὶ αὐτὴ
τέλους ἔτυχε μετὰ τὴν τοῦ Θεοῦ Λόγου εἰς πάντας ἀν-
4 θρώπους ἐπιφάνειαν. Ἐξ ἐκείνου γάρ τοι καὶ εἰς δεῦρο
κέκληνται μὲν πάντες οἱ ἐπὶ πάσης τῆς οἰκουμένης ἄν-
θρωποι, καὶ πάντα τὰ ἀπὸ ἀνατολῶν καὶ μέχρι δυσμῶν
ἔθνη· πέπαυται δὲ καὶ καθῄρηται ἡ κατὰ Ἰουδαίους
θρησκεία, κατὰ τὴν καινὴν διαθήκην τοῦ εὐαγγελικοῦ p. 262
κηρύγματος, ἀλλ᾽ οὐ κατὰ τὸν Μωσέως νόμον, πάντων
ἀνθρώπων εὐσεβεῖν παρηγγελμένων. Ταῦτα δὲ καὶ ἐπὶ
τὴν δευτέραν καὶ ἔνδοξον ἐπιφάνειαν τοῦ Σωτῆρος ἀνα-
φέροιτο ἄν.

ΑΠΟ ΨΑΛΜΟΥ πγ΄.

Ὡς ἐπὶ γῆς ὀφθήσεσθαι ὁ Θεὸς λέγεται διὰ τῆς τοῦ Χριστοῦ εἰς ἀνθρώπους ἐπιφανείας.

4 Ὀφθήσεται ὁ Θεὸς τῶν Θεῶν ἐν Σιών. Κύριε ὁ Θεὸς b
τῶν δυνάμεων εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι ὁ
Θεὸς Ἰακώβ· ὑπερασπιστὰ ἡμῶν ἴδε ὁ Θεὸς, καὶ ἐπίβλεψον
ἐπὶ τὸ πρόσωπον τοῦ Χριστοῦ σου.

2 Τὸν Θεὸν τῶν Θεῶν ὀφθήσεσθαι προειπὼν, εὔχεται
τὴν ἐπιφάνειαν αὐτοῦ ᾗ τάχος ἐπιστῆναι, καθ᾽ ὃν ὀφθή- c
σεται τρόπον διδάσκων διὰ τοῦ ἐπίβλεψον ἐπὶ τὸ πρόσ-

rejiciendam esse veterem illam corpori magis inservientem quam spiritui ex lege Mosis adorationem docet, quæ ipsa quoque suum contigit finem post Dei Verbi ad homines adventum. Ex illo enim ad hunc usque diem vocati jam sunt omnes de toto orbe terrarum homines, omnesque ab ortu solis usque ad occasum gentes. Cessavit autem sublatusque est Judæorum ritus, ubi ex novo evangelicæ prædicationis testamento, non autem ex lege Mosis, omnes homines Deum colere et cum pietate vivere admoniti edoctique sunt. Attamen eadem hæc ad secundum gloriosumque Salvatoris adventum referri item possunt.

A PSALMO LXXXIII.

Ps. 83, 7. Quod videndus in terra diceretur Deus, per Christi ad homines adventum.

4 *Videbitur Deus Deorum in Sion. Domine Deus virtutum exaudi orationem meam, auribus percipe Deus Jacob. Protector noster aspice Deus, et respice in faciem Christi tui.* Postquam Deum Deorum videndum prædixit, tum orat adventum ejus quam celerrime adesse, modum quo videndus sit interim docens illis verbis, *Respice in faciem Christi tui,* non aliter quam si planius dixisset, post faciem

ωπον τοῦ Χριστοῦ σου· ὡσεὶ σαφέστερον εἰρήκει, διὰ τοῦ προσώπου τοῦ Χριστοῦ σου ἐπιφάνηθι. Ἐπεὶ γὰρ ὁ ἑωρακὼς τὸν υἱὸν ἑώρακε τὸν πατέρα τὸν πέμψαντα αὐτὸν, εἰκότως διὰ τοῦ προσώπου τοῦ Χριστοῦ ἐπιφανήσεσθαι τὸν ἐν τῷ Χριστῷ κατοικοῦντα Θεὸν τῶν Θεῶν ἐπαγγέλλει.

ΑΠΟ ΨΑΛΜΟΥ ϞΕ'.

5 Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ᾄσατε τῷ Κυρίῳ πᾶσα d
ἡ γῆ. Ἄισατε τῷ Κυρίῳ, εὐλογήσατε τὸ ὄνομα αὐτοῦ.
Εὐαγγελίσασθε ἡμέραν ἐξ ἡμέρας τὸ σωτήριον αὐτοῦ. Ἀν-
αγγείλατε ἐν τοῖς ἔθνεσι τὴν δόξαν αὐτοῦ, ἐν πᾶσι τοῖς
λαοῖς τὰ θαυμάσια αὐτοῦ, ὅτι μέγας Κύριος καὶ αἰνετὸς p. 263
σφόδρα, φοβερός ἐστιν [o]ἐπὶ πάντας τοὺς θεούς.

2 Καὶ πάλιν,

Ἐνέγκατε τῷ Κυρίῳ αἱ πατριαὶ τῶν ἐθνῶν.

Καὶ πάλιν,

Εἴπατε ἐν τοῖς ἔθνεσιν, [p]ὁ Κύριος ἐβασίλευσε.

3 Καὶ ἐπὶ πᾶσιν ἐπιλέγει,

Τότε ἀγαλλιάσονται πάντα τὰ ξύλα τοῦ δρυμοῦ ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, [q]ὅτι ἔρχεται κρῖναι τὴν γῆν.

Παρουσία Κυρίου ἐπὶ γῆς, βασιλεία τε αὐτοῦ ἐπὶ τῶν ἐθνῶν, καινόν τε ᾆσμα οὐ τῷ Ἰσραὴλ, ἀλλὰ τοῖς ἔθνεσι δοθησόμενον.

o ὑπὲρ] ἐπὶ P. p ὅτι κύριος] ὁ κύριος P. q ὅτι ἥκει] ὅτι ἔρχεται P. in marg. in textu S.

Christi tui præbe teipsum videndum. Propterea enim quod *qui vidit Filium, vidit Patrem qui misit illum,* merito per faciem Christi eum qui in Christo habitat Deum Deorum videndum denuntiat. Jo. 14, 9.

A PSALMO XCV.

5 *Cantate Domino canticum novum, cantate Domino omnis terra, cantate Domino, benedicite nomini ejus, annuntiate de die in diem salutare ejus, annuntiate inter gentes gloriam ejus, in omnibus populis mirabilia ejus: quoniam magnus Dominus et laudabilis nimis, terribilis est super omnes Deos.* Et rursus, *Afferte Domino patriæ gentium.* Et rursus, *Dicite in gentibus quod Dominus regnavit.* Ad extremum vero adjungit, *Tunc exultabunt omnia ligna sylvarum a facie Domini, quoniam venit: quoniam venit judicare terram, judicabit orbem terræ in justitia,*

Ps. 95, 1. Adventus Domini in terram, regnumque ejus inter gentes, et novum Canticum non ipsi Israel, sed gentibus exhibendum.

Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν τῇ ἀληθείᾳ αὐτοῦ.

4 Κἀνταῦθα πάλιν ἐρχόμενος εἰς ἀνθρώπους Κύριος προφητεύεται, [r] καινόν τε ᾆσμα ἐπὶ τῇ παρουσίᾳ αὐτοῦ [s] ᾄσεσθαι, τὴν καινὴν [t] δηλονότι διαθήκην, οὐ τὸ Ἰου- b
δαίων ἔθνος, ἀλλὰ πᾶσαν τὴν γῆν· εὐαγγελισθήσεσθαί τε οὐκέτι τὸν Ἰσραὴλ, ἀλλὰ πάντα τὰ ἔθνη, ἐπειδήπερ αὐτῶν ἔσεσθαί φησι βασιλέα τὸν ἐρχόμενον Κύριον.
5 Τίς δ' ἂν εἴη οὗτος, ἢ ὁ Θεὸς Λόγος; ὃς μέλλων δικαιοσύνῃ τὴν οἰκουμένην καὶ ἀληθείᾳ τὴν ἀνθρωπότητα κρίνειν, ἐξίσης ἅπαντας τοὺς ἐπὶ τῆς οἰκουμένης ἀνθρώπους τῆς αὐτοῦ κλήσεως καὶ τῆς ἐπὶ ταύτῃ παρὰ τῷ Θεῷ σωτηρίας κατηξίωσεν.

ΑΠΟ ΨΑΛΜΟΥ ϟζʹ. c

Αἷσμα καινὸν, γνῶσίς τε ἐθνῶν τῆς τοῦ Κυρίου δικαιοσύνης, ἐρχόμενός τε αὐτὸς κριτὴς τῶν ὅλων.

6 *Ἄισατε τῷ Κυρίῳ ᾆσμα καινὸν, ὅτι θαυμαστὰ ἐποίησε· καὶ τὰ ἑξῆς.*

Ἐγνώρισε Κύριος τὸ σωτήριον αὐτοῦ, ἐναντίον πάντων d
τῶν ἐθνῶν ἀπεκάλυψε τὴν δικαιοσύνην αὐτοῦ.

Καὶ πάλιν,

Εἴδοσαν πάντα τὰ πέρατα τῆς γῆς τὸ σωτήριον τοῦ Θεοῦ ἡμῶν. Ἀλαλάξατε τῷ Κυρίῳ πᾶσα ἡ γῆ.

[r] *καὶ νού τι* S. [s] *ἄσασθαι* S. [t] *δῆλον ὅτι* add. P.

et populos in veritate sua. Hoc item loco venturus ad homines promittitur Dominus, novumque in adventu ejus canendum esse canticum, novum videlicet testamentum, non ab una Judaica gente, sed ab omni terra evangelioque illustrandum non amplius ipsum Israel, sed omnes gentes: quandoquidem fore ipsorum regem ait eum, qui venturus sit Dominus. Quis porro hic sit alius, quam Deus Verbum? qui justitia orbem terræ, et veritate humanitatem judicaturus, ex æquo omnibus, qui in orbem terræ essent hominibus vocationem suam, et post vocationem, salutem a Deo impertiendam esse putavit.

A PSALMO XCVII.

Ps. 97, 1. Canticum novum, gentiumque cognitio justitiæ, venturusque ipse judex universi.

6 *Cantate Domino canticum novum, quoniam mirabilia fecit,* et cætera. *Notum fecit Dominus salutare suum, in conspectu gentium revelavit justitiam suam.* Et rursus, *Viderunt omnes termini terræ salutare Dei*

Καὶ ἐπὶ πᾶσι,

Τὰ ὄρη ἀγαλλιάσονται ἀπὸ προσώπου Κυρίου, ὅτι ἔρχεται, ὅτι ἥκει κρῖναι τὴν γῆν. Κρινεῖ τὴν οἰκουμένην ἐν δικαιοσύνῃ, καὶ λαοὺς ἐν εὐθύτητι.

2 Πολλῶν ἀγαθῶν αἰτία καὶ διὰ τούτων ἡ τοῦ Κυρίου
παρουσία τοῖς ἔθνεσι γεγενῆσθαι προφητεύεται, ἃ καὶ
διὰ τῆς ἐπιφανείας τοῦ Σωτῆρος ἡμῶν ἐπὶ πέρας ἀχθέντα
δείκνυται. Ἐξ ἐκείνου γάρ τοι καὶ οὐ πρότερον τὸ και-
νὸν ᾆσμα τῆς καινῆς διαθήκης εἰς πάντας ἀνθρώπους
ᾄδεται, καὶ τὰ θαυμάσια αὐτοῦ διὰ τῆς τῶν εὐαγγελίων
γραφῆς γνώριμα καὶ ἐξάκουστα τοῖς πᾶσι γίνεται. Οὐ p. 264
μὴν ἀλλὰ καὶ τὸ σωτήριον, τὸ κατὰ τὴν ἐκ νεκρῶν
ἀνάστασιν αὐτοῦ, πᾶσιν ἀπεκαλύφθη τοῖς ἔθνεσι, καὶ
ἡ ἀληθὴς δικαιοσύνη, δι' ἧς ἐναργῶς ἀπεδείχθη, ὅτι μὴ
3 Ἰουδαίων ὁ Θεὸς μόνον, ἀλλὰ καὶ ἐθνῶν. Ἐπείπερ εἷς
ὁ Θεὸς, κατὰ τὸν ἱερὸν ἀπόστολον, ὃς δικαιώσει περιτο-
μὴν ἐκ πίστεως [u] καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Τὸ δὲ
ὅτι ἔρχεται κρῖναι τὴν γῆν γένοιτ' ἂν δηλωτικὸν καὶ τῆς
δευτέρας αὐτοῦ παρουσίας.

[u] καὶ—πίστεως ex ed. Paris. exciderunt.

nostri, jubilate Domino omnis terra. Et ad extremum, *Montes exultabunt a conspectu Domini quoniam venit, quoniam venit judicare terram, judicabit orbem terræ in justitia, et populos in æquitate.* Multorum bonorum effectorem Domini adventum gentibus contigisse, hæc verba prædicunt: quæ quidem bona per eundem Salvatoris nostri adventum exitum accepisse monstrantur. Non prius enim, sed ex illo dumtaxat, novum novi testamenti canticum apud omnes homines canitur, et mirabilia ejus per scripturam evangeliorum nota fiunt, et exaudiuntur ab omnibus. Quinetiam salutare, quod secundum reditum illius in vitam percipitur, omnibus patefactum est gentibus, et cum eo vera justitia, per quam evidenter ostensum est quod non Judæorum solum sit Deus, sed aliarum quoque gentium: *Quandoquidem, unus Deus,* ut sanctus ait apostolus, *qui justificabit circuncisionem ex fide, et præputium per fidem.* Rom. 3,30. Illud autem, *quoniam venit judicare terram,* etiam alterum illius adventum significare poterit.

ΑΠΟ ΨΑΛΜΟΥ ρς'.

Λόγος Θεοῦ εἰς ἀνθρώπους ἀποστελλόμενος ἐπὶ θεραπείᾳ καὶ σωτηρίᾳ ψυχῶν, τῶν πάλαι ἐν κακίαις [x] τετρυχωμένων.

7 [y] Ἐξομολογησάσθωσαν τῷ Κυρίῳ τὰ ἐλέη αὐτοῦ, καὶ τὰ c
θαυμάσια αὐτοῦ τοῖς υἱοῖς τῶν ἀνθρώπων. Ὅτι συνέτριψε πύλας χαλκᾶς, καὶ μοχλοὺς σιδηροῦς συνέθλασεν, ἀντελάβετο αὐτῶν ἐξ ὁδοῦ ἀνομίας αὐτῶν. Διὰ γὰρ τὰς ἀνομίας αὐτῶν ἐταπεινώθησαν, πᾶν βρῶμα ἐβδελύξατο ἡ ψυχὴ αὐτῶν· καὶ ἤγγισαν ἕως τῶν πυλῶν τοῦ θανάτου, καὶ ἐκέκραξαν πρὸς Κύριον ἐν τῷ θλίβεσθαι αὐτοὺς, καὶ ἐκ τῶν ἀναγκῶν αὐτῶν ἔσωσεν αὐτούς· ἀπέστειλε τὸν λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτοὺς, καὶ ἐρρύσατο αὐτοὺς ἐκ τῶν διαφθορῶν αὐτῶν. d

2 Καὶ μεθ' ἕτερα,

Ὑψωσάτωσαν αὐτὸν [z] ἐν ἐκκλησίᾳ λαοῦ καὶ ἐν [a] καθέδρᾳ πρεσβυτέρων αἰνεσάτωσαν αὐτόν. Ἔθετο ποταμοὺς εἰς ἔρημον, καὶ διεξόδους ὑδάτων εἰς δίψος, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Ἔθετο τὴν ἔρημον εἰς λίμνας ὑδάτων, καὶ γῆν ἄνυδρον εἰς διεξόδους ὑδάτων. Καὶ κατῴκισεν ἐκεῖ πεινῶντας, καὶ συνεστήσαντο [b] πόλεις κατοικεσίας.

3 Καὶ ταῦτα σαφῶς ὀνομαστὶ τὴν [c] τοῦ Θεοῦ Λόγου ἐξ οὐρανῶν κάθοδον εὐαγγελίζεται, τά τε τῆς παρουσίας

[x] τετρυχομένων P. [y] ἐξομολογείσθωσαν S. [z] ἐν ἐκκλ—αὐτὸν add. P.S. cum interprete. [a] καθέδραις S. [b] πόλιν S. [c] τοῦ add. P.

A PSALMO CVI.

Ps. 106, 8. Verbum Dei ad homines missum ad medelam et salutem animarum, quæ quondam vexatæ oppressæque erant in malis.

7 *Confiteantur Domino misericordiæ ejus, et mirabilia ejus filiis hominum: quia contrivit portas æreas, et vectes ferreos confregit, suscepit eos de via iniquitatis eorum, nam propter injustitias suas humiliati sunt: omnem escam abominata est anima eorum, et appropinquaverunt usque ad portas mortis, et clamaverunt ad Dominum quum tribularentur, et de necessitatibus eorum liberavit eos: misit verbum suum et sanavit eos, et eripuit eos de interitionibus eorum.* Et post alia, *Exaltent eum in ecclesia populi, et in cathedris seniorum laudent eum, posuit flumina in desertum, et exitus aquarum in sitim, terram fructiferam in salsuginem, a malitia inhabitantium in ea: posuit desertum in stagna aquarum, et terram sine aqua in exitus aquarum, et collocavit illic esurientes, et constituerunt civitatem habitationis.* Plane hæc quoque nominatim Dei Verbi de cœlo descensum annuntiant, pro-

αὐτοῦ κατορθώματα. Ἀπέστειλε γοῦν, φησὶ, τὸν Λόγον αὐτοῦ, καὶ ἰάσατο αὐτούς. Λόγον δὲ Θεοῦ ἡμεῖς σαφῶς τοῦτόν φαμεν τὸν πρὸς τοῦ πατρὸς ἀποσταλέντα πᾶσιν ἀνθρώποις σωτῆρα, ὃν καὶ διὰ τῶν ἱερῶν εὐαγγελίων
4 θεολογεῖν πεπαιδεύμεθα. Αἰνίττεται δὲ καὶ τὴν μέχρι p. 265
θανάτου κάθοδον αὐτοῦ διὰ τοὺς ἐφθακότας εἰς τοῦτον γεγεννημένην, καὶ τήν γε αἰτίαν τῆς ἀφίξεως αὐτοῦ παρίστησι, τὴν ἀπολύτρωσιν ἐμφαίνων τῶν δι' αὐτοῦ σωθησομένων. Τοὺς γὰρ ἐφθακότας ἕως τῶν πυλῶν τοῦ θανάτου ἔσωσε μόνος [d] αὐτός· τούτους δὲ καὶ ἐρρύσατο ἰασάμενος ἐκ τῶν διαφθορῶν αὐτῶν· καὶ διεπράξατό [e] γε ταῦτα οὐκ ἄλλως ἢ τοῦ θανάτου τὰς λεγομένας πύλας χαλκᾶς συντρίψας, καὶ τοὺς σιδηροῦς μοχλοὺς b
5 συγκλάσας. Καὶ δὴ μετὰ ταῦτα ἀκολούθως προφητεύει τὴν εἰς ἔρημον κατάστασιν τῶν μὴ ἐλθόντα παραδεξαμένων αὐτόν. Ἔθετο γὰρ, φησὶ, ποταμοὺς εἰς ἔρημον καὶ διεξόδους ὑδάτων εἰς δίψος, γῆν καρποφόρον εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων ἐν αὐτῇ. Ἃ καὶ νοήσεις ἀναδραμὼν τοῦ Ἰουδαίων ἔθνους ἐπὶ τὴν πάλαι βοωμένην

d αὐτοὺς] αὐτὸς P. e τε S.

sperosque ejusdem adventus successus, *Misit,* inquit, *Verbum suum, et sanavit eos.* Verbum autem Dei nos plane hoc dicimus, quod salutis causa ad omnes homines a patre missum est, quodque ex sacris evangeliis celebrare ut Deum edocti sumus. Significat præterea illius usque ad mortem descensum, quo propter eos, qui ad hanc ante ipsum venerant, usus est: etiam adventus ipsius causam docet, utique ut eos liberaret, qui per ipsum servandi erant. Nam eos qui ante ipsum usque ad portas mortis pervenerant, ipse solus servavit, atque eosdem sanitati restituens de interitionibus ipsorum eripuit, neque hoc aliter perfecit, quam eas mortis portas conterens, quæ æreæ dicuntur, et vectes confringens, qui ferrei: ac deinceps post hæc certo ordine divinat eos esse in solitudinem redigendos, qui ipsum venientem non susceperint. *Posuit* enim, inquit, *flumina in desertum, et exitus aquarum in sitim, terram fructiferam in salsuginem a malitia inhabitantium in ea.* Quæ quidem plane cognita habebis, si percurreris illam Judaicæ gentis antiquitus celebratam

Ἱερουσαλὴμ, καὶ τὴν δόξαν αὐτῆς, καὶ τὴν [f]ἐν Θεῷ
καρποφορίαν, τῶν ἐν αὐτῇ πολιτευομένων ἁγίων καὶ
6 θεοφιλῶν ἀνδρῶν ἐπὶ τοῦ παρόντος [g]ἐστερημένην. Μετὰ
γὰρ τὴν τοῦ Χριστοῦ παρουσίαν γέγονεν ἀληθῶς ἄκαρ- c
πος καὶ ἄνυδρος καὶ παντελῶς ἔρημος, καὶ ὥς φησιν
ἡ προφητεία, *εἰς ἅλμην ἀπὸ κακίας τῶν κατοικούντων
αὐτήν.* Τούτοις ἐπισυνάπτει σφόδρα ἀκολούθως προ-
φητικῷ τρόπῳ αἰνιττόμενος τῆς πάλαι ἐρήμου καὶ διψά-
δος, ἤτοι πάσης ἀνθρώπου ψυχῆς, ἢ τῆς ἐξ ἐθνῶν
ἐκκλησίας τὴν εἰς εὐσέβειαν μεταβολὴν, τήν τε ἐν θείοις
7 λόγοις καρποφορίαν. Ἃ καὶ προδήλως αἰνίττεται λέ-
γων, *Ἔθετο ἔρημον εἰς λίμνας ὑδάτων, καὶ τὰ ἑξῆς·* ἅπερ
νοῆσαι μόνου τοῦ [h]παρὰ Θεῷ γένοιτ' ἂν σοφοῦ· κατὰ
τὴν ἐπὶ τέλει τοῦ Ψαλμοῦ φήσασαν ἐπαγωγὴν, Τίς
σοφὸς, καὶ φυλάξει ταῦτα; καὶ τὰ ἑξῆς. d

ΑΠΟ ΨΑΛΜΟΥ ριζ΄.

8 Αἰνεῖτε τὸν Κύριον πάντα τὰ ἔθνη, καὶ ἐπαινεσάτωσαν
αὐτὸν πάντες οἱ λαοί· ὅτι ἐκραταιώθη ἐφ' ἡμᾶς τὸ ἔλεος p. 266
αὐτοῦ·

Ἐθνῶν κλῆσις, Θεός τε

[f] ἐθνῶν] ἐν Θεῷ P. cum interprete. [g] ὑστερημένην] ἐστερημένην P.
[h] παρὰ Θεοῦ ED. PARIS.

Hierusalem, ejusque gloriam ac divinæ frugis proventum, eorum utique sanctorum hominum Deique amicorum qui in ea vixerint, quam utique in præsenti omnibus his rebus privatam spoliatamque invenies. Nam post Christi adventum facta est vere infructuosa et sine aqua, et omnino deserta, et, ut ait prophetia, *in salsuginem a malitia inhabitantium in ea.* His adnectit deinceps, atque admodum certo ordine et prophetico more proponit, ejus quæ olim deserta et siticulosa erat, sive hanc uniuscujusque hominis animam sive de gentibus collectam ecclesiam dixeris, ejus, inquam, commutationem in sanctos mores, necnon in divinis sermonibus proventum, quæ etiam planius innuit dicens, *Posuit desertum in stagna aquarum,* &c. quæ utique intelligentia consequi ejus unius esse potest, qui apud Deum sit sapiens, sicut ea inductio habet, quæ in fine Psalmi ait, *Quis sapiens et custodiet hæc?* &c.

8 A PSALMO CXVI ET CXVII.

Ps. 117. Gentium

Laudate Dominum omnes gentes, et collaudate eum omnes populi:

καὶ τὰ ἑξῆς.

Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν.

ἐπιφανής, καὶ εὐλογημένος ὁ ἐρχόμενος [1] ἐν ὀνόματι Κυρίου.

2 Καὶ τούτου μέμνηται ἡ ἱερὰ τοῦ εὐαγγελίου γραφή, τέλους τετυχηκότος ὁπηνίκα ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν αὐτὸς ὁ Χριστὸς εἰσῄει εἰς τὰ Ἱεροσόλυμα, πολύ τε πλῆθος ἀνδρῶν καὶ παίδων προῆγεν αὐτὸν μετ' εὐφροσύνης ἐπιβοώντων, Ὡς ἀννὰ τῷ υἱῷ τῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις. b 'Αντὶ γὰρ τοῦ, Ὦ Κύριε σῶσον δή, κειμένου ἐν τῷ Ψαλμῷ, τὸ ὡς ἀννὰ Ἑβραικώτερον φάσκοντες ἐπεβόων·
3 ἑρμηνεύεται δὲ τοῦτο σῶσον δή. Καὶ τὸ, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, διασαφεῖ τὸ λόγιον ἑξῆς φάσκον, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν. Οὐκοῦν εἷς καὶ ὁ αὐτὸς ἦν ὁ ἐπιφανεὶς ἡμῖν Θεὸς Κύριος, ὁ τοῦ Θεοῦ δηλαδὴ Λόγος, ὁ καὶ διὰ τοῦτο εὐλογημένος, ὅτι δὴ ἐν ὀνόματι Κυρίου τοῦ πέμψαντος αὐτὸν πατρὸς τὴν εἰς ἀνθρώπους αὐτοῦ παρουσίαν ἐποιήσατο. 'Ελέγχων γοῦν c

[1] ἐν om. S.

quoniam confirmata est super nos misericordia ejus, et cætera. [Ps. 118, 25.] *O Domine, salvum fac jam nunc, o Domine, da profectum jam nunc, benedictus qui venit in nomine Domini. Deus Dominus et illuxit nobis.* Enimvero de hac ipsa re quemadmodum suum finem contigerit, etiam sacra evangelii scriptura mentionem facit, quo tempore Salvator ac Dominus noster, ipse Christus, Hierosolyma ingressus est, atque ingens multitudo virorum et puerorum ipsum antecedebat, cum lætitia clamantium, *Os anna filio David, benedictus qui venit in nomine Domini, os anna in excelsis.* Pro eo enim quod in Psalmo positum est, *O Domine, salvum fac jam nunc,* illud, *Os anna,* Hebraico more acclamabant, id autem in nostra lingua, *salvum fac dum*, reddi solet. Illud vero, *Benedictus qui venit in nomine Domini,* ipsum declarat oraculum, quod deinceps ita ait, *Deus Dominus et illuxit nobis.* Unus igitur idemque fuit, qui seipsum nobis ostendit Deus ac Dominus, Dei videlicet Verbum, quod etiam idcirco est benedictum, quod in nomine Domini, qui ipsum misit, patris, suum ad homines adventum exhibuit. Itaque eos arguens qui ipsi de circuncisione venienti non

vocatio, Deusque manifeste apparens, et benedictus qui venit in nomine Domini.

Matth. 21, 9.

τοὺς ἀπιστοῦντας αὐτῷ τῶν ἐκ περιτομῆς, ἔλεγε πρὸς αὐτοὺς, Ἐγὼ ἦλθον ἐν τῷ ὀνόματι τοῦ πατρός μου, καὶ οὐ λαμβάνετέ με. Ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Εἰκότως οὖν τὸ Πνεῦμα τὸ ἅγιον οὐκέτι τῷ Ἰουδαίων λαῷ, ἀλλὰ πᾶσι τοῖς ἔθνεσι, τὰ ἐν τῇ ἀρχῇ τοῦ Ψαλμοῦ προσφωνεῖ.

ΑΠΟ ΨΑΛΜΟΥ ρμγʹ.

d

9 Κύριε, τί ἐστὶν ἄνθρωπος, ὅτι ἐγνώσθης αὐτῷ, ἢ υἱὸς ἀνθρώπου, ὅτι λογίζῃ αὐτόν; Κύριε, κλῖνον οὐρανοὺς, καὶ κατάβηθι, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται.

Κύριος οὐρανόθεν κατιὼν ἀνθρώπων σωτηρίας ἕνεκεν, ᾠδή τε ἐπὶ τούτῳ ᾀδομένη καινή, [k] ἡ τῆς καινῆς διαθήκης δηλαδή.

Καὶ ὑποβὰς ἐπιλέγει,

Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί σοι.

Ἔχεσθαι καὶ ταῦτα τῆς προκειμένης ὑποθέσεως ἡγοῦμαι. p. 267
Τὴν γὰρ εἰς ἀνθρώπους γνῶσιν τοῦ Θεοῦ Λόγου θαυμάζων ὑπερεκπλήττεται τῆς φιλανθρωπίας, δι' ἧς τῆς θεότητος ὑποβὰς καὶ τοῦ συμφυοῦς μεγέθους ἑαυτὸν σμικρύνας, ἠξίωσε τῆς ἰδίας γνώσεως τὸ ἀνθρώπειον
2 γένος. Ἐνταῦθα μὲν οὖν εὔχεται λέγων, Κύριε, κλῖνον οὐρανοὺς καὶ κατάβηθι. Ἐν δὲ τῷ ἑπτακαιδεκάτῳ Ψαλμῷ

[k] καινῆς] καινὴ ἡ τῆς καινῆς P.

Jo. 5, 43. credebant, dicebat ad eos, *Ego veni in nomine patris mei, et non accipitis me. Alius si veniet in nomine proprio, illum accipietis.* Merito ergo Spiritus sanctus non amplius ad Judaicum populum, sed ad omnes gentes, ea quæ in principio Psalmi leguntur enuntiat.

A PSALMO CXLIII.

9 Ps. 143, 3. *Domine, quid est homo, quod innotuisti ei, aut filius hominis, quod reputas eum? Domine, inclina cœlos, et descende: tange montes, et fumigabunt.* Et progressus adjungit, *Deus canticum novum cantabo tibi.* Hæc quoque cum proposito argumento esse conjuncta sane ego putaverim. Cognitionem enim hominibus traditam Dei Verbi admirans, ipsam clementiam obstupescit, propter quam infra divinam suam naturam descendens, seque ipsum naturali sua magnitudine minorem efficiens, propria ipsius cognitione humanum genus dignum existimavit. Itaque hoc loco orat dicens, *Domine, inclina cœlos et descende.* At enim in decimo septimo Psalmo dictum est, *Et incli-*

Dominus de cœlo descendens salutis hominum gratia, canticumque novum super hac re canendum, novi videlicet testamenti.

Ps. 18, 8.

εἴρηται, Καὶ ἔκλινεν οὐρανοὺς, καὶ κατέβη, καὶ γνόφος ὑπὸ
τοὺς πόδας αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπε-
3 τάσθη, [l]ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων. Δι' ὧν τὰ τῆς b
ἀνόδου, ἣν ἀπὸ γῆς εἰς οὐρανοὺς ἐποιήσατο, θεσπίζει.
Ὅπως δὲ κάθοδον χρὴ νοεῖν καὶ ἄνοδον τοῦ Θεοῦ Λόγου,
οὐ τοπικῶς μεταβάσεις ποιουμένου, τροπικῶς δὲ τὰς
τοιάσδε οἰκονομίας αὐτοῦ τοῦτον τῆς γραφῆς ἀποκα-
λούσης τὸν τρόπον, ἐπ' οἰκείας ἀποδώσομεν σχολῆς.
4 Ἔδει δὲ μνημονεῦσαι ἐν τούτοις καὶ τῆς καινῆς διαθή-
κης, ἣν ἔμελλεν ἡ τοῦ Χριστοῦ παρουσία προξενήσειν
ἀνθρώποις· αὕτη δέ ἐστιν ἡ καινὴ διαθήκη μετὰ τὴν
παλαιὰν ὑπὸ Χριστοῦ πᾶσι τοῖς ἔθνεσι δεδομένη. Διό
φησι τὸ μετὰ χεῖρας λόγιον, Ὁ Θεὸς ᾠδὴν καινὴν ᾄσομαί c
5 σοι. Τὸ δὲ, ἅψαι τῶν ὀρέων καὶ καπνισθήσονται, αἰνίτ-
τεσθαι ἡγοῦμαι [m]ἐμπρησμὸν καὶ ἀφανισμὸν πάσης εἰ-
δωλολατρίας, ἥτις παρὰ τοῖς παλαιοῖς ἐν τοῖς ὄρεσι
μάλιστα ἐσπουδάζετο. Ὥστε ἤδη καὶ αὐτοὺς Ἰουδαίους
ἀπελέγχεσθαι, ὡς ἐπὶ πᾶν ὄρος ὑψηλὸν κατὰ μίμησιν
τῶν ἀλλοφύλων ἐθνῶν εἰδωλολατροῦντας.

[l] ἐπετάσθη add. P. [m] ἐμπρισμὸν vulg.

navit cœlos et descendit, et caligo sub pedibus ejus: et ascendit super Cherubim, et volavit, volavit super pennas ventorum. In quibus verbis ea quæ ad ascensum spectant, quo de terra ad cœlum se sustulit, divinat: quod autem descensum atque ascensum Dei Verbi, non quosdam ejus per locum transitus accipere oporteat, quandoquidem in hunc modum scriptura divina tales ejus dispensationes appellare consuevit, suo loco otiosius demonstrabimus. Oportet autem in his etiam novi testamenti mentionem facere, quod hominibus erat Christi adventus conciliaturus: hoc sane novum testamentum illud est, quod a Christo post vetus alterum omnibus gentibus traditum est. Proinde oraculum quod nunc in manibus est sic ait, *Deus, canticum novum cantabo tibi.* Illud autem, *Tange montes et fumigabunt,* arbitror significare, quod omnium simulachrorum cultus sit incendendus ac delendus, qui apud antiquos in montibus maxime frequentabatur: denique etiam ipsi Judæi reprehendebantur, quod in omni monte excelso ad imitationem externarum gentium simulachra colerent.

ΑΠΟ ΨΑΛΜΟΥ ρμζ´.

d

10 Ἐπαίνει Ἱερουσαλὴμ τὸν Κύριον, αἴνει τὸν Θεόν σου Σιών.

Ὁ Θεοῦ Λόγος ἐπὶ γῆς ἀποστελλόμενος, καὶ ἐν βραχεῖ χρόνῳ πάντας ἀνθρώπους διατρέχων.

Εἶθ' ὑποβάς φησιν,

Ὁ ἀποστέλλων [n] τὸ λόγιον αὐτοῦ τῇ γῇ, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

Σαφὲς δὲ ὅτι τοῦ ἀποστελλομένου ὁ ἀποστέλλων ἕτερος ὢν τυγχάνει. Ἔχεις τοιγαροῦν κἀνταῦθα τὸν μὲν ἀποστέλλοντα τὸν ἐπὶ πάντων Θεὸν, τὸν δὲ ἀπο- p. 268
στελλόμενον τὸν Λόγον, ὃς πολυώνυμος ὢν, τοτὲ μὲν Σοφία, τοτὲ δὲ [o] Λόγος, ἄλλοτε δὲ Θεὸς, καὶ πάλιν Κύ-
2 ριος διὰ τῶν θείων χρησμῶν ἀνηγόρευται. Ἐπιστήσας δέ τινα τρόπον ἐν σφόδρα χρόνῳ βραχεῖ τὴν πᾶσαν οἰκουμένην ἔπλησεν ὁ τῆς διδασκαλίας αὐτοῦ λόγος, εὖ οἶδ' ὅτι τὸ ἀποτέλεσμα θαυμάσεις τῆς προρρήσεως φασκούσης, ἕως τάχους δραμεῖται ὁ λόγος αὐτοῦ.

ΑΠΟ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ.

11 Καὶ ἐλάλησε Δαβὶδ τῷ Κυρίῳ τοὺς λόγους τῆς ᾠδῆς c
ταύτης.

Κύριος ἐξ οὐρανοῦ

[n] τὸν λόγον] τὸ λόγιον S. [o] λόγον S.

A PSALMO CXLVII.

10 *Lauda Hierusalem Dominum, lauda Deum tuum Sion.* Deinde paululum progressus ait, *Qui emittit eloquium suum terræ, velociter curret sermo ejus:* constat autem eum qui mittit ab eo qui mittitur esse diversum. Habes igitur etiam hoc loco eum quidem qui mittit, supremum Deum, eum vero qui mittitur, sermonem: qui quum multa habeat nomina, nunc Sapientia, nunc Sermo, et interdum Deus, et alias Dominus in divinis oraculis nuncupatur: quod si attenderis quemadmodum brevissimo tempore omnem terrarum orbem sermo doctrinæ illius impleverit, profecto vaticinii obstupesces eventum dicentis, *velociter curret sermo ejus.*

Ps. 147, 12. Dei Verbum in terram missum, et brevi tempore percurrens universos homines.

A SECUNDO REGNORUM.

11 *Et locutus est David Domino verba carminis hujus.* Deinde pro-

2 Reg. 22. Dominus de

Εἶθ' ἑξῆς φησὶ,

Καὶ ἔκλινεν οὐρανοὺς καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ. Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ [p]καὶ ἐπετάσθη, ἐπετάσθη ἐπὶ πτερύγων ἀνέμων, καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ.

2 Καὶ ἐπὶ τέλει τῆς αὐτῆς ᾠδῆς,

[q]Ῥῦσαί με, φησὶν, ἐξ ἀντιλογιῶν λαοῦ. Καταστήσεις με εἰς κεφαλὴν ἐθνῶν. Λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι, εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μου, υἱοὶ ἀλλότριοι [r]ἀπορριφθήσονται.

κατιών, ἡγούμενος τῶν πρὶν οὐκ ἐγνωκότων αὐτὸν ἐθνῶν, τὸ δὲ Ἰουδαίων ἔθνος ἀποστραφησόμενος.

3 Ὁ κλίνας οὐρανοὺς καὶ καταβὰς Θεὸς, ὁ ἐπιβὰς ᾧ ἀνείληφεν ἀνθρώπῳ, ὅντινα νῦν Χερουβὶμ ὁ λόγος ὀνομάζει, ἀνέπτη σὺν αὐτῷ τὴν ἄνοδον πεποιημένος μετὰ τῶν δορυφορούντων αὐτὸν θείων πνευμάτων, πτερύγων ἀνέμων καὶ αὐτῶν χρηματιζόντων. [s]Σκοτεινῶς δὲ ταῦτα καὶ ἐν παραβύστῳ γεγενῆσθαι κατά τινας ἀπορρήτους καὶ λανθάνοντας αἰνίττεται λόγους, φάσκων, Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. Τὰ δὲ ἑξῆς ἀκολούθως τῇ τοῦ Χριστοῦ ἐνανθρωπήσει τὴν κατ' αὐτοῦ γενομένην ἀντιλογίαν τοῦ Ἰουδαίων λαοῦ σημαίνει, καὶ τὴν τῶν ἐθνῶν d

[p] ἐπετάσθη add. P. [q] Ῥύσῃ] ῥῦσαι P.S. [r] ἀπορριφήσονται P.
[s] σκοτεινῶν S.

gressus, ita ait [v. 10.], *Et inclinavit cœlos et descendit, et caligo sub pedibus ejus: et ascendit super cherubim, et volavit, volavit super pennas ventorum, et posuit tenebras latibulum suum*, tum in fine ejusdem carminis, *Libera me*, inquit, *de contradictionibus populi, constitues me in caput gentium, populus quem non cognovi servivit mihi, in auditu auris obedivit mihi, filii alieni rejicientur.* Qui inclinavit cœlos et descendit Deus, qui assumptum sibi hominem inscendit (quem sane hominem, nunc oraculum cherubim nominat) volavit cum eo sursum comitantibus stipantibusque ipsum divinis spiritibus, qui nunc ipsi quoque ventorum pennæ appellantur: obscure vero hæc et in abscondito facta esse per quædam arcana et latentia verba significat, ubi ait, *Et posuit tenebras latibulum suum.* Quæ vero sequuntur deinceps assumptæ a Christo hominis naturæ consentanea sunt, et contradictionem quæ adversus illum facta est Judaici populi præcinunt, nec

cœlo descendens, qui gentium, quæ prius illum non cognoscebant dux existit, et a Judaica gente seipsum est aversurus.

[t]ὑπακοὴν τῆς τοῦ Χριστοῦ διδασκαλίας. Αὐτοῖς δὲ ῥήμασι τὰ παραπλήσια εὕροις ἂν καὶ [u]ἐν ἑπτακαιδεκάτῳ Ψαλμῷ, εἰς ἃ τὰ φανέντα προείρηται.

ΑΠΟ ΤΗΣ ΤΡΙΤΗΣ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ. p. 269

Θεὸς οὐρανόθεν κατιὼν, καὶ μετ' ἀνθρώπων ἐπὶ γῆς κατοικῶν.

12 Καὶ νῦν, Κύριε, ὁ Θεὸς Ἰσραὴλ, πιστωθήτω δὴ [v]τὸ ῥῆμά b
σου, ὃ ἐλάλησας τῷ παιδί σου τῷ Δαβὶδ τῷ πατρί μου.
Ὅτι εἰ ἀληθῶς κατοικήσει Θεὸς μετὰ ἀνθρώπων ἐπὶ γῆς, εἰ
ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι.

2 Κεῖται ταῦτα αὐταῖς λέξεσιν καὶ ἐν Παραλειπομέναις.
Τῷ μὲν οὖν Δαβὶδ ἐπηγγείλατο ὁ Θεὸς ἀναστήσειν ἐκ
κοιλίας αὐτοῦ βασιλέα, οὗ πατὴρ αὐτὸς ὁ Θεὸς ἔσεσθαί
φησιν, ὥστε τὸν γεννώμενον ἐκ σπέρματος Δαβὶδ υἱὸν
ὀνομασθῆναι Θεοῦ, θρόνον τε βασιλείας ἕξειν αἰώνιον. c
3 Ταῦτα δὲ ἐν μὲν [x]τῇ δευτέρᾳ τῶν Βασιλειῶν διὰ Νάθαν
τοῦ προφήτου ἐχρήσθη τῷ Δαβὶδ τοῦτον [y]τὸν τρόπον,

Καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σοῦ, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σοῦ, καὶ ἀναστήσω τὸ σπέρμα σοῦ μετά σε, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει μοι οἶκον τῷ ὀνόματί μου, καὶ

[t] ἐπακοὴν] ὑπακοὴν P. ὑπ' ἀκοὴν S. [u] ἐν suprasc. P. [v] τῷ S.
[x] τῆς] τῇ P. [y] τὸν add. P. sed deest S.

non doctrinæ Christi gentes esse auscultaturas: iisdem porro verbis similia invenies in Psalmo decimo septimo: in quæ quod nobis visum est, ante jam diximus.

A TERTIO REGNORUM.

3 Reg. 8, 27. Deus de cœlo descendens, et cum hominibus in terra habitans.

12 *Et nunc, Domine Deus Israel, confirmetur jam verbum tuum, quod locutus es puero tuo David patri meo. Quoniam si vere habitabit Deus cum hominibus in terra, si cœlum, et cœlum cœli non capient te.* Posita sunt eadem hæc ad verbum item in Paralipomenis [2 Par. 6, 17.]: siquidem ipsi David pollicitus fuerat Deus excitaturum se de ventre ipsius regem, cujus patrem fore se ipse Deus dixerat, usque adeo ut is qui nasceretur de semine David esset filius Dei nominandus, et solium regni æternum habiturus. Etenim hæc in secundo Regnorum per Nathan prophetam responsa sunt ipsi David, in hunc modum, *Et erit quum completi fuerint dies tui, et dormieris cum patribus tuis, suscitabo semen tuum post te, quod erit ex ventre tuo, et parabo regnum ejus. Ipse ædificabit mihi domum in nomine meo, et erigam sedem ejus usque*

2 Reg. 7, 12.

ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοὶ εἰς υἱόν.

4 Τὰ δ' αὐτὰ καὶ ἐν Παραλειπομέναις ὁμοίως εἴρηται. Ἐν δὲ Ψαλμῷ ὀγδοηκοστῷ ὀγδόῳ λέλεκται·

Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, Θεός μου, καὶ d
ἀντιλήπτωρ τῆς σωτηρίας μοῦ. Κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου, καὶ ἡ διαθήκη μοῦ πιστὴ αὐτῷ, καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ, καὶ τὸν θρόνον αὐτοῦ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ.

5 Καὶ πάλιν,

Ὤμοσα Δαβὶδ τῷ δούλῳ μοῦ, ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σοῦ, καὶ οἰκοδομήσω εἰς γενεὰν [z]καὶ γενεὰν τὸν θρόνον σοῦ.

6 Καὶ αὖθις,

Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μοῦ, εἰ τῷ Δαβὶδ ψεύσομαι. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.

7 Τούτων δὴ καὶ ὁ ἑκατοστὸς τριακοστὸς πρῶτος Ψαλ- p. 270
μὸς μνημονεύσας, ἐπὶ τὸν Χριστὸν ἀναφέρει τὰ δηλούμενα. Ἄκουε δ' οὖν καὶ τούτου·

[z] καὶ γενεὰν add. P.

in sempiternum. Ego ero illi in patrem, et ipse erit mihi in filium. Eadem vero etiam in Paralipomenis simili modo dicta sunt. In Psalmo autem octogesimo octavo dictum est, *Ipse invocabit me,* Ps. 88, 26.
Pater meus es tu, Deus meus, et susceptor salutis meæ, et ego primogenitum ponam illum excelsum præ regibus terræ: in æternum servabo illi misericordiam meam, et testamentum meum, fidele ipsi: et ponam in sæculum sæculi semen ejus, et sedem ejus sicut dies cœli. Et rursus,
Juravi David servo meo, usque in sæculum præparabo semen tuum, et ib. v. 3.
ædificabo in generationem et generationem sedem tuam. Et rursus,
Semel juravi in sancto meo, si David mentiar: semen tuum in sæculum ib. v. 36.
manet, et sedes ejus sicut sol in conspectu meo, et sicut luna perfecta in sæculum. Porro quum eadem hæc etiam centesimus tricesimus primus Psalmus commemoret, ad Christum refert ea quæ dictat.

Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ καὶ πάσης τῆς [a]πραΰτητος αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ.

Οἷς μεθ' ἕτερα ἐπιλέγει·

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν· ἐκ καρποῦ τῆς κοιλίας σοῦ θήσομαι ἐπὶ τὸν θρόνον σοῦ.

8 Καὶ ὑποκαταβὰς ἑξῆς τὸν ἐκ καρποῦ τῆς κοιλίας Δαβὶδ ἀναστησόμενον λευκότερον ὀνομάζει, λέγων,

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ b
Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην· ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

9 Ταῦτα τοιγαροῦν Σολομῶν ὁ [b]σοφώτατος τῷ ἑαυτοῦ πατρὶ χρησθέντα συννοήσας, μὴ μικρὰ, μείζονα δὲ τῆς κατὰ ἄνθρωπον φύσεως τυγχάνοντα συνιδὼν, καὶ μᾶλλον ἁρμόζοντα Θεῷ ἤπερ αὐτῷ, καίπερ ὄντι υἱῷ Δαβὶδ, συνιείς τε τὸν πρὸς τοῦ Θεοῦ πρωτότοκον ὠνομασμένον, καὶ τὸν σαφῶς προφητευόμενον υἱὸν Θεοῦ, ὑπεργέγηθε ταῖς ἐπαγγελίαις, καὶ συνεύχεται πιστωθῆναι τὰ τῆς
προρρήσεως, ἐπιδημήσειν τε τὸν προφητευόμενον, πρω- c
τότοκον καὶ Θεοῦ υἱὸν ἀναγορεύων. Διό φησι, Καὶ νῦν

[a] πραότητος] πραΰτητος P. [b] σοφότατος S.

Ps. 131. Audi igitur hunc quoque: *Memento Domine David, et omnis mansuetudinis ejus, sicut juravit Domino, votum vovit Deo Jacob.* Quibus post alia deinceps adjungit, *Juravit Dominus David veritatem, et non frustrabitur eum, de fructu ventris tui ponam super sedem tuam.* Et paulum progressus deinceps, eum qui sit de fructu ventris David suscitandus planius nominat, dicens, *Illic producam cornu David, paravi lucernam Christo meo, inimicos ejus induam confusione: super ipsum autem efflorebit sanctificatio mea.* Itaque hæc Solomon sapientissimus quæ patri suo responsa fuerant quum intellexisset non ita parva esse, sed majora quam ut naturæ hominis convenire possent, Deoque potius accommodanda quam sibi, quum esset quoque filius David, vidissetque eum, qui a Deo primo genitus nominaretur, quique plane filius Dei diceretur futurus, valde talibus promissis gavisus est: et simul exoptavit confirmari ea quæ ad hoc vaticinium pertinerent, nec non venturum illum de quo prophetia loqueretur, primogenitum ac Dei filium interim illum appellans. Quocirca sic ait, *Et nunc*

ὁ Θεὸς Ἰσραὴλ πιστωθήτω δὴ τὸ ῥῆμά σου, ὃ ἐλάλησας τῷ παιδί σου Δαβὶδ τῷ πατρί μου. Ὅτι εἰ ἀληθῶς κατοικήσει Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς, εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τοῦ οὐρανοῦ οὐκ ἀρκέσουσί σοι.

ἈΠῸ ΤΟΥ͂ ΜΙΧΑΊΑ.

13 Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ. Καὶ ἔσται Κύριος ὁ Θεὸς ἡμῶν εἰς μαρτύριον, Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. Διότι ἰδοὺ [c]Κύριος κύριος ἐκ- p. 271 πορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς, καὶ σαλευθήσεται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. Δι' ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ.

Περὶ τῆς ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδου, καὶ περὶ τῆς ἐπὶ τῆς παρουσίας αὐτοῦ γενομένης ἀποβολῆς μὲν τοῦ Ἰουδαίων ἔθνους, εἰσποιήσεως δὲ τῶν λοιπῶν ἁπάντων ἐθνῶν.

2 Καὶ νῦν ἀκαλύπτως ἐξ οὐρανοῦ κατιὼν Κύριος ὁ Θεὸς, ἐκπορευόμενός τε ἐκ τοῦ τόπου αὐτοῦ, διὰ τῶν προκειμένων κηρύττεται. Εἴη δ' ἂν ὁ τοῦ Θεοῦ Λόγος, b ὃν μόνον διὰ τῶν ἔμπροσθεν γεννητὸν ὑπάρχειν Θεὸν καὶ Κύριον μετὰ τὸν ἀνωτάτω καὶ ἐπὶ πάντων [d]ἀπεδείξαμεν. [e]Τόπον δ' αὐτοῦ οὐκ ἂν ἁμάρτοις λέγων εἶναι

[c] Κύριος] κύριος κύριος P. [d] ἐπεδείξαμεν] ἀπεδείξαμεν P. ut vulg. S. [e] Τόπου] τόπον P.

Domine Deus Israel confirmetur Verbum tuum, quod locutus es puero tuo David patri meo. Quoniam si vere habitabit Deus cum hominibus super terram, si cœlum et cœlum cœli non capient te.

A MICHEA.

13 *Audite populi omnes, et attendat terra, et omnes qui in ea sunt, et erit Dominus Deus vester in testimonium, Dominus de domo sancta sua: quoniam ecce Dominus egreditur ex loco suo, et descendet super altitudines terræ, et commovebuntur montes subter eo, et valles liquescent ut cera a facie ignis, et sicut aqua quæ defertur in descensum: propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel.* Nunc quoque aperte Dominus Deus de cœlo descendens, deque loco suo egrediens, in iis quæ proposita sunt nuntiatur: erit autem hoc Dei Verbum, quod in iis, quæ prius dicta sunt, quum genitum sit, cum esse Deum ac Dominum et omnia sub se habentem demonstravimus. Locum autem ejus non aberres si cœleste regnum esse dicas, glo-

Mic. 1, 2. De descensu de cœlo ad homines, ac de futura in adventu ejus Judaicæ gentis rejectione, et reliquarum omnium gentium adoptione.

τὴν ἐν οὐρανοῖς βασιλείαν, τόν τε ἔνδοξον τῆς θεότητος αὐτοῦ θρόνον, ὃν θεολογῶν ὁ προφήτης ἔψαλλεν, Ὁ θρόνος σου, φάσκων, ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος· ἐφ' ὃν αὐτῷ ὁ πατὴρ, ὡς ἂν υἱῷ μονογενεῖ, [f]καθέζεσθαι
3 παρεκελεύσατο εἰπὼν, Κάθου ἐκ δεξιῶν μου. Ταῦτα γὰρ σαφῶς ἤδη πρότερον ἐπὶ μόνον ἀναφέρεσθαι τὸν ἡμέ- c
τερον Σωτῆρα τὸν Θεὸν Λόγον παρεστήσαμεν· αὐτὸν δὴ οὖν τοῦτον ὁ παρὼν θεσπίζει λόγος ἐκπορεύεσθαι ἐκ τοῦ τόπου αὐτοῦ, καταβήσεσθαί τε ἐπὶ τὰ ὕψη τῆς γῆς.
4 Ποῖα δ' ἂν εἴη ταῦτα, ἢ ῥητῶς μὲν τὰ ὄρη τοῦ Ἰσραὴλ καὶ οἱ βουνοὶ, περὶ ὧν μυρίαι προφητεῖαι θεσπίζουσιν, αὐτή τε Ἱερουσαλὴμ, καὶ τὸ Σιὼν ὄρος, [g]ἐν ᾧ τὰς πλεί-στας ἐποιεῖτο διατριβὰς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν; Τούτων δὲ διαφθορὰν ἔσεσθαι καὶ ἀπώλειαν ἐπὶ τῇ τοῦ d
Χριστοῦ καθόδῳ θεσπίζει. Καὶ πρόδηλον ὡς μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν καὶ τὰ κατ' αὐτοῦ τετολμημένα τὰ προειρημένα πάντα [h]πεπολιόρκηται, καὶ εἰς
5 ἐσχάτην ἐρημίαν ἐλήλυθεν. Οὐ μὴν ἀλλὰ καὶ οἱ ἄρχοντες τοῦ Ἰουδαίων ἔθνους, ἥ τε παρ' αὐτοῖς τὸ πρὶν

[f] καθέξεσθαι S. [g] ἐν ᾧ] Forte ἐν οἷς, nam non legitur eum in monte Sion ita versatum. ED. PARIS. [h] πεπολιώρκηται P.

riosamque divinitatis ejus sedem, quam theologice extollens propheta
Ps. 45, 6. psallebat, ac dicebat, *Sedes tua Deus in sæculum sæculi:* super qua
Ps. 110, 1. ipsum sedere tanquam unicum Filium jussit Pater illis verbis, *Sede a dextris meis.* Nam hæc plane jam antea ad unum Salvatorem nostrum Deum Verbum referenda esse planum fecimus: hunc igitur ipsum præsens oraculum canit egredientem de loco suo, descensurumque super altitudines terræ. Porro autem quænam hæ sint, nisi id quod ipsa verba sonant, montes Israel et colles, de quibus innumerabiles prophetiæ vaticinantur, ipsaque Hierusalem, et cum ea mons Sion, in quo plurimum diversatus est Salvator ac Dominus noster? Nam fore talium altitudinum perditionem atque interitum canit in ipso Christi descensu: et sane constat, post Salvatoris nostri adventum postque ea quæ Judæi adversus illum sunt ausi, universa illa, quæ nuper dicta sunt, depopulata fuisse, et ad extremam solitudinem redacta esse: verum tamen Judaicæ quoque gentis principes, et quod prius penes ipsos regnum stabat, nec non sacerdotium, et prima

συνεστῶσα βασιλεία, ἱερωσύνη τε καὶ διδασκάλων [i]προ-
εδρία, ὄρη νῦν τροπικῶς ὀνομαζόμενα, σαλευθήσεσθαι
λέγονται ἐπὶ τῇ τοῦ Κυρίου ἐξ οὐρανῶν παρουσίᾳ. Καὶ
τοῦτο δὲ ὅπως τέλους ἔτυχε τίς οὐκ ἂν ὁμολογήσειε
μετὰ τοὺς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ χρόνους,
πάντ' ἐκεῖνα θεωρῶν οὐ μόνον σαλευθέντα, ἀλλὰ καὶ
ἐκποδὼν γεγενημένα; Κοιλάδες δὲ εἰσέτι νῦν τηκόμεναι
εἶεν ἂν αἱ ἀντὶ τῆς Ἱερουσαλὴμ καὶ τοῦ Σιὼν ὄρους
κατὰ πᾶσαν πόλιν συνεστῶσαι αὐτῶν συναγωγαί, ἀπο- p. 272
θρηνοῦσαι καὶ ἀποκλαιόμεναι καὶ ὡς κηρὸς ἀπὸ προσώ-
που πυρὸς [k]τηκόμεναι διὰ λύπην καὶ πένθους ὑπερβολήν,
τῆς τε τῶν οἰκείων ἐρημίας καὶ τῆς μακρᾶς καὶ πολυ-
6 ετοῦς δουλείας ἕνεκεν. Καὶ ἄλλως δὲ κατὰ διάνοιαν
ἡ τοῦ Λόγου τοῦ θείου ἐπίβασις, οὐκ ἐν χάσμασι καὶ
κοιλώμασιν, οὐδ' ἐν ταπειναῖς καὶ χαμαιπετέσι διανοίαις,
ἀλλ' ἐν ἐπηρμέναις τὸ φρόνημα κατεγίνετο. Ταύτῃ
γοῦν τροπικώτερον αὐτὸς ὁ Κύριος καταβήσεσθαι ἐπὶ
7 τὰ ὕψη τῆς γῆς εἴρητο. Ὄρη δὲ σειόμενα ὑποκάτωθεν b
αὐτοῦ αὐτὰ δὴ ἐκεῖνα ἦν ἔνθα ἀνήχθη ὑπὸ τοῦ Πνεύμα-

[i] προεδρεία] προεδρία P. [k] τῃκούμεναι (sic) S.

docentum sedes, qui nunc fontes figurate nominantur, commovenda esse dici possunt in ipso Domini de cœlo adventu: et hoc ipsum quidem finem suum contigisse quis non tandem fateatur post Salvatoris nostri Jesu Christi tempora, quum omnia illa videre possit, non solum commota, sed etiam sublata de medio? Valles autem adhuc liquescentes erunt qui pro Hierusalem proque monte Sion per omnem orbem constituti sunt eorum conventus, plorantes ac lugentes, et quasi cera a facie ignis liquescentes, propter mœroris ac luctus excessum, et propter loci patrii solitudinem, et longam atque annosam servitutem. Alio præterea intellectu divini Verbi super altitudines descensus accipi potest: quod utique non in hiatibus et convallibus, neque in abjectis atque in humum spectantibus animis et cogitationibus, sed in altius sublatis et sursum erectis versari vellet. Tali igitur figura dictum est ipsum Dominum super altitudines terræ descensurum. Qui vero concutiantur subter eo montes, ipsi illi utique erunt ad quos adductus est a Spiritu ut tentaretur a diabolo, *Quo tempore assumpsit illum diabolus in montem excelsum valde, et* Matth. 4, 8. Marc. 1, 13.

τος πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, [l]ὅτε καὶ παραλαμ-
βάνει αὐτὸν ὁ διάβολος εἰς ὄρος ὑψηλὸν λίαν, καὶ ἦν μετὰ
8 τῶν θηρίων. Ὄρη δ' ἂν εἴη αὖθις τροπικώτερον ἡ ἐν
τοῖς ὄρεσι τὸ πρὶν ἐπιτελουμένη [m]εἰδωλολατρεία, καὶ αἱ
ἐν τούτοις ἐνεργήσασαι ἀόρατοι καὶ [n]ἀρχοντικαὶ δυνά-
μεις, ἃς οὐ μικρῶς ἡ τοῦ Σωτῆρος ἡμῶν ἀνέσειέ τε καὶ
ἀνεκίνει διδασκαλία. Τούτων γὰρ [o]ὁ ἔνθεος αὐτοῦ λό-
γος, ἥ τε θαυματουργὸς καὶ παραδοξοποιὸς ἰσχὺς, λελη- c
θότως τὴν κατὰ τῶν ἀνθρώπων μακρὰν καὶ παλαιὰν
9 δυναστείαν καθῄρει. Ὡσαύτως δὲ καὶ κοιλάδες τηκό-
μεναι ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς δαίμονες ἂν εἶεν
χθόνιοι καὶ περίγειοι, καθ' ὧν τὸ καυστικὸν τῆς μοχθη-
ρίας αὐτῶν πῦρ ἠφίει, λέγων, Πῦρ ἦλθον [p]βαλεῖν ἐπὶ τὴν
γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; ὑφ' οὗ πυρὸς δὴ καιό-
μενοι, καὶ μὴ οἷοί τε ὄντες τὰς ἀπὸ τῆς ἀοράτου φλογὸς
φέρειν βασάνους, ὑπανεχώρουν τῶν ἀνθρωπείων σωμά-
των, καὶ τὸ συνέχον γε καὶ ἐλαῦνον αὐτοὺς ἀνωμολόγουν d
βοῶντες, Ἔα, τί ἡμῖν καὶ σοὶ, υἱὲ τοῦ Θεοῦ; ἦλθες πρὸ
καιροῦ βασανίσαι ἡμᾶς; οἴδαμέν σε τίς εἶ, ὁ ἅγιος τοῦ

[l] ὅτι] ὅτε P. [m] εἰδωλολατρία S. [n] ἀρχοντικαὶ] ἀρχαὶ καὶ S. cum interprete. vid. infr. p. 274 b. [o] ἡ ἔνθεος] ὁ ἔνθεος αὐτοῦ λόγος P.S. Tum ἤτε S. pro εἴτε. [p] βασιλεῖν S.

erat cum feris. Rursus etiam figuratius montes accipiemus illum simulachrorum cultum, qui prius in montibus frequentabatur, et in iis efficaciam suam ostendentes invisibiles principatus ac potestates, quas non leviter Salvatoris nostri concussit commovitque doctrina. Talium enim longam et veterem contra homines potentiam latenter delevit divinum illius verbum, et mirifica et omnem in efficiendo fidem superans vis. Eadem vero ratione etiam liquescentes ut cera a facie ignis valles dæmones erunt inferni et circum terram versantes: adversum quos ignem, qui nequitiam ipsorum combureret,
Luc. 12, 49. dimisit dicens, *Ignem veni mittere in terram, et quid volo, si jam accensus est?* quo igne correpti illi, quum invisibilis flammæ tormenta ferre non possent, de humanis corporibus recedebant, illudque ipsum quo interim cohibebantur atque impellebantur præ se ferebant,
Matth. 8, 29. Marc. 1, 24. magna voce clamantes, *Eia, quid nobis et tibi fili Dei? venisti ante tempus torquere nos? novimus te, quis sis, sanctus Dei.* Hos igitur

10 Θεοῦ. Τούτους δὲ μάλιστα ᾐκίζετο, καὶ τοὺς ἐπὶ τούτων
ἄρχοντας καθῄρει, ὅτι μὴ ἀρκεσθέντες τῇ τῶν λοιπῶν
ἐθνῶν διαφθορᾷ, δι' ἧς τοὺς πάντας εἰς τὴν πολύθεον
πλάνην καταβεβλήκεσαν, καὶ τῷ πάλαι τοῦ Θεοῦ λαῷ,
αὐτῷ δὴ τῷ ἐκ περιτομῆς, [q]ἐπιβεβουλεύκεσαν, καὶ ἀπο-
στήσαντές γε τοῦ Θεοῦ καὶ τοῦτον παντοίαις [r]περι-
έπειραν δυσσεβείαις. Διὸ καὶ μάλιστα τὴν ἐξ οὐρανῶν
11 πεποίητο ὁ Κύριος κάθοδον. Ὅθεν ἑξῆς φησὶ, *Διὰ τὴν
ἀσέβειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου
Ἰσραήλ.* Καὶ ἔτι πρὸς τούτοις τῆς ἐξ οὐρανοῦ καθόδου
τοῦ Λόγου τὴν αἰτίαν ἑξῆς διασαφεῖ, τοῦ μὲν ἐκ περι-
τομῆς λαοῦ τὰς δυσσεβείας ἀπαριθμούμενος, καὶ τὸν ἐπὶ p. 273
ταύταις μετελθόντα αὐτοὺς ὄλεθρον, τῶν δὲ ἀνὰ πᾶσαν
τὴν οἰκουμένην ἐθνῶν προαναφωνῶν τὴν κλῆσιν. Διὰ
ταῦτα γὰρ ἐπεδήμει ὁ τοῦ Θεοῦ Λόγος ἐξ οὐρανῶν ἐπὶ
12 γῆς. Καὶ τῶν γε λέξεων ἄκουε·

Δι' ἀσέβειαν οἴκου Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. Τίς ἡ ἀσέβεια οἴκου Ἰακώβ; οὐ Σαμάρεια; καὶ τίς ἡ ἁμαρτία [[s]οἴκου] Ἰούδα, οὐχὶ Ἱερουσαλήμ; καὶ θήσομαι Σαμάρειαν εἰς ὀπωροφυλάκιον ἀγροῦ, καὶ εἰς φυτείαν

[q] ἐπιβεβουλεύκασιν P. [r] περιέβαλον] περιέσπειραν P. περιέπειραν S.
[s] οἴκου om. P.

maxime verberabat, horumque principes auferebat: quoniam non satis habentes quod reliquas nationes corrupissent, corruptasque in errorem compulissent, quo Deos plures colerent, antiquo etiam illi Dei populo, qui circumcisionis usum servabat, insidiari cœperant, huncque avertentes a Deo omnis generis impietatibus implicaverant. Quare etiam maxime de cœlo descendit Dominus, ex quo ait deinceps, *Propter impietatem Jacob omnia hæc, et propter peccatum domus* Mic. 1, 5.
Israel. Ad hæc Verbi etiam de cœlo descensus causam deinceps exponit, ubi ipsius Judaici populi impietates connumerat, et ubi post impietates eum, qui ipsos invaserat, interitum, ac gentium per totum orbem vocationem enuntiat. Propterea enim de cœlo in terram Dei Verbum profectum est. Sed verba audi, *Propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel. Quæ impietas Jacob? nonne Samaria? et quod peccatum Juda? nonne Hierusalem? et ponam Samariam in pomorum custodiam in agro, et in plantationem*

ἀμπελῶνος, καὶ κατασπάσω εἰς χάος τοὺς λίθους αὐτῆς, καὶ b
τὰ θεμέλια αὐτῆς ἀποκαλύψω.

13 Καὶ ἐπιλέγει,

Κατέβη κακὰ παρὰ Κυρίου ἐπὶ πύλας Ἱερουσαλὴμ, ψόφος ἁρμάτων καὶ ἱππευόντων.

14 Καὶ αὖθις,

Ἡ δόξα τῆς θυγατρὸς Ἱερουσαλὴμ, ξύρησαι καὶ κεῖραι ἐπὶ τὰ τέκνα τὰ τρυφερά σου. Ἐμπλάτυνον τὴν χηρείαν σοῦ, ὡς ἀετὸς, ὅτι ᾐχμαλωτεύθησαν ἀπό σου.

Ἐπὶ τούτοις,

Σιὼν ὡς ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, καὶ τὸ ὄρος τοῦ οἴκου εἰς ἄλσος δρυμοῦ.

15 Σιὼν δὲ καὶ Ἱερουσαλὴμ καὶ τὸ καλούμενον ὄρος τοῦ c
οἴκου, ταῦτ᾽ ἦν ἐκεῖνα τὰ πρόσθεν δεδηλωμένα διὰ τοῦ,
Καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς, δι᾽
ἀσέβειαν Ἰακώβ. Διὰ γὰρ τὰς δρασθείσας κατ᾽ αὐτοῦ
δυσσεβείας εὐθὺς καὶ οὐκ εἰς μακρὸν καὶ τὰ ὄρη καὶ οἱ
ἐν τούτοις οἰκοῦντες πεπολιόρκηντο, ἐμπρησμόν τε καὶ
ἐσχάτην ἐρημίαν τὸ Σιὼν ὄρος ὑπέμεινε, καὶ γέγονε τὸ
16 ὄρος τοῦ οἴκου τοῦ Θεοῦ εἰς ἄλσος δρυμοῦ. Ταῦτα μὲν

vineæ, et detraham in profundum lapides ejus, et fundamenta ejus ape-
Mic. 1, 12. *riam.* Et adjungit, *Descenderunt mala a Domino super portas Hieru-*
Mic. 1, 15. *salem, sonitus curruum et equitantium.* Et rursus, *Gloria filiæ Hierusalem, rade et tonde super filios delicatos tuos, dilata viduitatem tuam*
Mic. 3, 12. *sicut aquila, quoniam captivi ducti sunt ex te.* Ad hæc, *Sion quasi ager arabitur, et Hierusalem quasi pomorum custodia erit, et mons domus in lucum sylvæ.* Porro hæc, Sion, et Hierusalem, et quod vocatur mons domus, illa ipsa sunt, quæ prius significata sunt illis verbis, *Et commovebuntur montes subter eo, et valles liquescent sicut cera a facie ignis, propter impietatem Jacob,* et cætera. Nam propter impietates quas contra ipsum gesserunt, illico neque sane multo post, et montes, et qui in illis habitabant, depopulati sunt, incendiumque atque extremam solitudinem mons Sion pertulit: et factus est mons domus Dei in lucum sylvæ. Hæc enim in domini de cœlo descensu ad illos ventura præsens quoque prophetia significat, quæ etiam evi-

οὖν ἐπὶ τῇ τοῦ Κυρίου ἐξ οὐρανῶν καθόδῳ περὶ ἐκείνους
ἔσεσθαι καὶ ἡ παροῦσα προφητεία σημαίνει, ἃ καὶ ἐν-
αργῆ τὴν ἔκβασιν εἴληφε μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν d
17 Ἰησοῦ Χριστοῦ παρουσίαν. Εἰ γοῦν τι δύναται καὶ
ἡ ἡμετέρα ἱστορία, καθ᾽ ἡμᾶς αὐτοὺς τὴν πάλαι βοωμέ-
νην Σιὼν ζεύγεσι βοῶν ὑπὸ Ῥωμαίων ἀνδρῶν ἀρουμένην
ὀφθαλμοῖς παρειλήφαμεν, καὶ τήν γε Ἱερουσαλὴμ, ὡς
αὐτό γέ φησι τὸ λόγιον, ὀπωροφυλακίου δίκην ἀπολει-
φθέντος, ἐν παντελεῖ [t] καταστᾶσαν ἐρημίᾳ· ἃ καὶ δι᾽
οὐδὲν ἕτερον αὐτοῖς ἢ διὰ τὰς δυσσεβείας αὐτῶν συμ-
βέβηκε, [u] δι᾽ ἃς καὶ ὁ Λόγος ὁ οὐράνιος ἐκ τοῦ οἰκείου
18 τόπου προελήλυθε. Καὶ δι᾽ ἑτέρας δὲ αἰτίας ὁ τοῦ Θεοῦ
Λόγος οὐρανόθεν κατεληλυθέναι τε καὶ ἐπιβεβηκέναι ἐπὶ
τὰ ὕψη τῆς γῆς ἤδη πρότερον ἐλέγετο, ὅπως τὰ μὲν
πάλαι ἐπαιρόμενα καὶ ὑπερυψούμενα κατὰ τῆς γνώσεως p. 274
τοῦ Θεοῦ ὄρη σαλευθῇ ὑποκάτωθεν αὐτοῦ, (αἱ δυνάμεις
δηλονότι αἱ ἀντικείμεναι, αἳ πρὸ τῆς αὐτοῦ παρουσίας
μετὰ τῶν λοιπῶν ἀνθρώπων καὶ τὸ Ἑβραίων ἔθνος τοῖς
τῆς δυσσεβείας καὶ [x] εἰδωλολατρείας πράγμασι [y] κατα-
δεδούλωνται,) οἱ δὲ πονηροὶ δαίμονες, (*κοιλάδες* ἐπικα-

[t] καταστῆσαν S. [u] δι᾽ ἃς add. P. [x] εἰδωλολατρίας S.
[y] καταδεδούλωντο] καταδεδούλωνται P.

dentem exitum consecuta sunt post Salvatoris nostri Jesu Christi adventum. Quod si quidquam nostra quoque historia valet, nostris ipsorum temporibus illam antiquitus celebratam Sion junctis bubus a Romanis viris arari oculis nostris inspeximus, et ipsam Hierusalem, (quemadmodum ipsum hoc ait oraculum,) instar pomorum custodiæ desertæ, ad extremam redactam solitudinem, quæ quidem ob nihil aliud eis quam propter impietates ipsorum evenere, propter quas etiam cœleste Verbum de suo loco progressum est. Ob alias vero causas Dei Verbum de cœlo et descendisse et super altitudines terræ pervenisse prius jam dictum est, utique ut qui olim extollebantur et in sublime erigebantur adversus cognitionem Dei montes commoverentur subter eo, (contrariæ videlicet potestates, quæ ante ejus adventum una cum reliquis hominibus etiam gentem Hebraicam et impietatis et simulachrorum cultus operationibus addixerant,) utque pravi dæmones, (qui valles appellantur, propterea quod in hiatibus

λούμενοι διὰ τὸ ἐν χάσμασι σκοτίοις καὶ τοῖς τῶν σωμάτων κοιλώμασιν ἐνδιατρίβειν,) ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς τηκόμενοι, τῇ τοῦ θείου Λόγου δυνάμει ἐξ ἀνθρώπων [z]ἀποφύγοιεν, καὶ ἑτέρα δ' ἂν εἴη παρὰ ταύτας b
αἰτία [a]οὐχ ἡ τυχοῦσα τῆς ἐξ οὐρανῶν καθόδου τοῦ Κυρίου, ἣν ὁ λόγος ἐπισημαίνεται, ὅπως πάντα τὰ ἐπὶ γῆς ἔθνη, τῶν δαιμόνων ἀπελασθέντων καὶ τῶν ἀρχοντικῶν πνευμάτων σεισθέντων, τῆς πάλαι αὐτῶν σκληρᾶς καὶ ἀκινήτου τυραννίδος ὑπαναπνεύσαντα, τὴν ἐπίγνω-
19 σιν τοῦ ἐπὶ πάντων ἀναλάβῃ Θεοῦ. Καὶ αὐτὰ ὧδέ πως αἱ τῆς αὐτῆς προφητείας φωναὶ ἑξῆς καὶ κατὰ τὸ αὐτὸ ὑπὸ μίαν συνάφειαν διανοίας κηρύττουσι.

Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου, [b]ἕτοιμον ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ μετεωρισθήσεται ὑπεράνω τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' [c]αὐτὸ c
λαοὶ, καὶ πορεύσονται ἔθνη πολλὰ, καὶ ἐροῦσι, δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος τοῦ Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ δείξουσιν ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ. Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν.

[z] ἀπέφυγον] ἀποφύγοιεν P. [a] οὐχὶ] οὐχ ἡ P. [b] ἑτοῖμον S. [c] αὐτῷ S.

tenebricosis et corporum cavis diversantur,) quasi cera a facie ignis liquescentes, ob Verbi divini vim de hominibus fugerent: et alia vero præter eas esse potest causa, illa quidem non vulgaris, cur Dominus de cœlo descenderit, quam oraculum juxta significat, ut omnes in orbe terrarum gentes, dæmonibus pulsis et spiritibus qui principatum habebant concussis, ab antiqua sub illis et aspera et immobili tyrannide respirantes, agnitionem supremi Dei reciperent. Quin etiam ipsa hæc in hunc modum ejusdem prophetiæ voces dein-
Es. 2, 2. ceps eadem ratione sub unam sensus copulationem enuntiant, *Et erit in novissimis diebus manifestus mons Domini, paratus in summitatibus montium: et extolletur super colles, et festinabunt ad eum populi. Et ibunt gentes multæ, et dicent, Venite, ascendamus in montem Domini, et in domum Dei Jacob, et ostendent nobis viam ejus, et ambulabimus in semitis ejus. De Sion enim exibit lex, et verbum Domini de Hierusalem, et judicabit inter gentes.* Talia sane de vocatione gentium

20 Τοιαῦτα καὶ περὶ τῆς τῶν ἐθνῶν κλήσεως, ἃ καὶ
ὁποίας ἔχεται διανοίας, ὅπως τε καὶ αὐτὰ μετὰ τὴν τοῦ
Σωτῆρος ἡμῶν παρουσίαν τέλος εἴληφεν, ἐπὶ σχολῆς
ἂν τις [d]καταμάθοι. Ἀκολούθως γε μὴν τούτοις ἀρχό-
μενος ὁ τῆς προφητείας λόγος, ὡς ἂν ἐπὶ σωτηρίᾳ οὐ d
[e]μόνον τοῦ Ἰουδαίων ἔθνους [f]ἀλλὰ γὰρ καὶ τῶν ἐθνῶν
ἁπάντων τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους καθόδου γενη-
σομένης, [g]τοῖς λαοῖς καὶ τοῖς ἐπὶ [h]τῆς γῆς ἅπασιν ἐπι-
φωνεῖ, λέγων, *Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ*
21 *γῆ, καὶ πάντες οἱ ἐν αὐτῇ.* Καὶ τὸ μαρτύριον δὲ τοῦ
πάθους ᾐνίττετο τοῦ Κυρίου ἐπιφέρων, *καὶ ἔσται Κύριος
ὁ Θεὸς ὑμῶν εἰς μαρτύριον.* Εἶθ' ἑξῆς ὁ αὐτὸς προϊὼν
προφήτης, ὡς ἂν ἤδη προπαιδεύσας τὰ περὶ τῆς ὑπάρ-
ξεως τοῦ Θεοῦ Λόγου τῆς τε ἐξ οὐρανῶν αὐτοῦ κατα-
βάσεως, καὶ ὡς τὰ αἴτια τῆς εἰς ἀνθρώπους αὐτοῦ
παρουσίας προειπὼν, ἑπομένως τὴν εἰς ἀνθρώπους αὐτοῦ p. 275
ἐσομένην γένεσιν, καὶ αὐτὸ δὴ χωρίον ἔνθα τεχθήσεσθαι
ἔμελλεν, ὧδέ πως διδάσκει λέγων,

Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ ὀλιγοστὸς εἶ τοῦ

[d] καταμάθει S. [e] μόνον S. [f] ἀλλὰ] ἀλλὰ γὰρ P.S. [g] τοῖς] πᾶσι τοῖς S. cum interp. [h] τῆς add. P. τῆς sine γῆς S.

dicta sunt: quæ quidem quo sensu accipienda sint, et quo pacto ipsa quoque post Salvatoris nostri adventum finem acceperint, per otium quis liberius discere poterit: cum iis tamen concordans quæ jam exposita sunt, in ipso prophetiæ exordio idem oraculum, non secus ac si ad salutem non Judaicæ gentis solum sed universarum gentium Domini ad homines descensus futurus esset, ad omnes populos, ad omnia quæ sunt in terra clamat dicens, *Audite populi omnes, et attendat terra, et omnes qui in ea sunt.* Testimonium vero quod contra ipsum Dominum dictum est quum esset passurus, ita significat, *et erit Dominus Deus vester in testimonium,* tum deinceps idem propheta oratione progressus, tanquam is qui ante jam docuisset ea quæ ad substantiam Dei Verbi ejusque de cœlo descensum pertinerent, et tanquam si ejus ad homines adventus causas prædixisset: ordine deinceps futurum ejusdem inter homines ortum, planeque etiam ipsum locum in quo futurum erat ut nasceretur, indicat dicens,
Et tu Bethleem domus Ephrata minima es ut sis in millibus Juda, ex Mic. 5, 2.

εἶναι ἐν χιλιάσιν Ἰούδα, ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, τοῦ εἶναι εἰς ἄρχοντα ἐν τῷ Ἰσραὴλ, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος.

22 Ἐπιμελῶς δὲ πρόσχες, τίνα τρόπον τοῦ ἐπὶ τὴν
Βηθλεὲμ, (χωρίον δέ ἐστι τοῦτο τῆς Ἰουδαίας,) φανη-
σομένου τὰς ἐξόδους ἄνωθεν καὶ ἐξ αἰῶνος ὑφεστάναι
φησὶ, τὴν ἔνθεον δηλῶν προϋπαρξίν τε καὶ οὐσίωσιν
τοῦ ἐκ Βηθλεὲμ προελευσομένου ἄρχοντος. Εἰ μὲν οὖν b
ἔχοι τις ἐφ' ἕτερον ἀναφέρειν τὸν χρησμὸν, τίς οὗτος
ἀποδεικνύτω· εἰ δ' οὐκ ἔστιν εὑρεῖν ἕτερον τοῦ Σωτῆρος
ἡμῶν Ἰησοῦ Χριστοῦ, ὃς μόνος μετὰ τὴν προφητείαν
ἐνθένδε ὡρμημένος βοᾶται, τί λοιπὸν ἐμποδὼν μὴ οὐχὶ
συνομολογεῖν ἀλήθειαν τῇ προφητείᾳ, ἐπὶ μόνῳ αὐτῷ
[i]σαλευούσῃ τὴν πρόρρησιν; Μόνος γοῦν οὗτος ἐπιφανὴς
τῶν πώποτε γεγονὼς ἐκ τοῦ προειρημένου χωρίου τῆς
Βηθλεὲμ μετὰ τοὺς προφητείας χρόνους τὸ ἀνθρώπειον
ὑποδὺς σχῆμα προελήλυθεν, ἅμα τε τῇ αὐτοῦ παρουσίᾳ c
23 ἐπληροῦτο τὰ προηγορευμένα. Αὐτίκα γοῦν καὶ οὐκ εἰς
μακρὸν τῷ μὲν Ἰουδαίων ἔθνει ἕκαστα τῶν [k]προπεφη-
τευμένων σκυθρωπῶν ἀπήντα, τοῖς δὲ ἔθνεσι πάλιν τὰ

[i] σαλευούσῃ S. [k] προφητευμένων P.

te mihi egredietur qui præsit, ut sit in principem in Israel, et exitus ejus ab initio, ex diebus sæculi. Attende vero diligenter, quemadmodum ejus qui in Bethleem sit conspiciendus (est autem Bethleem Judææ locus) exitus dicat desuper et a sæculo existere: utpote qui principis de Bethleem progressuri divinam indicare velit substantiæ antecessionem, propagationemque personæ. Si quis igitur est qui oraculum referre possit ad alium quempiam, ne cunctetur: prodat sane hunc, quisnam sit. Sed si alius præter Salvatorem nostrum Jesum Christum inveniri non potest, qui solus post talem prophetiam inde profectus celebratur, quid tandem impedimenti superest, ne una cum ipsa prophetia veritatem fateamur, quæ in unum illum suam dirigit prædictionem? Nam solus ille omnium, qui unquam extiterint, ex eo Bethleem loco, de quo jam dictum est, manifeste post ejus prophetiæ tempora humanam subiens formam progressus est, atque illico una cum ejus adventu ea quæ jam prædicta fuerant completa sunt. Itaque e vestigio sine mora quæcunque tristia et infesta Judaicæ genti præ-

ἀκόλουθα τοῖς θεσπίσμασιν, αὐτός τε οὗτος ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐκ Βηθλεὲμ ὁρμηθεὶς ἡγούμενος ἀνεδείχθη τοῦ κατὰ διάνοιαν Ἰσραὴλ, οὕτω παντὸς τοῦ διορατικοῦ καὶ θεοσεβοῦς λαοῦ χρηματίζοντος. Καὶ θέα γε ὅπως τὰς ἐξόδους αὐτοῦ τῆς ἐνθέου προϋπάρξεως ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν αἰῶνος ἔχειν λέγεται, ὅπερ οὐκ ἂν
24 ἁρμόσειεν ἀνθρώπου φύσει. Τούτοις ἑξῆς ὁ προφητικὸς d
λόγος ὑποβὰς μικρὸν, καὶ νῦν πάλιν τῆς πάλαι νομικῆς θρησκείας τὴν περιγραφὴν καὶ [l]τὴν καθαίρεσιν ὑποσημαίνει, ἐκ προσώπου τοῦ λαοῦ λέγων,

Ἐν τίνι καταλάβω τὸν Κύριον, ἐπιλήψομαι Θεοῦ μου ὑψίστου; εἰ καταλήψομαι αὐτὸν ἐν ὁλοκαυτώμασιν, ἐν μόσχοις ἐνιαυσίοις; εἰ δῶ πρωτότοκα κοιλίας μου ὑπὲρ ἁμαρτίας ψυχῆς μου;

25 Ἐκ δὲ προσώπου τοῦ Θεοῦ τοιάνδε αὐτοῖς τὴν ἀπόκρισιν ποιούμενος,

Εἰ [m]ἀνηγγέλη σοὶ, ἄνθρωπε, τί καλόν; καὶ τί Κύριος ἐκζητεῖ παρά σου, ἀλλ' ἢ τοῦ ποιεῖν κρίμα καὶ ἀγαπᾶν ἔλεος, καὶ ἕτοιμον εἶναι πορεύεσθαι ὀπίσω Κυρίου τοῦ Θεοῦ σου;

26 Ἔχεις τοιγαροῦν κἀνταῦθα ἐπὶ τῇ προφητευομένῃ τοῦ p. 276

[l] καθαίρεσιν] τὴν καθαίρεσιν P. [m] ἀναγγείλῃ] ἀνηγγέλη P.

dicta fuerant evenerunt, ac rursus cæteris gentibus oraculis consentanea, atque ipse hic Salvator et Dominus noster de Bethleem progressus, ejus Israel princeps, qui ad intelligentiam refertur, declaratus est: quippe quum eo nomine populus omnis, quicunque Deum et videre et pie colere assuetus sit, appelletur. Et sane inspice quemadmodum suæ divinæ antecedentisque substantiæ exitus ab initio et ex diebus sæculi habere dicatur, quod quidem neutiquam hominis naturæ conveniat. Post hæc paululum progressa prophetica oratio, etiam nunc rursus veteris legalis ritus circumscriptionem atque abolitionem subostendit ex persona populi, dicens, *In quo comprehendam* Mic. 6, 6. *Dominum? tenebo Deum meum altissimum? num comprehendam eum in integris sacrificiis, in vitulis anniculis? num dabo primogenita ventris mei pro peccato animæ meæ?* Ex persona autem Dei sic eis respondens ait, *Si indicaverit tibi, o homo, quid sit bonum, et quid Dominus requirat a te, nonne ut facias judicium, et diligas misericordiam, et paratus sis ambulare post Dominum Deum tuum?* Habes

Κυρίου ἐξ οὐρανῶν εἰς ἀνθρώπους καθόδῳ ὁμοῦ καὶ κατὰ τὸ αὐτὸ πλεῖστα ὅσα σημαινόμενα, Ἰουδαίων ἀποβολὴν, ἐλέγχους τῶν [n]ἀσεβειῶν αὐτῶν, καθαίρεσιν τῆς βασιλικῆς αὐτῶν μητροπόλεως, τῆς τε πάλαι πρότερον παρ' αὐτοῖς ἐπιτελουμένης κατὰ Μωυσέα λατρείας παραίτησιν· ἔμπαλιν δὲ περὶ τῶν ἐθνῶν ἀγαθὰς ἐπαγγελίας, ἐπίγνωσιν Θεοῦ, καινὸν τρόπον εὐσεβείας, νόμον [o]τε νέον καὶ λόγον ἐκ μὲν τῆς Ἰουδαίων χώρας προελευσόμενον εἰς πάντα δὲ τὰ ἔθνη διαδοθησόμενον, ἅπερ ὁποῖον τέλος καὶ ὁποίαν ἔκβασιν τῶν λόγων μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν [p]ἐπιδέδεκται, (b) σοὶ καταλείπω σκοπεῖν.

ΑΠΟ [q]ΑΜΒΑΚΟΥΜ.

14 Καὶ ἀπεκρίθη Κύριος πρός με, καὶ εἶπε, Γράψον ὅρασιν (c) σαφῶς ἐν πυξίῳ, ὅπως διώκῃ ὁ ἀναγινώσκων αὐτὰ, διότι ἔτι ὅρασις εἰς καιρὸν, καὶ ἀνατελεῖ [r]εἰς πέρας, καὶ οὐκ εἰς κενόν. Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτὸν, ὅτι ὁ ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ. Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ, ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται.

Ὡς ἐρχόμενος ἥξειν καὶ οὐ χρονίσειν ὁ τοῦ Θεοῦ Λόγος προεφητεύετο.

[n] ἀσεβῶν] ἀσεβειῶν P. [o] καινὸν] τε νέον P. [p] ἐπιδέδεκται] ἐπιδέδεικται P. [q] ἀβακοὺμ S. [r] εἰς πέρας] ἑσπέρας S. qui infra D. ἑσπέρας.

igitur hic quoque in eo, de quo prophetæ loquuntur, Domini de cœlo ad homines descensu plurima quæ simul in eodem significantur, Judæorum rejectionem, exprobrationes scelerum eorum, interitum regiæ ipsorum civitatis, ritusque Mosaici, qui apud eos olim prius servabatur, abrogationem, et e contrario ad gentes pollicitationes bonas, agnitionem Dei, novum cultus divini ritum, novamque legem, ac verbum quod de regione Judæorum sit progressurum, et in omnes gentes disseminandum, quæ quidem cujusmodi finem et cujusmodi orationis exitum post Salvatoris nostri Jesu Christi adventum ostenderint, tibi contemplandum relinquo.

AB AMBACUM.

14 *Et respondit mihi Dominus, et dixit: Scribe visionem manifeste in tabella, ut persequatur qui legit ea: quoniam adhuc visio ad tempus, et orietur ad vesperam, et non in vanum. Si tardius veniet, expecta illum: quoniam veniens veniet, et non morabitur. Si subtraxerit se, non bene sibi placet anima mea in eo, justus autem ex fide mea vivet.*

Hab. 2, 2. Quod veniens Dei Verbum, venturum neque moraturum caneretur a prophetis.

2 Καὶ ἐνταῦθα διαρρήδην ἐρχόμενον ἥξειν τὸν προφητευόμενον θεσπίζει. Τίς δ' ἦν οὗτος ἢ ὁ ἀνωτέρω δηλωθεὶς κατὰ τὸ, Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν; Τοῦτον δὲ οἷα d φῶς τυγχάνοντα εἰς πέρας ἀνατελεῖν φησὶν, ἐπὶ συντελείᾳ [s]δηλάδη τῶν αἰώνων. Ὧι συνᾴδει καὶ ὁ Ζαχαρίας λέγων, Ἰδοὺ ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ

3 [t]ἀνατελεῖ. Καὶ τὸν χρόνον ὑποσημαίνων ὁ αὐτὸς ἐπιλέγει, τὸ πρὸς ἑσπέραν ἔσται φῶς. Ἐὰν ὑστερήσῃ, ὑπόμεινον αὐτόν. Ἀνθ' οὗ ὁ Ἀκύλας πεποίηκεν, Ἐὰν δὲ μελλήσῃ προσδέχου αὐτὸν, ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ βραδυνεῖ. Τούτου δὲ μέμνηται καὶ ἡ πρὸς Ἑβραίους ἐπιστολὴ, δι' ὧν φησὶ, Μὴ ἀποβάλητε οὖν τὴν παρρησίαν ὑμῶν, ἥτις ἔχει μεγάλην μισθαποδοσίαν. Ὑπομονῆς γὰρ ἔχετε χρείαν, ἵνα τὸ θέλημα τοῦ Θεοῦ ποιήσαντες κομίσησθε τὴν ἐπαγγελίαν. Ἔτι γὰρ μικρὸν [u]ὅσον ὅσον ὁ ἐρχόμενος p. 277 ἥξει, καὶ οὐ χρονιεῖ. Ὁ δὲ δίκαιος ἐκ πίστεώς μου ζήσεται. Καὶ ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ.

4 Καὶ ὅρα γε ὅπως διὰ τούτων ἀσαφῶς κείμενον τὸ προ-

[s] δηλάδη add. P. [t] ἀνατολή] ἀνατελεῖ P. [u] ὅσον bis hic et infra P.

Etiam hoc loco palam eum, qui venit, de quo prophetæ loquuntur, venturum canit. Sed quis tandem hic sit, nisi qui supra innotuit, in illis verbis, *Benedictus qui venit in nomine Domini, Deus Dominus et illuxit nobis?* hunc vero tanquam eum, qui ipsum lumen sit, *ad vesperam oriturum* ait, *in consummatione* videlicet *sæculorum*. Cui Heb. 9, 26. concordat etiam Zacharias, dicens, *Ecce vir, Oriens nomen ei, et* Zach. 6, 12. *subter eum orietur.* Idem vero propheta etiam tempus significat, dum adjungit illud, *ad vesperam erit lumen. Si tardius veniet, ex-* Zach. 14, 7. *pecta illum:* pro quo Aquila sic reddidit, *Si vero cunctabitur, accipe illum: quoniam veniens veniet, et non tardabit.* De hoc autem meminit etiam ad Hebræos epistola, ubi ait, *Nolite igitur abjicere confi-* Heb. 10, 35. *dentiam vestram, quæ magnam habet remunerationem. Patientia enim vobis necessaria est, ut voluntatem Dei facientes, reportetis promissionem. Adhuc enim modicum, aliquantulumque, qui venturus est veniet, et non tardabit, justus autem ex fide mea vivet, quod si subtraxerit se, non bene sibi placet anima mea in eo.* Et sane specta, quemadmodum

φητικὸν, διὰ τὸ καθ' ὑπερβατὸν εἰρῆσθαι, ἐπὶ τὸ σαφέ-
5 στερον ἡ ἐπιστολὴ διείληφεν. Ἡ μὲν γὰρ τῆς προφη-
τείας λέξις, [x] Ὁ ἐρχόμενος, φησὶν, ἥξει, καὶ οὐ χρονίσει.
Καὶ ἐπιφέρει, Ἐὰν ὑποστείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου
ἐν αὐτῷ, ὅπερ συναπτόμενον ἀνάγεσθαι δόξειεν ἂν ἐπὶ b
τὸν ἐρχόμενον καὶ οὐ χρονίζοντα, ὅπερ ἐστὶν ἄτοπον.
Πῶς γὰρ ἐπ' ἐκεῖνον ἁρμόσει τὸ λέγεσθαι μὴ εὐδοκεῖν
ἐν αὐτῷ τὸν Θεόν; ἀλλ' ἡ τῆς διαστολῆς παράθεσις
ἐναλλάξασα τὴν τοῦ λόγου σύνταξιν τὴν διάνοιαν ἐσώ-
6 σατο. Μετὰ γὰρ τὸ, Ἔτι μικρὸν ὅσον ὅσον ὁ ἐρχόμενος
ἥξει καὶ οὐ χρονίσει, ἑξῆς συνῆψε τὸ, Ὁ δὲ δίκαιος ἐκ
πίστεως ζήσεται. Εἶτα τὸ ἐν τῇ προφητείᾳ πρῶτον κεί-
μενον ὑπέταξε δεύτερον ἐν τῷ, Καὶ ἐὰν ὑποστείληται, οὐκ
εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ἅπαξ γὰρ θεσπίσας ὁ c
λόγος διὰ τῆς προφητείας, ὅτι δὴ τὸ φῶς τὸ πᾶσι τοῖς
ἔθνεσιν ἐπηγγελμένον διὰ τῆς Χριστοῦ παρουσίας ὀψέ
7 ποτε καὶ ἑσπέρας ἀνατελεῖ, καὶ οὐ διαψεύσεται· οὕτως
γὰρ ἀντὶ τοῦ καὶ οὐκ εἰς κενὸν ὁ Ἀκύλας [y] ἡρμήνευσεν·

[x] Ὁ om. S. [y] ἑρμήνευσεν S.

quod a propheta obscurius positum est, propterea quod per trajectionem prolatum sit, epistola in sensum planiorem transtulerit, verba enim prophetiæ sic habent, *Veniens veniet, et non morabitur.* Et adjungit, *Si subtraxerit se, non bene sibi placet anima mea in eo.* Quod quidem dum ita conjungitur, facile referendum esse videatur ad eum qui venturus est et non morabitur, at id quidem perquam absurdum. Qui enim fieri potest, ut illi accommodetur quod dicitur, non placere sibi in eo animam suam, si de Deo sit sermo? sed distinctio quæ apposita est, quum verborum structuram mutaverit, sensum conservavit. Nam post illud, *Adhuc modicum aliquantulumque, qui venturus est veniet, et non tardabit,* continuo adjunxit illud, *Justus autem ex fide vivet.* Deinde illud quod in prophetia primum positum est secundo loco subjecit, ubi ait: *Quod si subtraxerit se, non bene sibi placet anima mea in eo.* Quum enim semel oraculum per ipsam prophetiam cecinerit, lucem omnibus promissam gentibus per Christi adventum *aliquando tandem et ad vesperam orituram, et non frustraturam* (sic enim pro eo quod est, *et non in vanum,* Aquila est interpretatus:) deinde quod sero et ad

ἔπειτα διὰ τὸ μέλλειν ὀψὲ καὶ ἑσπέρας ἔσεσθαι τὴν τοῦ
προφητευομένου παρουσίαν εἰς ὑπομονὴν παρακαλέσας
διὰ τοῦ ἐὰν ὑστερήσῃ ὑπόμεινον αὐτὸν, ἢ ἐὰν μελλήσῃ προσ-
δέχου αὐτὸν, ὅτι [z] ὁ ἐρχόμενος ἥξει καὶ οὐ μὴ χρονίσῃ, ἐπὶ d
τὴν πίστιν τῆς προρρήσεως τὸν ἀκροατὴν παρορμᾷ
λέγων, ὁ δὴ τούτοις πιστεύων ἐξ αὐτῆς τῆς πίστεως
αὐτοῦ δίκαιος ἀναδειχθεὶς τὴν κατὰ Θεὸν ζήσεται ζωὴν,
ὡς ἔμπαλιν ὁ ἀπιστῶν, ἐν οἷς [a] ἂν ὑποστείληται μὴ
θαρσήσας, μὴ δὲ ἐμπιστεύσας τοῖς εἰρημένοις, οὐκ εὐδο-
8 κεῖ ἡ ψυχή μου ἐν αὐτῷ. [b] Οὐκοῦν καὶ αὐτοὶ τούτοις
ἀκολούθως ἐναλλάξαντες τὸ πρῶτον ὕστερον, καὶ μετα-
θέντες τὸ ὕστερον ἐπὶ τὸ πρῶτον, σώσομεν τὸν νοῦν
τῆς λέξεως, μετὰ τὸ ὅτι ὁ ἐρχόμενος ἥξει καὶ οὐ χρονίσει
καθ' ὑπερβατὸν συνάπτοντες τὸ, ὁ δὲ δίκαιός μου ἐκ
9 πίστεως ζήσεται, καὶ τούτῳ ἐπιλέγοντες τὸ, ἐὰν ὑπο-
στείληται, οὐκ εὐδοκεῖ ἡ ψυχή μου ἐν αὐτῷ. Ταύτῃ δὲ p. 278
καὶ ὁ Ἀκύλας τῇ διανοίᾳ συντρέχει λέγων, Ἐὰν μελλήσῃ,
προσδέχου αὐτὸν, ὅτι ἐρχόμενος ἐλεύσεται, καὶ οὐ βραδυνεῖ.
Ἰδοὺ νωχελευομένου, οὐκ εὐθεῖα ἡ ψυχή μου ἐν αὐτῷ,
καὶ δίκαιος ἐν πίστει αὐτοῦ ζήσεται.

[z] ὁ om. P.S. [a] ἂν add. P. [b] οὐκ οὖν S.

vesperam futurus esset ejus, de quo prophetia loquitur, adventus, ideo illis verbis, *Si tardius veniet, expecta illum, vel, si cunctabitur, accipe illum, quoniam veniens veniet, et non tardabit*, ad patientiam vocans auditorem, ut vaticinio fidem adhibeat hortatur, dicens, eum qui his rebus crediderit, ubi ex sua ipsius fide justus declaratus fuerit, vitam quæ Deo placeat victurum, sicut e contrario, qui non crediderit, ubi subtraxerit se, non confidens neque credens his quæ dicta sunt, futurum *ut non bene sibi placeat anima in eo.* Ergo nos quoque ipsa hæc sequentes, si commutaverimus ita ut quod prius est, posterius, quod vero posterius est, translatum prius faciamus, sensum verborum integrum conservabimus: sic enim post illud *quoniam veniens veniet et non morabitur,* statim subjungemus illud, *justus autem meus ex fide vivet,* et huic ipsi connectemus illud, *Si subtraxerit se, non bene sibi placet anima mea in eo.* Cum hoc vero sensu etiam Aquila concordat dicens, *Si cunctabitur accipe illum, quoniam veniens veniet et non tardabit:* ecce si tardus sit, non recta anima mea in eo, et justus ex fide ipsius vivet.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ.

15 Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην. [d]Κύριε, c κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ἐν μέσῳ δύο ζώων γνωσθήσῃ, ἐν τῷ ἐγγίζειν τὰ ἔτη ἐπιγνωσθήσῃ, ἐν τῷ παρεῖναι τὸν καιρὸν ἀναδειχθήσῃ, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ. Ὁ Θεὸς ἐκ Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος. Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ. Καὶ φέγγος αὐτοῦ ὡς φῶς ἔσται· κέρατα ἐν χερσὶν αὐτοῦ, καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος αὐτοῦ. Πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς [e]πεδία. d

2 Ἐπακούσας δὲ αὐτὸς ἑαυτοῦ, μᾶλλον δὲ τοῦ ἐμπνέοντος καὶ ἐνθεσπίζοντος ἐν αὐτῷ θείου πνεύματος, ὁ ἱερὸς προφήτης περὶ τοῦ προφητευομένου φήσαντος ὅτι ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὁ δὲ δίκαιος ἐκ πίστεώς μου [f]ζήσεται, πιστεύσας τε ὡς δίκαιος τῷ χρησμῷ, διὰ τῶν μετὰ χεῖράς φησι, Κύριε εἰσακήκοα τὴν ἀκοήν σου καὶ ἐφοβήθην καὶ τὰ ἑξῆς, δι' ὧν σαφῶς Θεὸν εἰς ἀνθρώπους ἥξειν καταγγέλλει. Τίς δὲ ἂν οὗτος εἴη ὁ πάλαι γνωριζόμενος, ὕστερον δέ ποτε ἐν τῷ ἐγγίζειν τὰ ἔτη

Ὡς ἐπίφοβος ἡ περὶ τῆς ἐξ οὐρανῶν καθόδου τοῦ Κυρίου ἀκοὴ τυγχάνει, καὶ μετὰ ἐκπλήξεως τὰ ἔργα αὐτοῦ, ἐλθόντος τε αὐτοῦ ἡ σύμπασα γῆ τῆς αἰνέσεως αὐτοῦ πλησθήσεται, ὅτε [c]γε τῆς καινῆς διαθήκης αὐτοῦ λόγος εἰς πάντας ἀνθρώπους διαδραμεῖται.

[c] γε om. P. [d] Κύριε om. P. [e] παιδία S. [f] ζήσει] ζήσεται P.

AB EODEM.

15 *Domine audivi auditionem tuam, et timui. Intellexi opera tua, et obstupui: in medio duarum vitarum cognosceris, dum anni appropinquabunt, notus fies, dum aderit tempus declaraberis. Dum perturbata fuerit anima mea in ira, misericordiæ memor eris. Deus de Thama veniet, et sanctus de monte umbroso denso: cooperuit cœlos virtus ejus, et laude ejus plena est terra, et splendor ejus ut lumen erit. Cornua in manibus ejus, et posuit dilectionem fortem roboris sui: ante faciem ejus ibit Verbum, et egredietur in campos.* Quum enim ipse seipsum audisset propheta sanctus, ac potius divinum qui ipsum afflabat quique in ipso canebat spiritum de eo, de quo ipsa prophetia loquitur, dicentem, *Quod veniens veniet et non morabitur, justus autem ex fide mea vivet,* quumque credidisset illum esse justum oraculo, in his verbis quæ nunc in manibus sunt, ita ait, *Domine audivi auditionem tuam et timui,* et quæ sequuntur: in quibus manifestissime Deum ad homines venturum denuntiat. Quis vero alius hic sit qui olim cognosceretur, et post aliquando dum anni appropinquabunt esset agnoscendus, et

Hab. 3, 2. Quod terribilis sit auditu descensus Domini de cœlo, et facta illius cum admiratione, quodque quum ipse venerit universa terra ipsius laude complebitur, et novi ipsius testamenti verbum ad omnes homines penetrabit.

γνωσθησόμενος, καὶ κατὰ τὸν προφητευόμενον χρόνον ἀναδειχθησόμενος, ἢ ὁ αὐτὸς ἐκεῖνος ὁ προδηλωθεὶς p. 279 δεύτερος τῶν ὅλων Κύριος, ὁ καὶ τῇ προρρήσει ἀκολούθως ἐπὶ συντελείᾳ τῶν αἰώνων εἰς ἐξάκουστον πᾶσιν ἀνθρώποις κηρυχθείς; Τούτου δὴ οὖν τὰ ἀνάγραπτα ἐν τοῖς ἱεροῖς εὐαγγελίοις ἔργα, τὴν ἐκ παρθένου δηλονότι οὗ ἀνείληφε σκήνους γένεσιν, καὶ [g] ὡς ἐν μορφῇ Θεοῦ ὑπάρχων, οὐχ ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλὰ ἑαυτὸν ἐκένωσε μορφὴν δούλου λαβὼν, τάς τε ἐπιτελεσθείσας αὐτῷ εἰς ἀνθρώπους παραδοξοποιΐας καὶ τὰ κατ' αὐτοῦ γε τετολμημένα τῷ Ἰουδαίων ἔθνει τοῖς τῆς b
ψυχῆς ὀφθαλμοῖς προλαβὼν, τά τε μέλλοντα συμβήσεσθαι κεκαθαρμέναις ταῖς διανοίαις παρὰ τοῦ διδάσκοντος αὐτὸν θείου πνεύματος μαθὼν, ἐκστῆναι ὁ προφήτης ἐπὶ τοῖς ἀκουσθεῖσι καὶ πεφοβῆσθαι ὁμολογεῖ φάσκων, Κύριε, εἰσακήκοα τὴν ἀκοήν σου, καὶ ἐφοβήθην·
3 Κύριε, κατενόησα τὰ ἔργα σου, καὶ ἐξέστην. Ὁ Σωτὴρ δὲ καὶ Κύριος ἡμῶν αὐτὸς οὗτος ὁ τοῦ Θεοῦ Λόγος ἐν μέσῳ δύο ζώων ἐγνώσθη· πληθυντικῶς ἐνταῦθα καὶ περισπω-

[g] ὡς] ὃς P. ut vulg. S.

per id tempus de quo prophetia loquitur declarandus: quis, inquam, hic sit, nisi ille ipse qui antea dictus est universi Dominus? qui etiam hoc comprobato vaticinio in consummatione sæculorum ita nuntiatus est ac prædicatus, ut omnes homines exaudierint. Hujusce igitur ea quæ palam in sacris evangeliis descripta sunt facta corporis videlicet, quod assumpsit de virgine generationem, item quemadmodum *quum esset in forma Dei, non rapinam arbitratus est esse se æqualem* Phil. 2, 6.
Deo, sed seipsum exinanivit formam servi accipiens: præterea quæ miracula in hominibus degens ediderit, nec non quæcunque contra ipsum ausa est Judaica gens, omnia, inquam, hæc, et alia similia his, quum animæ oculis providisset, quæque eventura in posterum expectabantur, divino spiritu docente, purgatissima intelligentia percepisset, ex iis quæ hoc modo audierat se obstupuisse ac timuisse fatetur propheta, dicens, *Domine audivi auditionem tuam, et timui: Domine intellexi opera tua, et obstupui.* Salvator autem ac Dominus noster, ipsum utique hoc Dei Verbum, *in medio duarum vitarum cognitus est.* Non enim *duorum animalium* est legendum, sed *dua-*

μένως τῶν ζωῶν ἀπὸ ἑνικοῦ τοῦ τῆς ζωῆς ὀνόματος c
4 ἐξακουομένων. Οὐ γὰρ παροξυτόνως τῶν ζώων ἀπὸ οὐδετέρου τοῦ ζώου λέγεται, ἀλλὰ ζωῶν περισπωμένως ἀπὸ πληθυντικῆς εὐθείας τῆς αἱ ζωαί. Δύο οὖν, φησὶ, ζωῶν μέσον γνωσθήσῃ. Μιᾶς γὰρ οὔσης τῆς κατὰ Θεὸν ζωῆς, καὶ θατέρας τῆς κατὰ [h] ἄνθρωπον· καὶ τῆς μὲν θνητῆς, τῆς δὲ ἀϊδίου· ἀμφοτέρων εἰκότως ὁ Κύριος διὰ πείρας ἐλθὼν, ἐν μέσῳ δύο ζωῶν γνωσθῆναι λέγεται κατὰ τὴν τῶν ο' ἑρμηνείαν· κατὰ γὰρ τὸν Ἀκύλαν οὐχ οὕτως,
5 ἀλλ' ἐν τῷ ἐγγίζειν τὰ ἔτη ζώωσον αὐτὸ, εἴρηται. Τί δὲ αὐτὸ, ἢ τὸ [i] κάτεργόν σου φησί; καὶ [k] ὁ Θεοδοτίων δέ d
φησιν, ἐν μέσῳ ἐτῶν ζώωσον αὐτὸν, καὶ ὁ Σύμμαχος ἐντὸς τῶν ἐνιαυτῶν ἀναζώωσον αὐτὸν [l] ἐκδέδωκε. Πάντες οὖν ζώωσον αὐτὸν εἰπόντες σαφῶς ὅτι μὴ περὶ οἷον ἀλόγων τινῶν ἢ λογικῶν ζώων ὁ λόγος τυγχάνει παρ-
6 έστησαν. Διὸ παρὰ τοῖς ο' λεγομένου τοῦ ἐν μέσῳ δύο ζωῶν γνωσθήσῃ, οὐ κατὰ τοὺς πρὸ ἡμῶν ἐξειλήφαμεν, ἀλλὰ δύο ζωὰς τοῦ προφητευομένου δηλοῦσθαι ἔφαμεν· μίαν μὲν τὴν ἔνθεον, [m] θατέραν δὲ τὴν ἀνθρωπίνην.

h ἀν̄οῦ S. i κατεργόν] κάτεργον P. κάτεργόν S. k ὁ om. S.
l ἐκδέδωκε] ἐκδεδώκασι P.S. m ἑτέραν] θατέραν P.

rum vitarum. Duarum ergo vitarum, inquit, medius cognosceris. Quum enim una secundum Deum sit vita, et altera secundum hominem, et illa quidem mortalis, hæc vero sempiterna, merito quum utramque expertus esset Dominus, atque eo modo venisset, in medio duarum vitarum esse cognitus dicitur ex interpretatione quam Septuaginta ediderunt. Nam ex ea quam Aquila edidit, non item, sed sic, *Dum appropinquant anni, vivifica illud.* Sed quidnam est illud, nisi quod ait opus tuum? Theodotion vero ita ait, *In medio annorum vivifica ipsum,* et Symmachus, *Intra annos reviviscere fac ipsum,* interpretatus est. Quum igitur omnes *vivifica ipsum* dixerint, plane non de quibusdam veluti brutis, aut etiam ratione præditis animalibus, sermonem esse declararunt. Quapropter quum apud Septuaginta sit dictum *in medio duarum vitarum cognosceris,* non ex sententia eorum qui nos antecesserunt hoc accepimus, sed duas ejus de quo prophetia loquitur vitas significari diximus, unam quidem divinam, alteram vero humanam. His quæ dicta sunt propheta de-

7 Τούτοις ὁ προφήτης ἐπιλέγει, ἐν τῷ ταραχθῆναι τὴν ψυχήν
μου ἐν ὀργῇ ἐλέους μνησθήσῃ, [n] διδάσκων ὅτι τὸν τοῦ πά-
θους τοῦ προφητευομένου καιρὸν συνιδὼν τῷ πνεύματι
τεθορύβητο. Πλὴν ἀλλ' ἐν αὐτῷ τούτῳ, φησὶ, τῷ p. 280
καιρῷ ἐφ' ᾧ τὴν ψυχὴν ἐταράχθην, ὀργῆς τοῖς ἀνθρώ-
ποις [o] οὐδὲ πώποτε ἄλλοτε ἐπαιωρηθείσης διὰ τὰς τολ-
μηθείσας κατὰ τοῦ Κυρίου δυσσεβείας, ἐλέους αὐτὸς ὁ
φιλανθρωπότατος Κύριος ἀντὶ ὀργῆς ἐμνήσθη, ὡς ἂν
8 ἀγαθοῦ τυγχάνων πατρὸς υἱός. Τὸ γοῦν πάθος αὐτοῦ
τῷ παντὶ κόσμῳ σωτηρίας τῆς κατὰ Θεὸν καὶ ἐλέους
κατέστη αἴτιον. Τούτοις ἐπιλέγεται, Ὁ Θεὸς ἀπὸ Θαι-
μὰν ἥξει. Τὸ δὲ Θαιμὰν μεταλαμβάνεται εἰς τὴν Ἑλ- b
λάδα φωνὴν συντέλεια· ὡς μηδὲν διαφέρειν εἰ σαφῶς
ἐλέγετο, ὁ Θεὸς ἐπὶ συντελείᾳ ἥξει. Ἐπὶ γὰρ συντελείᾳ
τοῦ αἰῶνος καὶ ἐν ταῖς ἐσχάταις ταύταις ἡμέραις ἐπέ-
φανεν ἡμῖν ἡ τοῦ Θεοῦ τῶν ὅλων διὰ τοῦ Σωτῆρος
9 ἡμῶν εὐεργεσία. Τάχα δὲ καὶ τὴν δευτέραν αὐτοῦ καὶ
ἔνδοξον ἐν τούτοις ἄφιξιν θεσπίζει, ὥστε ἀπὸ ἑτέρας
ἀναγινώσκεσθαι ἀρχῆς τὰ ἀπὸ τοῦ, Ὁ Θεὸς ἀπὸ Θαιμὰν

[n] διδάσκω S. [o] οὐδὲ] ὡς οὐδὲ S.

inceps adjungit, *Dum perturbata fuerit anima mea in ira, misericordiæ memor eris :* sic interim docens, quod quum spiritu tempus illud providisset, quo passurus erat is de quo ipsa prophetia texitur, perturbatus sit. Veruntamen in hoc ipso tempore, inquit, in quo animo perturbatus sum, propterea quod alias nusquam talis hominibus ira impenderit propter facinora quæ adversus Dominum perpetrata fuerint, misericordiæ ipse clementissimus Dominus non iræ recordatus est, utpote qui boni patris sit filius. Proinde extremum illius supplicium salutis secundum Deum, et misericordiæ toti mundo causa extitit. Sequitur illud, *Deus de Thæman veniet.* Dictio autem illa *Thæman,* si in nostram linguam convertatur, *consummationem* significat : [ut nihil intersit, si clare dictum fuerit, *Deus in consummatione veniet.*] Nam in consummatione sæculi et in hisce extremis diebus per Salvatorem nostrum summi Dei nobis illuxit beneficentia. Fortasse etiam secundum ejusdem gloriosumque in his verbis adventum canit, ut altero initio facto, legenda sint verba ab illo loco, *Deus de Thæman veniet,* tan-

ἥξει, ὡς ἐπὶ συντελείᾳ τοῦ αἰῶνος ἥξοντος αὐτοῦ ἀπὸ
τῶν κατὰ τὰ νότια μέρη τοῦ οὐρανοῦ· μεταλαμβάνεται
10 γὰρ Θαιμὰν εἰς τὸν νότον. Διόπερ ὁ Θεοδοτίων τοῦτον c
[p]ἑρμηνεύει τὸν τρόπον, ὁ Θεὸς ἀπὸ νοτίου ἥξει. Τὸ δὲ
ἑξῆς εἰρημένον, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος,
νοήσεις, παραθεὶς τὰς οὕτως ἐχούσας ἐν τῷ Ζαχαρίᾳ
φωνάς, [q]Ἑώρακα τὴν νύκτα, καὶ ἰδοὺ ἀνὴρ ἐπιβεβηκὼς
ἐπὶ ἵππον πυῤῥόν, καὶ οὗτος εἱστήκει ἀνὰ μέσον τῶν ὀρέων
11 τῶν κατασκίων. Τοῦτον γοῦν τὸν ἐπιβεβηκότα ἐπὶ ἵππον
πυῤῥὸν, καὶ ἑστῶτα ἀνὰ μέσον τῶν ὀρέων τῶν κατα-
σκίων, αὐτὸν ἡγοῦμαι εἶναι τὸν ἐν τῇ μετὰ χεῖρας δηλού-
μενον προφητείᾳ, φασκούσῃ τὸν ἅγιον ἥξειν ἐξ ὄρους
κατασκίου, δασέος. Ἐν ἑκατέροις γοῦν ὄρη κατάσκια d
λέλεκται, καὶ ἡγοῦμαι τοῦ [r]παραδείσου τοῦ Θεοῦ τυγχά-
νειν, ὃν ἐφύτευσεν ἐν Ἐδὲμ κατὰ ἀνατολὰς, ἢ καὶ τῆς
ἐπουρανίου Ἱερουσαλήμ. Ὄρη γὰρ κύκλῳ αὐτῆς, καὶ
12 Κύριος κύκλῳ τοῦ λαοῦ αὐτοῦ. Ταῦτα γοῦν διὰ τὸ πλήρη
τυγχάνειν θείων δυνάμεων καὶ πνευμάτων ἁγίων ὡς ἂν
σύμφυτα καὶ ἀμφιλαφῆ κατάσκια λέγεται. Ἀλλ' ἐν
μὲν τῷ Ζαχαρίᾳ σαφῶς ἀνὴρ ἐποχούμενος ἵππῳ πυῤῥῷ

p ἑρμηνεύειν S. q ἑώρα S. r παράδεισος S.

quam si in consummatione sæculi ipse venturus sit ab iis, qui ad australes cœli partes spectant. Accipitur enim Thæman pro eo quod est auster. Quocirca Theodotion ad hunc interpretatus est modum, *Deus ab austro veniet.* Quod autem sequitur, *Et sanctus de*
Zach. 1, 8. *monte umbroso denso,* poteris intelligere, si quæ in Zacharia sic se habent apposueris voces, *Vidi per noctem, et ecce vir ascendens super equum rufum, et hic stabat inter montes umbrosos.* Hunc igitur qui ascendit super equum rufum, et insistit inter montes umbrosos, ipsum illum puto esse, qui in præsenti prophetia significatur, quæ ait, sanctum venturum de monte umbroso denso. Certe utrobique montes umbrosi habentur. Et arbitror esse eos in paradiso Dei, quem plantavit in Edem ad orientem, aut etiam apud cœlestem
Ps. 125, 2. Hierusalem, *Montes enim in circuitu ejus, et Dominus in circuitu populi sui.* Hi ergo montes, eo quod divinis potestatibus et sanctis spiritibus referti sint, quasi consiti et large his exuberantes, umbrosi dicuntur. Et in Zacharia quidem plane vir cernitur, qui equo rufo

θεωρεῖται, [s]οὕτω τῆς τοῦ Σωτῆρος ἡμῶν ἐνανθρωπήσεως
καὶ τῆς σαρκὸς, ᾗ ἐπωχήσατο, δηλουμένης· ἐνταῦθα
13 δὲ [t]ὁ Θεὸς καὶ ἅγιος ὠνόμασται. Ὡς γὰρ ἐκ Θεοῦ εἰς
ἀνθρώπους τὴν ἄφιξιν [u]πεποιημένος, καὶ ὡς ἂν ἐκ τῶν
θειοτέρων χωρίων ἐπιφοιτήσας, λέγεται ὁ Θεὸς ἀπὸ
[x]Θαιμὰν ἥξει, καὶ ὁ ἅγιος ἐξ ὄρους κατασκίου, δασέος.
Εἶτα ἑξῆς ἐπιλέγει, Ἐκάλυψεν οὐρανοὺς ἡ ἀρετὴ αὐτοῦ, p. 281
καὶ τῆς αἰνέσεως αὐτοῦ πλήρης ἡ γῆ, καὶ φέγγος αὐτοῦ ὡς
14 φῶς ἔσται. Δι' ὧν [y]ὁμοῦ ἥ τε εἰς οὐρανοὺς ἔνδοξος
αὐτοῦ βασιλεία [z]παρίσταται, καὶ ἡ μετὰ ταῦτα γενο-
μένη τε καὶ ἐπὶ πλεῖον γενησομένη εἰς πᾶσαν τὴν γῆν
τῆς περὶ αὐτοῦ διδασκαλίας αἴνεσις. Τὸ δὲ κέρατα ἐν
ταῖς χερσὶν αὐτοῦ τῆς βασιλείας αὐτοῦ τὰ σύμβολα δη-
λοῖ, δι' ὧν κεράτων τὰς ἀοράτους καὶ ἀντικειμένας
δυνάμεις ὠθούμενος καὶ κερατίζων ἀπελαύνει. Ἀκολού-
θως τούτοις ἐπιλέγει, Καὶ ἔθετο ἀγάπησιν κραταιὰν ἰσχύος b
15 αὐτοῦ. Καὶ τῆς γε εἰς ἀνθρώπους κραταιᾶς διαθέσεως
αὐτοῦ καὶ ἀγάπης δεῖγμα μέγιστον ἦν τὸ, πρὸ προσώπου

[s] αὐτῷ] οὕτω P. [t] Κύριος] ὁ Θεὸς P. [u] πεποιημένοι ED. PARIS. Sic S. [x] Θεμὰν ἥξειν S. [y] ὁμοῦ add. P. cum interprete. [z] παρείσταται S.

invehitur, quum sic interim Salvatoris nostri et humana assumpta natura, et corpus quo quasi vehiculo utebatur, declaretur: at hic *Deus* et *sanctus* nominatus est. Tanquam enim is qui a Deo ad homines descensurus esset, et tanquam de divinioribus locis profecturus, dicitur *Deus de Thæman venturus, et sanctus de monte umbroso denso.* Deinceps adjungit, *Cooperuit cælos virtus ejus, et laudis ejus plena est terra, et splendor ejus ut lumen erit.* Quibus utique verbis simul et gloriosum ejus in cœlo regnum ostenditur, et quæ posthac futura est longiusque duratura atque in omnem terram penetratura, doctrinæ, quæ de illo fertur, laudatio. Illud autem, *Cornua in manibus ejus,* regni ejus insignia et notas significat, quibus cornibus invisibiles atque adversantes potestates repellens et victas obtinens abigit. Ordine his deinceps adjungit, *Et posuit dilectionem fortem roboris sui.* Et sane vehementis affectionis ejus ac dilectionis erga homines indicium maximum fuerit, *quod ante faciem ejus incesserit verbum illud,* videlicet salutare atque evangelicum, quod etiam

αὐτοῦ πορευθῆναι λόγον, δηλονότι τὸν σωτήριον καὶ εὐαγγελικὸν, ἐξελθόντα τε τοῦτον διαδραμεῖν εἰς πεδία, ὥστε ἐν ὀλίγῳ πᾶσαν πληρῶσαι τὴν οἰκουμένην τῆς ὑπ' αὐτοῦ προξενηθείσης ἅπασιν ἀνθρώποις σωτηρίας ἀκολούθως τῇ προφητείᾳ φησάσῃ, Πρὸ προσώπου αὐτοῦ προπορεύσεται λόγος, καὶ ἐξελεύσεται εἰς πεδία. Κατὰ τὴν δευτέραν δὲ αὐτοῦ παρουσίαν ἔτι μᾶλλον καὶ κυριώτερον ὁ λόγος c αὐτοῦ πέρας ἐπιθήσει τοῖς τε εἰρημένοις καὶ τοῖς ἑξῆς ἐπιφερομένοις, ἃ καὶ οὐ νῦν ἐξετάζειν καιρός.

ἈΠῸ ΤΟΥ͂ ΖΑΧΑΡΊΟΥ.

Ὡς ὁ Κύριος ὁ παντοκράτωρ ὁμολογεῖ ὑφ' ἑτέρου Κυρίου παντοκράτορος ἐπὶ καθαιρέσει τῶν φαύλων ἀπεστάλθαι.

16 Τάδε λέγει Κύριος παντοκράτωρ· Ὀπίσω δόξης ἀπέσταλκέ με ἐπὶ τὰ ἔθνη, τὰ σκυλεύσαντα ὑμᾶς· διότι ὁ ἁπτόμενος ὑμῶν, ὡς ὁ ἁπτόμενος τῆς κόρης τοῦ ὀφθαλμοῦ αὐτοῦ. Διότι ἰδοὺ ἐγὼ ἐπιφέρω τὴν χεῖρά μου ἐπ' αὐτοὺς, καὶ ἔσονται σκῦλα τοῖς δουλεύσασιν αὐτοῖς, καὶ γνώσεσθε, ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με. d

2 Κύριος αὐτὸς ὁ παντοκράτωρ ἐν τούτοις ἑαυτὸν ἀπεστάλθαι φησὶ, καὶ τὸν ἀποστείλαντα ὅστις εἴη διδάσκει, λέγων, καὶ γνώσεσθε ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με. Οὐκοῦν καὶ ἐνταῦθα δύο σαφῶς ἔχεις μιᾷ χρω-

egressum percurrerit campos, adeo ut brevi tempore totum orbem terrarum ejus, quæ per ipsum omnibus hominibus conciliata sit, salutis impleverit, comprobata ejus prophetiæ veritate, quæ ait, *Ante faciem ejus ibit verbum, et egredietur in campos.* In secundo autem ejusdem adventu amplius quoque ac magis proprie verbum ejus et his quæ dicta sunt et iis quæ deinceps sequuntur finem imponet, quibus nunc explorandis atque indagandis tempus non adest.

A ZACHARIA.

Zach. 2, 8. Quemadmodum Dominus omnipotens confitetur se missum, ut auferat ea, quæ vitiosa sint.

16 *Hæc dicit Dominus omnipotens: post gloriam misit me ad gentes, quæ spoliaverunt vos: quoniam qui tangit vos, quasi is qui tangit pupillam oculi ejus: quia ecce ego affero manum meam super ipsos: et erunt spolia iis qui servierint sibi, et cognoscetis quod Dominus omnipotens misit me.* Ipse Dominus omnipotens in his seipsum missum esse ait, et quis nam is sit qui miserit docet, ubi ait, *Et cognoscetis quod Dominus omnipotens misit me.* Igitur etiam hoc loco duos perspicue habes qui eadem utantur appellatione, unum eum, qui misit Dominum

μένους προσηγορίᾳ, τόν τε ἀποστείλαντα Κύριον παντο-
κράτορα, καὶ τὸν ἀποστελλόμενον ὁμώνυμον τῷ ἀπο-
3 *στείλαντι. Τίνα δ' ἂν ἕτερον εἴποις τὸν ἀποστελλόμενον* p. 282
ἢ τὸν διὰ πλειόνων ἡμῖν προηγορευμένον Θεὸν Λόγον,
πρὸς τοῦ πατρὸς ἀπεστάλθαι ὁμολογοῦντα, σαφῶς δὲ
εἰρηκότα, ὀπίσω δόξης ἀπέσταλκέ με; [a] *δηλῶν, ὅτι*
προϋπάρχων ἐν δόξῃ τῇ παρὰ τῷ πατρὶ μετὰ ταῦτα
ἀπέσταλτο ἐπὶ τὰ ἔθνη τὰ σκυλεύσαντα ὑμᾶς· ἐπὶ γὰρ
τὰ πρότερον ἐχθρὰ καὶ πολέμια τοῦ λαοῦ τοῦ Θεοῦ ἔθνη
ἀποσταλεὶς ὁ τοῦ Θεοῦ Λόγος ταῦθ' ὑφ' ἑαυτὸν ἠγά-
γετο, σκυλεύσας αὐτὰ διὰ τῶν αὐτοῦ μαθητῶν, οἵτινες b
ἦσαν μέρος τοῦ ἐκ περιτομῆς λαοῦ, ὅντινα πάλαι κατα-
δεδούλωντο τὰ ἔθνη σκυλεύσαντα αὐτὸν τῇ οἰκείᾳ [b] *εἰ-*
4 *δωλολατρείᾳ.* [c] *Ταῦτ' οὖν φησὶ πείσεσθαι τὰ ἔθνη,*
ἅπερ διατέθεικεν. Ὡς γὰρ τὸν λαὸν τοῦ Θεοῦ τῆς
πατρῴας εὐσεβείας μεταστησάμενα, σκῦλα τοῖς ἰδίοις
δαίμοσι [d] *κατεστήσαντο, οὕτω ποτὲ καὶ αὐτὰ τῆς πα-*
τρικῆς εἰδωλολατρείας πρὸς τῶν πάλαι δεδουλευκότων
αὐτοῖς [e] *σκυλευθήσονται, καὶ ὑπὸ τὸν ζυγὸν τῆς καθ'*

[a] *δηλῶντα*] *δηλῶν* P. [b] *εἰδωλολατρία* S. et sic inf. [c] *Τοῦτ'*] *ταῦτ'* P. [d] *κατεστήσατο*] *κατεστήσαντο* P. [e] *σκυλευθήσεται*] *σκυλευθήσονται* P. qui mox *μεταστήσεται* ut vulg.

omnipotentem, alterum eum, qui mittitur, ejusdem cum eo qui misit nominis. Quem porro alium dixeris eum qui mittitur, nisi eum quem ante nos pluribus appellavimus Deum Verbum, qui a patre missum se confitetur, et qui manifeste dixit, *post gloriam misit me?* illud interim significans, quod qui antea fuerit in gloria apud Patrem, postea missus sit ad gentes, quæ spoliaverint vos. Quum enim ad eas gentes quæ prius populo Dei adversæ inimicæque erant missum sit Dei Verbum, has ipsas sibi ipsi subjecit, easdem per suos discipulos deprædatus, qui portio quædam erant illius populi, qui ad circumcisionem pertinet, quem quondam in servitutem redegerunt gentes, quæ ipsum illum suo simulachrorum cultu deprædatæ fuerunt. Hæc igitur passuras dicit gentes quæ disposuit. Sicut enim illæ populum Dei a patria pietate ac religione avertentes spolia propriis dæmonibus factæ sunt, ita quandoque etiam ipsæ patrio simulachrorum cultu ab iis, qui ipsis antea servierint, spoliabuntur, et sub jugum

Ἑβραίους εὐσεβείας μεταστήσεται. Τοῦτο δὲ ἔσεσθαί φησιν ὁ Κύριος δι' ἑαυτοῦ ἐπὶ τῷ τοιῷδε κατορθώματι c πρὸς τοῦ πατρὸς ἀποσταλησομένου. Εἴποι δ' ἄν τις καὶ νοητάς τινας καὶ ἀοράτους δυνάμεις ἔθνη νῦν ὀνομάζεσθαι τὰ σκυλεύσαντα καὶ αἰχμαλωτεύσαντα τὰς τῶν ἀνθρώπων ψυχὰς, ὧν ψυχῶν οὕτω φησὶ κήδεσθαι ὁ φιλάνθρωπος τοῦ Θεοῦ Λόγος, [f] ὡσεί τις ἰδίας ὀφθαλμοῦ κόρης· καὶ δεῖγμα τῆς τοιᾶσδε αὐτοῦ περὶ τὸ τῶν ἀνθρώπων γένος κηδεμονίας, τὸ μὴ δ' ὑποστείλασθαι αὐτὸν, Θεοῦ Λόγον ὄντα καὶ ἐν δόξῃ τῇ παρὰ τῷ πατρὶ d τυγχάνοντα, τὴν εἰς ἀνθρώπους ἐπιδημίαν τε καὶ οἰκονομίαν ἀναδέξασθαι.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ.

17 Ὡς αὐτὸς ὁ Κύριος ἥξειν οὐρανόθεν, καὶ ἐν ἀνθρώποις κατασκη-

Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρ- p. 283
χομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σοῦ, λέγει Κύριος, καὶ καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ [g] κατασκηνώσω ἐν μέσῳ σοῦ, καὶ γνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέσταλκέ με πρός σε.

[f] ὡς εἴ τις S. [g] κατασκηνώσω] κατασκηνώσουσιν S. cum interp. et sic Ecl. p. 121, 13.

Hebraicæ religionis traducentur. Hoc autem futurum ait Dominus per seipsum, qui ad tale munus præstandum a patre mittendus sit. Cæterum dixerit aliquis etiam intelligibiles quasdam et invisibiles potestates gentes nunc nominari, quæ spoliaverint captivasque hominum animas egerint, quarum animarum talem se curam gerere ait clementissimum Dei Verbum, qualem unusquisque oculi sui pupillæ gerit, cujus sedulitatis atque amoris erga hominum genus signum illud erit, quod quum Dei Verbum esset et sua gloria apud patrem frueretur, non piguerit ipsum veniendi ad homines atque inter eos versandi curam dispensationemque suscipere.

AB EODEM.

17 Zach. 2, 10. Quod ipse Dominus venturum se de cœlo,

Gaude et lætare, filia Sion, quoniam ecce ego venio, et habitabo in medio tui, dicit Dominus, et confugient gentes multæ ad Dominum in die illa, et erunt ei in populum, et habitabunt in medio tui, et cognosces quod Dominus omnipotens misit me ad te. Quia nunc propositum est

2 Ἐπεὶ πρόκειται νῦν τὸ δεύτερον αἴτιον ἐκ τῶν προ-
φητῶν ἀποδεῖξαι ἀνθρώποις μέλλον ἐπὶ γῆς συμπολι-
τεύεσθαι, οἶμαι τούτου παραστατικὸν εἶναι καὶ τὴν
παροῦσαν προφητείαν, ὡς διὰ τὸ πρόδηλον μὴ δὲ πλεί-
ονος ἐξεργασίας δεῖσθαι. Τηρήσεις δὲ ὅτι καὶ τὴν b
αἰτίαν αὖθις τῆς ἀφίξεως αὐτοῦ δηλοῖ, ἐν οἷς φησὶ, *Καὶ
καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον* [h] *ἐν τῇ ἡμέρᾳ
3 ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαόν.* Ταῦτα δὲ ὁ λόγος
τὴν θυγατέρα Σιὼν εὐαγγελίζεται, οὕτω τὴν ἐκκλησίαν
τοῦ Θεοῦ προσαγορεύων, διὰ τὸ τῆς ἐπουρανίου Ἱερου-
σαλὴμ θυγατέρα εἶναι δοκεῖν, *μητρὸς οὔσης ἐκείνης τῶν
4 ἁγίων*, κατὰ τὸν ἱερὸν ἀπόστολον. Ἢ καὶ ἄλλως θυ-
γάτηρ Σιὼν ἡ ἐκκλησία Χριστοῦ λεχθείη ἂν, ὡς ἂν ἐκ
τῆς προτέρας συναγωγῆς τῶν ἐκ περιτομῆς διά τε ἀπο- c
στόλων καὶ εὐαγγελιστῶν ὑποστᾶσα, οἳ καὶ γεννήματα
ἐτύγχανον μητρὸς τῆς ἀπορριφείσης διὰ τὰς οἰκείας
δυσσεβείας, καὶ χήρας γεγενημένης διὰ τὸ ἀπελάσαι τὸν
ἄνδρα, διὰ τῶν προφητῶν ἐπιμεμψάμενον αὐτῇ καὶ
φήσαντα, *Οὐχ ὡς ἄνδρα με ἐκάλεσας, καὶ πατέρα, καὶ
ἀρχηγὸν τῆς παρθενίας σου;* ὃς καὶ τοῖς ἐξ αὐτῆς γενο-

νώσειν, τά τε ἔθνη εἰς αὐτὸν καταφεύξεσθαι θεσπίζει, καὶ ὡς ἀπεστάλθαι ὑπό τινος κρείττονος Κυρίου παντοκράτορος ὁμολογεῖ.

[h] ἐν om. S.

filium, authorem rerum, apud homines in terra versaturum ex prophetis ostendere, arbitror hujusce rei demonstrandæ efficaciam habere præsentem prophetiam, adeo quidem ut ob ipsius rei perspicuitatem nulla ampliore explanatione sit opus: etiam illud observabis, quod causam rursus sui adventus significat, ubi ait, *Et confugient gentes multæ ad Dominum die illa, et erunt ipsi in populum.* Hæc autem ipsi filiæ Sion nuntiat oraculum, sic interim Dei ecclesiam appellans, propterea quod cœlestis Hierusalem filia esse videatur, *quæ,* ut sanctus ait apostolus, *mater sanctorum est.* Aut etiam aliter filia Sion Christi ecclesia dici potest, tanquam ea quæ ex priore eorum qui ad circuncisionem pertinent conventu per apostolos atque evangelistas id quod est acceperit, qui etiam filii erant ejus matris quæ ob scelera sua abjecta est, quæque vidua facta est eo quod expulerit virum, qui per prophetas de ipsa conquestus est, atque ait, *Non tanquam virum me vocasti, et patrem et ducem virginitatis tuæ,* qui etiam iis, qui de ipsa nati sunt, mores matris exprobrans ac vituperans ait,

et inter homines habitaturum, gentesque ad ipsum confugituras, canit: et quod missum se esse a Domino omnipotente confitetur.

Gal. 4, 26.

Jer. 3, 4.

μένοις τὸν τρόπον τῆς μητρὸς διαβάλλων φησί· Ποῖον τοῦτο τὸ βιβλίον τοῦ ἀποστασίου τῆς μητρὸς ὑμῶν, ᾧ ἐξ-
απέστειλα αὐτήν; καὶ πάλιν, [i] Κριθῆτε πρὸς τὴν μητέρα d
ὑμῶν, κριθῆτε, ὅτι αὕτη οὐ γυνή μου, κἀγὼ οὐκ ἀνὴρ αὐτῆς. Εἰκότως δῆτα ὡς ἂν τὴν μητέρα [k] ἀπαρνησαμένους τοῦ Κυρίου τὴν θυγατέρα ἡ παροῦσα προφητεία εὐαγγελίζεται τὴν αὐτοῦ τοῦ Κυρίου παρουσίαν. Εἴη δ' ἂν αὕτη ἡ ἐξ ἐθνῶν ἐκκλησία, ἐν χώρᾳ θυγατρὸς τῆς προτέρας διὰ τοὺς ἀποστόλους τοῦ Σωτῆρος ἡμῶν λελογισμένη.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ. p. 284

18 Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ Κυρίου, καὶ διαμερισθήσονται
τὰ σκῦλά σου ἐν σοὶ, καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ b
Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ [l] οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσι, καὶ ἐξελεύσεται Κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ πολέμου. Καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ
κατέναντι Ἱερουσαλὴμ ἐξ ἀνατολῶν, καὶ σχισθήσεται τὸ ὄρος c

Περὶ τῆς τοῦ Κυρίου παρουσίας, καὶ τῶν κατὰ τὸ πάθος αὐτοῦ συμβησομένων.

i κριθήτε et mox κρίθητε S. k ἀπαρνησαμένου] ἀπαρνησαμένους P. qui om. πρὸς post κυρίου. l οἰκεῖαι S. et sic p. 285 C.

Es. 50, 1. Os. 2, 2.

Quis est hic liber repudii matris vestræ, in quo emisi eam? Et rursus, *Judicamini adversus matrem vestram, judicamini: quoniam hæc non uxor mea, et ego non vir ejus.* Merito sane tanquam iis qui matrem abnegaverint filiam Domini ipsius Domini adventum præsens prophetia nuntiat. Erit autem hæc ecclesia de gentibus, quæ loco prioris filiæ per nostri Salvatoris apostolos habita est.

AB EODEM.

18 Zach. 14, 1.

Ecce dies veniunt Domini, et dividentur spolia tua in te, et congregabo omnes gentes in Hierusalem ad bellum, et capietur civitas, et diripientur domus, et mulieres fœdabuntur, et egredietur dimidium civitatis in captivitatem, reliqui vero de populo meo non peribunt, et egredietur Dominus, et parabitur ad prælium in gentibus illis, sicut dies prælii ejus in die belli: et stabunt pedes ejus in die illa super monte olivarum, qui est contra Hierusalem ab oriente, et scindetur mons oli-

De Domini adventu, et de iis, quæ in passione ejus ventura erant.

[m]τῶν ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς, καὶ τὸ ἥμισυ
αὐτοῦ πρὸς θάλασσαν, χάος μέγα σφόδρα, καὶ κλινεῖ τὸ
ἥμισυ τοῦ ὄρους πρὸς τὸν Βορρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς
2 Νότον. Καὶ ἐμφραχθήσεται ἡ κοιλὰς τῶν ὀρέων μου, καὶ
ἐγκολληθήσεται ἡ φάραγξ ὀρέων ἕως Ἀσαὴλ, καὶ ἐμφρα-
χθήσεται ὃν τρόπον ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ
ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα. [n] Καὶ παρέσται Κύριος
ὁ Θεός μου καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ. Καὶ ἔσται ἐν
ἐκείνῃ τῇ ἡμέρᾳ, οὐκ ἔσται φῶς, ἀλλὰ ψύχος καὶ πάγος
3 ἔσται μίαν ἡμέραν. Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ, d
καὶ οὐχ ἡμέρα, καὶ οὐχὶ νὺξ, τὸ πρὸς ἑσπέραν ἔσται φῶς.
Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ἐξελεύσεται ὕδωρ ζῶν ἐξ
Ἱερουσαλήμ. Τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώ-
την, καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην.
Ἐν θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. Καὶ ἔσται Κύριος εἰς
βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος
εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἓν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ
τὴν ἔρημον.

4 Μετὰ τὴν πρώτην πολιορκίαν τῆς Ἱερουσαλὴμ καὶ τὴν παντελῆ καθαίρεσιν αὐτῆς καὶ ἐρήμωσιν τὴν ὑπὸ Βαβυλωνίων καὶ μετὰ τὴν ἀπὸ τῆς πολεμίας γῆς ἐπὶ τὴν οἰκείαν ἐπάνοδον, τὴν ἐπὶ Κύρου τοῦ Περσῶν βασι-

[m] ἐλαιῶν] τῶν ἐλαιῶν P. [n] Καὶ—αὐτοῦ add. P.

varum, dimidium ejus ad orientem, et dimidium ejus ad mare: profunditas magna vehementer, et inclinabit dimidium montis ad Boream, et dimidium ejus ad Austrum: et obturabitur vallis montium meorum, et conglutinabitur convallis montium usque Azael: et obturabitur, quemadmodum obturata est a facie terræmotus in diebus Oziæ regis Juda. Et adveniet Dominus Deus meus, et omnes sancti cum eo: et erit in die illa, non erit lumen, sed frigus et glacies erit die uno: et dies ille notus Domino, et non dies, neque nox, ad vesperam erit lux. Et erit in die illa, egredietur aqua viva de Hierusalem: dimidium ejus ad mare primum, et dimidium ejus ad mare ultimum: in æstate et in vere erit sic: et erit Dominus in regem in omnem terram. In die illa erit Dominus unus, et nomen ejus unum, circundans omnem terram, et omnem solitudinem. Post primam obsidionem Hierusalem extremamque illius ruinam et solitudinem, quæ sub Babyloniis accidit, postque reditum ab hostili terra ad patriam, qui sub Cyro Persarum

λέως γενομένην, ἄρτι τῆς Ἱερουσαλὴμ ἀνεγηγερμένης,
ἀνανεωθέντος δὲ τοῦ ἁγιάσματος καὶ τοῦ πρὸς αὐτῷ
θυσιαστηρίου ἐπὶ Δαρείου τοῦ Πέρσου, ὁ παρὼν προ-
φήτης θεσπίζει, τὴν μετὰ ταῦτα δευτέραν πολιορκίαν p. 285
τῆς Ἱερουσαλὴμ σημαίνων, ἣν πέπονθεν ὑπὸ Ῥωμαίων
οὐκ ἄλλοτε ἢ μετὰ τὰ κατὰ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ
5 Χριστοῦ τοῖς οἰκήτορσιν αὐτῆς τετολμημένα. Ἐναρ-
γέστατα τοιγαροῦν καὶ ἐνταῦθα τοῦ Σωτῆρος ἡμῶν τοῦ
Θεοῦ Λόγου ἡ παρουσία καὶ τὰ ἐπὶ ταύτῃ συμβεβηκότα
[o] δηλοῦνται. Ταῦτα δὲ ἦν ὁμοῦ τὰ περὶ τὸν καιρὸν
τοῦ πάθους αὐτοῦ πεπραγμένα, καὶ ἡ παραυτίκα τῷ
Ἑβραίων ἔθνει ἐπελθοῦσα πολιορκία, καὶ τῆς Ἱερου-
σαλὴμ ἡ ἅλωσις, καὶ ἡ πρὸς τούτοις κλῆσις τῶν ἐθνῶν,
τοῦ τε ἑνὸς καὶ μόνου Θεοῦ εἰς πᾶν γένος ἀνθρώπων b
6 ἐπίγνωσις. Ὅ γε μὴν πνευματοφόρος προφήτης περι-
παθέστερον ὡς ἂν ἐπ' οἰκείοις ὀλοφυρόμενος τοῖς ἐκ
περιτομῆς, ἐκ τῆς κατ' [p] αὐτῶν ἐκφωνήσεως τὴν καταρ-
χὴν πεποίηται τῆς προφητείας. Ἡμέρας δὴ οὖν τοῦ
Κυρίου, ὥσπερ οὖν καὶ ἐν ἑτέροις κἀνταῦθα ὀνομάζει,

[o] δηλοῦνται] δηλοῦται P. [p] αὐτῶν] αὐτὸν P. ut vulg. S.

rege contigit, quum paulo ante Hierusalem instaurata esset, renovatumque sanctuarium, et quod apud illud erat altare, sub Dario Persa præsens canit propheta, et posthac alteram obsidionem Hierusalem futuram significat, quam passa est a Romanis non alias quam post scelera quæ ejus habitatores contra Salvatorem nostrum Jesum Christum ausi sunt. Manifestissime igitur etiam hoc in loco Salvatoris nostri, qui Dei Verbum est, adventus, et quæ illius tempore acciderint, significantur: sunt vero hæc partim quæ quo tempore ille passus est gesta sunt, partim quæ illico Hebraicam nationem oppressit obsidio, et ipsius Hierusalem expugnatio, et post ipsa hæc vocatio gentium, uniusque ac solius Dei apud omne genus hominum cognitio. Cæterum divino spiritu afflatus propheta cum quadam commiseratione, tanquam is qui suos ad circuncisionem pertinentes deploret, ab exclamatione contra illos suæ prophetiæ initium facit: *dies* igitur *Domini*, sicut in aliis locis, hoc quoque in loco nominat, ut sic tempus Christi ad homines adventus significet: planeque in

οὕτως τὸν χρόνον τῆς εἰς ἀνθρώπους τοῦ Χριστοῦ παρ-
ουσίας σημαίνων· καὶ σαφῶς δηλῶν, ὡς ἄρα ὁ Κύριος
αὐτὸς, οἷα φῶς ἀληθινὸν [q]τυγχάνων, ἰδίων ποιητής ποτε c
γενήσεται ἡμερῶν, τοῖς [r]τε ἐπὶ γῆς ἅπασιν ἀνθρώποις
ἐπιλάμψει, τῶν ἐθνῶν ἁπάντων αὐτόν τε καὶ τὰς ἀκτῖ-
νας τοῦ φωτὸς αὐτοῦ καταδεξαμένων, ὅτε τῶν ἐθνῶν
ἁπάντων φωτιζομένων, κατὰ τὸ *τέθεικά σε εἰς* [s]*φῶς ἐθνῶν,*
εἰς διαθήκην γένους, τὸ Ἰουδαίων ἔθνος διὰ τὴν εἰς αὐτὸν
7 ἀπιστίαν τοῖς ἐσχάτοις περιπεσεῖται [t]δεινοῖς. Τοιοῦτον
γάρ ἐστι τὸ, *Ἰδοὺ* [v]*ἡμέραι ἔρχονται τοῦ Κυρίου, καὶ διαμε-*
ρισθήσονται τὰ σκῦλά σου ἐν σοὶ, καὶ ἐπισυνάξω πάντα τὰ
ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις,
καὶ διαρπαγήσονται αἱ οἰκίαι, καὶ αἱ γυναῖκες μολυνθή-
σονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλω- d
8 *σίᾳ.* Μετὰ δὲ τὴν [u]τῆς Ἱερουσαλὴμ πολιορκίαν, καὶ
τὴν μετ᾽ αὐτὴν αἰχμαλωσίαν τοῦ Ἰουδαίων ἔθνους, ἐπι-
λέγει ἑξῆς ἀγαθὰ τοῖς πᾶσι θεσπίζων, *Καὶ ἔσται Κύριος*
εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν. Καὶ πάλιν, *Ἔσται*
Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ ἓν, κυκλοῦν πᾶσαν τὴν γῆν

[q] τυγχάνον S. [r] δὲ] τε P. [s] φῶς διαθήκης] φῶς ἐθνῶν εἰς διαθήκην P. [t] δεινῶν] δεινοῖς P. [v] ἡμέρα ἔρχεται] ἡμέραι ἔρχονται P. [u] κατὰ τῆς] del. κατά.

eodem ostendit, quemadmodum ipse Dominus, tanquam lumen verum, propriorum aliquando author fiet dierum, et omnibus qui in terra sunt hominibus illucescet, quo tempore et ipsum et luminis ipsius radios universæ gentes suscipient, quæ quidem dum illuminabuntur, juxta illud, *Posui te in lumen gentium, in testamentum generis,* interea Es. 42, 6.
Judaica gens propter infidelitatem adversus illum in extrema incidet infortunia. Tale igitur est illud, *Ecce dies veniunt Domini, et dividentur spolia tua in te, et congregabo omnes gentes in Hierusalem ad bellum, et capietur civitas, et diripientur domus, et mulieres fædabuntur, et egredietur dimidium civitatis in captivitatem.* Post vero ipsius Hierusalem obsidionem, et eam quæ illico secuta est Judaicæ gentis servitutem, deinceps bona omnibus adjungit communia, sic canens, *Et erit Dominus in regem in omnem terram.* Et rursus, *Erit Dominus unus, et nomen illius unum, ambiens omnem terram et solitudinem.* Sed enim quum vaticinium enuntiet Judaicam gentem esse talia perpessuram

9 καὶ τὴν ἔρημον. Ἀλλὰ γὰρ καὶ τὸ Ἰουδαίων ἔθνος τοι-
αῦτα πείσεσθαι ἐν ταῖς τοῦ Κυρίου ἡμέραις τῆς προρ-
ρήσεως ἀποφηναμένης, τίς οὐκ ἂν θαυμάσειε τῆς προρ-
ρήσεως τὸ ἀποτέλεσμα; Ἅμα γὰρ Ἰησοῦς ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν παρῆν, ἠσέβουν τε εἰς αὐτὸν οἱ ἐκ περι-
τομῆς, [x] καὶ πάντα αὐτοῖς ἀθρόως τὰ προηγορευμένα
μετὰ πεντακοσιοστὸν ἔτος τῆς προρρήσεως τέλους ἐτύγ- p. 286
χανεν, ἐξ αὐτοῦ Πιλάτου καὶ μέχρι τῆς κατὰ Νέρωνα
καὶ Τίτον καὶ Οὐεσπασιανὸν πολιορκίας οὐ διαλελοι-
πότων αὐτοὺς παντοίων καὶ ἐπαλλήλων συμφορῶν, ὡς
πάρεστιν ἐκ τῆς [y] Φλαυίου Ἰωσήπου γραφείσης ἱστορίας
10 ἀναλέξασθαι. Τότε μὲν οὖν εἰκὸς τὸ ἥμισυ τῆς πόλεως
ἀπολωλέναι τῇ πολιορκίᾳ, ὥς φησιν ἡ προφητεία· μετ'
οὐ πολὺν δὲ χρόνον, κατὰ Ἀδριανὸν αὐτοκράτορα κινή-
σεως αὖθις Ἰουδαϊκῆς γενομένης, τὸ [z] λοιπὸν τῆς πόλεως
μέρος ἥμισυ πολιορκηθὲν αὖθις ἐξελαύνεται, ὡς ἐξ ἐκεί- b
νου καὶ εἰς δεῦρο πάμπαν ἄβατον αὐτοῖς γενέσθαι τὸν
11 τόπον. Εἰ δὲ [a] λέγοι τις κατὰ Ἀντίοχον τὸν Ἐπιφανῆ
ταῦτα πεπληρῶσθαι, σκεψάσθω, εἰ οἷός τε ἐστὶν ἀπο-
διδόναι καὶ τὰ λοιπὰ τῆς προφητείας κατὰ τοὺς Ἀντιό-

[x] καὶ om. P. [y] φλαβίου S. [z] λεῖπον P. [a] λέγει S.

in diebus Domini, quis non exitum vaticinii admiretur? Nam simul ac Jesus Salvator ac Dominus noster advenit, quique ad circuncisionem pertinent nefaria adversus illum facinora perpetrarunt, omnia illis quæ prædicta fuerant L. ab ipsa prædictione anno acervatim evenerunt finemque sortita sunt: quum videlicet ab ipso Pilato usque ad Neronem et Titum ac Vespasianum, qui civitatem obsederunt, nusquam illos omnis generis et aliæ super alias ingruentes calamitates defecerint, quemadmodum facile est ex ea historia, quam Flavius Josephus scripsit, colligere. Tunc sane credibile est dimidium civitatis periisse obsidione, ut ait prophetia: haud vero ita multo post quum Adrianus imperaret, Judaico rursus exorto tumultu, quæ reliqua fuerat pars dimidia civitatis rursus obsessa expellitur, adeo quidem ut ab illo tempore usque in hodiernum diem penitus instabilis omnis illis factus sit locus. Quod si quis dicat sub Antiocho Epiphane hæc completa fuisse, etiam atque etiam consideret, utrum possit reliqua item, quæ ex hac prophetia supersunt, ad An-

χου χρόνους· οἷον, τὸ αἰχμαλωσίαν πεπονθέναι τὸν λαὸν, καὶ τὸ στῆναι τοὺς πόδας Κυρίου ἐπὶ τὸ τῶν [b]ἐλαιῶν ὄρος, καὶ εἰ γέγονε Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἰ τὸ ὄνομα Κυρίου ἐκύκλωσε τὴν γῆν πᾶσαν καὶ τὴν ἔρημον, ὅτε τῆς Συρίας Ἀντίοχος ἐκράτει· καὶ τὰ λοιπὰ δὲ τῆς προρρήσεως, ὁποίου τέλους ἔτυχεν Ἀντιόχου βασιλεύοντος, [c]πῶς τις c
12 ἀποδώσει; καθ' ἡμᾶς δὲ ταῦτα καὶ πρὸς λέξιν μὲν ἀποδέδοται, καὶ καθ' ἑτέραν δὲ διάνοιαν· μετὰ γὰρ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν ἡ πόλις αὐτῶν, αὕτη [d]γε ἡ Ἱερουσαλὴμ, καὶ τὸ πᾶν σύστημα καὶ πολίτευμα τῆς κατὰ τὸν νόμον Μωσέως θρησκείας καθῃρεῖτο· αὐτίκα [e]δὲ τὴν κατὰ διάνοιαν αἰχμαλωσίαν πρὸς τῇ σωματικῇ πεπόνθασι, τὸν Σωτῆρα καὶ λυτρωτὴν τῶν ἀνθρωπίνων ψυχῶν μὴ παραδεξάμενοι, τὸν ἐλθόντα *κηρῦξαι τοῖς* ὑπὸ δαιμόνων πονηρῶν *αἰχμαλώ*- d
τοις ἄφεσιν, καὶ τοῖς τὰς διανοίας τυφλοῖς ἀναβλεψιν.
13 Ταῦτα δὲ πεπονθότων ἐκείνων διὰ τὴν ἀπιστίαν αὐτῶν,

[b] ἐλαῶν P. [c] ὅπως P. [d] γε] τε P. [e] δὲ] τε P.

tiochi tempora referre, cujusmodi illud est, quod populus servitutem sit passus, quod pedes Domini in monte olivarum steterint, et utrum Dominus in die illa in regem fuerit in omnem terram, et utrum nomen Domini ambierit omnem terram et solitudinem, quo tempore Syriam Antiochus obtinuit: et quæ reliqua sunt de eodem oraculo, quem finem sortita sint, aliquo modo conetur ostendere. At si quis nostram rationem sequatur, vel ad verbum hæc evenisse demonstrabit, atque in alium item sensum eadem accipere poterit: nam post Salvatoris nostri Jesu Christi adventum civitas illorum ipsaque Hierusalem atque omnis conventus institutioque civilis, quæ ad ritum religionemque Mosaicæ legis pertinet, eversa sublataque sunt: e vestigioque eam, quæ ad intelligentiam spectat, servitutem, adjuncta etiam ea quæ corporum est, perpessi sunt, quippe qui Salvatorem ac liberatorem humanarum animarum non susceperint, eum qui venerat, ut iis qui malorum dæmonum servi facti essent *liberationem nun-* Es. 61, 1.
tiaret, iis vero, qui mentis oculis capti, visus recuperationem. Hæc Luc. 4, 18.
itaque quum illi ob incredulitatem suam pertulissent, alii omnes quicunque suum liberatorem agnoverunt, domesticique illius ac familiares

[f] οἱ τὸν σφῶν λυτρωτὴν ἐπιγνόντες, οἰκεῖοί τε αὐτοῦ
γενόμενοι μαθηταὶ, καὶ ἀπόστολοι, καὶ εὐαγγελισταὶ,
πλεῖστοί τε ἄλλοι τῶν ἐκ περιτομῆς εἰς αὐτὸν πεπιστευ-
κότων, περὶ ὧν φησὶν ὁ ἀπόστολος, *Οὕτω καὶ νῦν λεῖμμα*
14 *κατ' ἐκλογὴν χάριτος γέγονε.* Καὶ τὸ, *Εἰ μὴ Κύριος*
Σαβαὼθ ἐγκατέλιπεν ἡμῖν σπέρμα, ὡς Σόδομα ἂν ἐγενή-
θημεν, καὶ ὡς Γόμοῤῥα ἂν ὡμοιώθημεν· τῆς νενοημένης p. 287
ἡμῖν κατὰ διάνοιαν πολιορκίας ἄπειροι διεφυλάχθησαν
οὐ μόνον, ἀλλὰ καὶ τῆς πρὸς λέξιν ἀποδοθείσης. Οἱ
γοῦν ἀπόστολοι καὶ μαθηταὶ τοῦ Σωτῆρος ἡμῶν, καὶ
πάντες οἱ ἐξ Ἰουδαίων εἰς αὐτὸν πεπιστευκότες, μακρὰν
τῆς Ἰουδαίας γῆς γενόμενοι, καὶ τοῖς λοιποῖς ἔθνεσιν
ἐπισπαρέντες, τὸν κατὰ τῶν οἰκούντων τὴν πόλιν ὄλε-
15 θρον διαδρᾶναι τότε ἠδυνήθησαν. Καὶ τοῦτο δὲ ἡ
προφητεία προλαβοῦσα [g] ἐθέσπισε, δι' ὧν ἔφησεν, *Οἱ δὲ*
κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν. Οἷς ἑξῆς b
ἐπιλέγει, *Καὶ ἐξελεύσεται Κύριος καὶ παρατάξεται ἐν τοῖς*
ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ
16 *πολέμου.* Ἐν ποίοις δὲ ἔθνεσι Κύριος παρατάξεται, ἢ

[f] υἱ τῶν οἱ τὸν S. [g] ἐθέσπισαν S.

effecti sunt, discipuli utique et apostoli et evangelistæ, compluresque alii qui de circuncisione profecti in ipsum crediderunt, de quibus ait Rom. 11, 5. apostolus, *Sic etiam nunc reliquiæ secundum electionem gratiæ factæ* Ex. 1, 9. *sunt.* Et illud, *Nisi Dominus Sabaoth reliquisset nobis semen, quasi Sodoma facti essemus, et quasi Gomorrha similes fuissemus,* illius obsidionis, quam nos ad intelligentiam referimus, immunes expertesque sunt servati, neque hujus solum, sed etiam illius quæ ad verbum intelligitur: nam ipsi apostoli ac discipuli Salvatoris nostri, et omnes qui ex Judæis ad ipsum credentes accesserant, quum procul ab Judæa terra abessent et reliquis essent immixti gentibus, omnem eorum, qui civitatem incolebant, perditionem atque interitum effugere per illud tempus facile potuerunt. Quod ipsum sane etiam prophetia anticipans cecinerat illis verbis, *Qui autem reliqui fuerint de populo meo, non peribunt.* Quibus deinceps adjungit, *Et egredietur Dominus, et comparabitur ad prælium in gentibus illis, quemadmodum dies prælii ejus in die belli.* At vero in quibus tandem gentibus Dominus præliabitur, si non in iis quæ Hierusalem obsidebunt? Indicat vero ipsum

ἐν τοῖς τὴν Ἱερουσαλὴμ πολιορκήσουσι; Δηλοῖ δὲ ὁ
λόγος αὐτὸν τὸν Κύριον συμμαχήσειν τοῖς πολιορκοῦσιν,
ἐν αὐτοῖς ὄντα καὶ σὺν αὐτοῖς παρατατόμενον, ὥσπερ
τινὰ στρατηγὸν καὶ ὑπέρμαχον αὐτῶν κατὰ τῆς Ἱερου-
17 σαλὴμ [h]στρατευόμενον. Οὐ γάρ φησιν ὁ λόγος τὸν
Κύριον κατὰ τῶν ἐθνῶν [i]παρατάξεσθαι. Τίσιν δὲ καὶ c
κατὰ τίνων; Κατὰ τῆς Ἱερουσαλὴμ, καὶ τῶν οἰκητόρων
αὐτῆς, περὶ ὧν ἦν ὁ λόγος. Τὸ δὲ, *Καὶ στήσονται οἱ
πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν, τὸ
κατέναντι Ἱερουσαλὴμ, ἐξ ἀνατολῶν*, τί ἕτερον δηλοῖ, ἢ
Κυρίου τοῦ Θεοῦ, αὐτοῦ δὴ τοῦ Θεοῦ Λόγου, τὴν ἐπὶ
τῆς ἐκκλησίας αὐτοῦ στάσιν τε καὶ βεβαίωσιν, ἣν ὄρος
ἐλαιῶν ἐπὶ τοῦ παρόντος κατὰ τρόπον ἀλληγορίας ὀνο-
18 μάζει; Ὡς γὰρ *ἀμπελὼν ἐγενήθη τῷ ἠγαπημένῳ*, καὶ ἦν
ἀμπελὼν Κυρίου Σαβαὼθ ἀλληγορικῶς *ὁ οἶκος τοῦ*
Ἰσραὴλ, καὶ ἄμπελος τοῦ Ἰούδα [k]*νεόφυτον ἠγαπημένον*·
οὕτω δὴ κατὰ τὴν αὐτὴν θεωρίαν εἴποις ἂν ὅτι δὴ καὶ
ἐλαιὼν ἐγενήθη τῷ δεσπότῃ ἡ ἐξ ἐθνῶν ἐκκλησία αὐτοῦ, d
ἣν πάλαι ἀγριέλαιον οὖσαν κατεφύτευσεν, ἐγκεντρίσας

[h] στρατευομένων] στρατευόμενον P. [i] παρατάξασθαι S. [k] νεόφυτος ἠγαπημένη] νεόφυτον ἠγαπημένον P. Mox pro ἄμπελος corr. ἄνθρωπος cum Es. 5, 7.

oraculum, quemadmodum ipse Dominus auxilium feret obsidentibus, eritque interim in illis, et cum illis ad prælium comparabitur, quasi quidam imperator propugnatorque illorum et adversus Hierusalem militabit. Non enim dicit oratio, Dominum contra gentes præliaturum. Quibus ergo et contra quos? Nempe contra Hierusalem, et contra ejus habitatores, de quibus sermo erat. Illud autem, *Et stabunt pedes ejus in die illa super monte olivarum, qui est contra Hierusalem ad orientem*, quidnam aliud significet, quam Domini Dei, ipsius, inquam, Dei Verbi, in sua ecclesia stationem et confirmationem, quam in præsenti montem olivarum per figuram, quæ permutatio dicitur, nominat? Ut enim *vinea extitit dilecto*, et fuit *vinea Domini* Es. 5. 1.
Sabaoth figurate *domus Israel, et vitis Juda novella dilecta*, sic eadem ratione dixeris, quod etiam olivetum facta sit Domino collecta de gentibus ecclesia ipsius, quæ sane ecclesia quum antea esset oliva quædam agrestis, plantata fuit a Domino, qui eam post insuevit in

ἐπὶ τὰς ἀποστολικὰς τῆς καλλιελαίου ῥίζας μετὰ τὴν τῶν προτέρων κλάδων ἐκτομὴν, ὥσπερ οὖν ὁ ἀπόστολος παιδεύει, καὶ κατεφύτευσέ γε αὐτὴν ὁ Κύριος ἑαυτῷ, μονονουχὶ διὰ τῆς προφητείας λέγων, Ἐλαίαν ὡραίαν
19 εὔσκιον ἐκάλεσε Κύριος τὸ ὄνομά σου. Ἐπεὶ γὰρ ὁ πρῶτος ἀμπελὼν δέον ποιῆσαι σταφυλὴν ἐποίησεν ἀκάνθας, καὶ οὐ δικαιοσύνην ἀλλὰ κραυγὴν, εἰκότως ὡς ἂν ἀκάρπου αὐτοῦ καθελὼν ὁ Θεὸς τὸν φραγμὸν αὐτοῦ καὶ τὸν τοῖχον αὐτοῦ, παραδούς τε αὐτὸν τοῖς ἐχθροῖς εἰς διαρπαγὴν, καὶ καταπάτησιν, κατὰ τὴν τοῦ Ἡσαΐου προφητείαν, p. 288
ἕτερον [l]αὐτὸς ἑαυτῷ ἀγρὸν συνεστήσατο, τὸν ἐπὶ τοῦ παρόντος ἐλαιῶνα ὀνομαζόμενον, ἅτε τοῦ ἐκ Θεοῦ [m]ἐλέους τετυχηκότα, καὶ πρὸς τοῦ Χριστοῦ καταφυτευθέντα ἀειθαλέσι φυτοῖς, τοῦτ᾽ ἔστι ψυχαῖς ἁγίαις καὶ φωτὸς θρεπτικαῖς, οἵαις τε [n]λέγειν, ἐγὼ δὲ ὡσεὶ ἐλαία κατά-
20 καρπος ἐν τῷ οἴκῳ τοῦ Θεοῦ. Τοῦτο δὲ τὸ τῶν ἐλαιῶν ὄρος κατέναντι τῆς Ἱερουσαλὴμ εἶναι λέλεκται, ἐπειδήπερ ἀντὶ τῆς παλαιᾶς ἐπιγείου Ἱερουσαλὴμ, καὶ τῆς ἐν αὐτῇ θρησκείας, συνέστη τῷ Θεῷ μετὰ τὴν τῆς Ἱερουσαλὴμ b
καθαίρεσιν. Φήσας γοῦν ἀνωτέρω ὁ λόγος περὶ τῆς

[l] αὐτὸν] αὐτὸς P. [m] ἐλέου P. [n] λέγει] λέγειν P.

apostolicis bonæ olivæ radicibus post priorum ramorum excisionem,
Rom. 11, 24. quemadmodum apostolus docet: et plantavit (inquit) eam Dominus
Jer. 11, 16. sibiipsi, propemodum per prophetiam dicens, *Olivam speciosam umbrosam vocavit Dominus nomen tuum.* Postquam enim prior vinea,
Es. 5, 4. *quum deberet facere uvam, fecit spinas,* neque justitiam sed clamorem, merito tanquam ejus quæ infructuosa esset sepem auferens ac parietem Deus, tradensque eam inimicis *ad diripiendum et conculcandum,* sicut in Esaiæ prophetia dictum est, alium ipse sibi agrum constituit in præsenti, quod olivetum nominatur, quasi eum qui oleum et misericordiam a Deo sit consecutus, et a Christo plantis semper virentibus consitus, hoc est, sanctis lucisque altricibus animis, quibus liceat
Ps. 52, 8. dicere, *Ego autem sicut oliva fructifera in domo Dei.* Hic vero olivarum mons contra Hierusalem esse dicitur, quoniam in locum veteris ac terrenæ Hierusalem, ac religionis, quæ in illa servabatur, successit et a Deo constitutus est post ruinam Hierusalem: quum supra igitur oraculum dixerit de Hierusalem, *quod civitas capietur,*

Ἱερουσαλὴμ, ὡς ἁλώσεται ἡ πόλις, καὶ τὰ ἐχθρὰ καὶ
πολέμια ἔθνη συναχθήσεται ἐπ' αὐτὴν, καὶ διαμερισθήσεται
τὰ σκῦλα αὐτῆς, εἰκότως οὐκ ἐπὶ τῆς Ἱερουσαλὴμ τοὺς
21 πόδας τοῦ Κυρίου στήσεσθαί φησι. Πῶς γὰρ καὶ οἷόν
τε ἦν, ἅπαξ καθῃρημένης; Μεταβάντων δὲ ἐξ αὐτῆς ἐπὶ
τὸ ἄντικρυς τῆς Ἱερουσαλὴμ ὄρος τὸ καλούμενον ἐλαιῶν,
ἐνταῦθα στήσεσθαι διδάσκει. Τοῦτο δὲ καὶ ὁ προφήτης
22 Ἰεζεκιὴλ τῷ θείῳ πνεύματι προλαβὼν θεωρεῖ. Λέγει c
δὲ οὖν, Καὶ °ἐξήγειρε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν,
καὶ οἱ τροχοὶ ἐχόμενοι αὐτῶν, καὶ ἡ δόξα Θεοῦ Ἰσραὴλ ἦν
ἐπ' αὐτοῖς ὑπεράνω αὐτῶν, καὶ ἀνέβη ἡ δόξα Κυρίου ἐκ
μέσου τῆς πόλεως, καὶ ἔστη ἐπὶ τοῦ ὄρους ὃ ἦν ἀπέναντι
23 τῆς πόλεως. Ὅπερ ἐστὶ καὶ ἄλλως πρὸς λέξιν ὁρᾶν
πεπληρωμένον εἰσέτι καὶ σήμερον, τῶν εἰς Χριστὸν πε-
πιστευκότων ἁπάντων πανταχόθεν γῆς συντρεχόντων,
οὐχ ὡς πάλαι τῆς κατὰ τὴν Ἱερουσαλὴμ ἀγλαΐας ἕνεκα,
οὐδ' ὥστε προσκυνῆσαι ἐν τῷ πάλαι συνεστῶτι ἐπὶ τῆς
Ἱερουσαλὴμ ἁγιάσματι, καταλύειν δὲ ἕνεκεν ἱστορίας τε d
ὁμοῦ τῆς κατὰ τὴν προφητείαν ἁλώσεως καὶ ἐρημίας
τῆς Ἱερουσαλὴμ, καὶ τῆς ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ

° ἐξῆρε τὰ Χερουβὶμ] ἐξήγειρε τὰ Χερουβὶμ τὰς πτέρυγας αὐτῶν S.

quodque hostiles atque inimicæ gentes convenient adversus eam, et spolia ejus dividentur, merito non in Hierusalem pedes Domini staturos dicit: qui enim id fieri potuisset, quum ea semel sublata esset? sed migrantibus ab ea in montem qui est contra Hierusalem, qui olivarum vocatur, ibi staturos docet, quod etiam propheta Iezechiel, divino ante spiritu edoctus, contemplatur, dicit enim, *Et elevaverunt* Ez. 11, 22.
cherubim alas suas, et rotæ, quæ eis adhærebant, et gloria Dei Israel erat super eis, et ascendit gloria Domini de medio civitatis, et stetit in monte, qui est contra civitatem. Quod quidem aliter quoque licet intueri completum ad verbum quando hodie quoque omnes, quicunque Christi religionem cum fide susceperint, ex omnibus terræ partibus concurrunt, non ut quondam festæ cujusdam lætitiæ gratia, quæ in Hierusalem celebretur, neque ut adorent in eo, quod olim in Hierusalem constitutum fuerat sanctuario, sed ut diversentur quum ad sciscitandum de expugnatione et solitudine Hierusalem, quam prophetia prædixerat, tum ut in monte olivarum, qui est contra Hieru-

κατέναντι Ἱερουσαλὴμ προσκυνήσεως, ἔνθα ἡ δόξα Κυ-
ρίου μετέστη καταλείψασα τὴν προτέραν πόλιν. Ἔστη-
σαν δὲ ἀληθῶς καὶ κατὰ τὴν πρόχειρον καὶ ῥητὴν
διήγησιν οἱ πόδες τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν, αὐτοῦ
δὴ τοῦ [p] Θεοῦ Λόγου, δι' οὗ ἀνείληφεν ἀνθρωπείου σκή-
νους ἐπὶ τοῦ ὄρους τῶν ἐλαιῶν πρὸς τῷ αὐτόθι δεικνυ-
μένῳ σπηλαίῳ, εὐξαμένου τε καὶ τοῖς ἑαυτοῦ μαθηταῖς
ἐπὶ τῆς ἀκρωρείας τοῦ τῶν ἐλαιῶν ὄρους τὰ περὶ τῆς
συντελείας μυστήρια παραδεδωκότος, ἐντεῦθέν τε τὴν
εἰς οὐρανοὺς ἄνοδον πεποιημένου, ὡς ὁ Λουκᾶς ἐν ταῖς
Πράξεσι τῶν ἀποστόλων διδάσκει φάσκων [q] ὅτι δὴ ἐν p. 289
τῷ τῶν ἐλαιῶν ὄρει συμπαρόντων αὐτῷ τῶν ἀποστόλων,
βλεπόντων αὐτῶν ἐπήρθη, καὶ νεφέλη ὑπέλαβεν αὐτὸν ἀπὸ
24 τῶν ὀφθαλμῶν αὐτῶν. Καὶ ὡς ἀτενίζοντες ἦσαν εἰς τὸν
οὐρανὸν πορευομένου αὐτοῦ, καὶ ἰδοὺ ἄνδρες δύο παρειστή-
κεισαν αὐτοῖς ἐν [r] ἐσθήσεσι λευκαῖς, οἳ καὶ εἶπον, Ἄνδρες
Γαλιλαῖοι, τί ἑστήκατε βλέποντες εἰς τὸν οὐρανόν; οὗτος
ὁ Ἰησοῦς ὁ ἀναληφθεὶς ἀφ' ὑμῶν εἰς τὸν οὐρανὸν, οὕτως
ἐλεύσεται, ὃν τρόπον ἐθεάσασθε αὐτὸν πορευόμενον εἰς τὸν
25 οὐρανόν. Οἷς ἐπιφέρει λέγων, Τότε ὑπέστρεψαν εἰς Ἱε-

[p] Θεοῦ add. P. [q] ὅτι—ἀποστόλων add. P. [r] ἐσθῆσι] ἐσθήσεσι P.

salem, adorent, ubi gloria Domini commutata est postquam delevit priorem civitatem. Vere autem et secundum expositam atque ad verbum acceptam enarrationem pedes Domini et Salvatoris nostri, ipsius utique Dei Verbi, per id quod assumpsit humanum corpus in monte olivarum steterunt ad speluncam quæ ibi ostendi solet, et quo tempore oravit, et quum suis discipulis in ejus montis cacumine mysteria de consummatione tradidit: ex eodem præterea monte in
Act. 1, 9. cœlum ascendit, quemadmodum Lucas in Actis Apostolorum docet, quum ait, illum in monte olivarum apostolis suis et præsentibus et *intuentibus, sublimem abiisse, nubeque ab oculis eorum sublatum fuisse, ipsosque intentis oculis, illo in cœlum abeunte, mansisse. Et ecce, inquit, duo viri adstiterunt eis in vestibus albis, qui etiam dixerunt, Viri Galilæi, quid statis aspicientes in cœlum? hic Jesus qui assumptus est a vobis in cœlum, sic veniet, quemadmodum vidistis eum euntem in cœlum.* Quibus etiam adjungit verba hæc, *Tunc reversi sunt in Hie-*

ρουσαλὴμ ἀπὸ ὄρους τοῦ καλουμένου ἐλαιῶνος, ὅ ἐστι
26 κατέναντι Ἱερουσαλήμ. Ἔστι μὲν οὖν καὶ πρὸς λέξιν b
κατέναντι Ἱερουσαλὴμ καὶ ἐξ ἀνατολῶν αὐτῆς τὸ δηλού-
μενον τῶν ἐλαιῶν ὄρος. Πλὴν ἀλλὰ κατὰ τὴν διάνοιαν
ἡ ἁγία Χριστοῦ ἐκκλησία, καὶ τὸ ὄρος ἐφ' ᾧ τεθεμελίω-
ται, περὶ οὗ διδάσκει λέγων ὁ Σωτὴρ, Οὐ δύναται πόλις
κρυβῆναι ἐπάνω ὄρους κειμένη, ἀντὶ τῆς πεσούσης καὶ μὴ
ἐγερθείσης Ἱερουσαλὴμ ἀνεγερθεῖσα, καὶ τῶν ποδῶν
τοῦ Κυρίου καταξιωθεῖσα, οὐ μόνον κατέναντί ἐστιν
Ἱερουσαλὴμ, ἀλλὰ καὶ ἐξ ἀνατολῶν αὐτῆς, προσλα-
βοῦσα τὰς αὐγὰς τοῦ τῆς θεοσεβείας φωτὸς, καὶ πολὺ
προτέρα τῆς Ἱερουσαλὴμ γενομένη, αὐτῷ τε πλησιά- c
σασα τῷ τῆς δικαιοσύνης ἡλίῳ, περὶ οὗ λέλεκται, τοῖς
δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης.
27 [s] Εἰ δὲ λέγοι τὸ ἑξῆς, ὅτι σχισθήσεται τὸ ὄρος τῶν
ἐλαιῶν, τὸ ἥμισυ αὐτοῦ πρὸς ἀνατολὰς καὶ θάλασσαν, χάος
μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ [t] αὐτοῦ πρὸς τὸν βορρᾶν,
καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς [u] νότον, δύναται μὲν τὴν καθ'
ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἐξάπλωσιν τῆς ἐκκλη-

[s] Ὁ δὲ λέγει] εἰ δὲ λέγοι P. [t] αὐτοῦ P. in marg. [u] νότου S.

rusalem a monte, qui vocatur oliveti, qui est contra Hierusalem. Est
igitur, etiam si quis ad verbum scripturam velit accipere, *contra Hie-
rusalem et ab illa ad orientem spectans,* mons is, de quo dictum est,
olivarum: verumtamen si sententiam non verba sequi volumus,
sancta Christi ecclesia, et mons in quo fundata est, de quo loquitur
Salvator, dicens, *Non potest abscondi civitas supra montem posita,* pro Matth. 5,
ea quæ cecidit neque amplius surrexit Hierusalem structa atque 14.
erecta, dignaque habita in qua pedes Domini insistant, non solum
est contra Hierusalem, sed etiam ab ea ad orientem vergens, quippe
quæ ejus luminis, quo Deum pie colimus, radios excipiat, et multo
ipsa Hierusalem anterior facta sit, ipsique justitiæ soli propinquior,
de quo dictum est, *timentibus autem me, orietur sol justitiæ.* Quia Mal. 4, 2.
vero dicit deinceps, *quod scindetur mons olivarum, dimidium ejus ad
orientem et mare, profunditas magna vehementer, et inclinabit dimi-
dium ejus ad boream, et dimidium ejus ad austrum,* potest hoc quidem
ecclesiæ per totum orbem, qui ab hominibus incolitur, dilatationem

σίας σημαίνειν, [x]ἐπεὶ καὶ ἀνατολὰς ἡλίου, αὐτά τε τὰ
ἑῷα καὶ ἀνατολικὰ ἔθνη [y]πεπλήρωκεν, διατείνει δὲ καὶ d
ἐπὶ τὴν δυτικὴν θάλασσαν τάς τε ἐν αὐτῇ νήσους· οὐ
μὴν ἀλλ' ἔφθακε κατά τε νότον καὶ μεσημβρίαν, κατά
28 τε βορρᾶν, καὶ ἄρκτον. Πάντῃ γὰρ καὶ πανταχοῦ ὁ
σημαινόμενος τροπικῶς τοῦ Κυρίου ἐλαιὼν ἡ ἐκκλησία
αὐτοῦ καταπεφύτευται. Δύναται δὲ καὶ κατὰ διάνοιαν
τὰ ἐπὶ τῆς τοῦ Χριστοῦ ἐκκλησίας γενόμενά τε καὶ
εἰσέτι νῦν γινόμενα σχίσματα καὶ τὰς αἱρέσεις τάς τε
ἠθικὰς κατὰ τὸν βίον ἀποπτώσεις αἰνίττεσθαι [z]σχι-
σθέντα· φησὶ γὰρ τὸ ὄρος διαστήσεσθαι, τὸ ἥμισυ αὐτοῦ
πρὸς ἀνατολὰς, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς θάλασσαν, χάος
μέγα σφόδρα, καὶ κλινεῖ τὸ ἥμισυ τοῦ ὄρους πρὸς τὸν βορ-
ρᾶν, καὶ τὸ ἥμισυ αὐτοῦ πρὸς νότον, ὡς εἰς τέσσαρα p. 290
μέρη διαιρεῖσθαι, δύο μὲν τὰ σεμνότερα καὶ κρείττω,
29 δύο δὲ τὰ ἐναντία. Καὶ ὅρα μή ποτε διὰ τούτων τὸ
μὲν πρὸς ἀνατολὰς καὶ πρὸς νότον δύο τάγματα σημαίνει
τῶν τῆς κατὰ Θεὸν προκοπῆς ἐπειλημμένων, ἓν μὲν τῶν
ἐν γνώσει καὶ λόγῳ καὶ τοῖς λοιποῖς τοῦ θείου πνεύ-

[x] ἐπὶ] ἐπεὶ P. [y] πεπληρωμένην] πεπλήρωκεν P. [z] σχισθὲν γάρ φησι τὸ] σχισθέντα· φησὶ γὰρ τὸ P.

significare, quæ partes ad orientem solem spectantes ipsasque auroræ orientisque gentes ac nationes complevit. Porrigitur vero etiam usque ad mare, quod est ad occidentem, et ad insulas, quæ in ipso sunt. Porro ad austrum quoque ac meridiem pervenit, item ad aquilonem et septentriones: ad omnes enim partes et ubique gentium, quod figurate significatur Domini olivetum, quæ est ejus ecclesia, plantatum est. Potest etiam alio sensu, quæ antehac factæ sint, quæque etiam nunc fiunt in ecclesia Christi, scissiones et sectas, moralesque in vita, ubi scissa divisaque est, lapsus significare: dicit enim *montem esse dilapsurum, dimidium ejus ad orientem, et dimidium ejus ad mare: profunditatem magnam vehementer, et inclinabit dimidium montis ad aquilonem, et dimidium ejus ad austrum*, ut sic in quatuor partes scindi videatur, duas quidem graviores ac præstantiores, duas autem contrarias: et sane vide ne forte in his verbis illud quod dicitur ad orientem et austrum duos ordines significet eorum qui successu ac profectu in divino cultu instincti sunt, unum

ματος χαρίσμασι τελειουμένων, θάτερον δὲ τῶν διὰ βίου
30 κατορθούντων, ἐν ἐκλογαῖς γε μὴν διατριβόντων. Τὰ
δὲ λοιπὰ δύο μέρη τῶν προτέρων διῃρημένα εἴη ἄν,
τὸ κατὰ θάλασσαν καὶ πρὸς βορρᾶν, ἀμφότερα πρὸς b
τῇ κακίᾳ σημαινόμενα. Ἀπὸ *προσώπου* γάρ, φησὶ, *βορρᾶ
ἐκκαυθήσεται τὰ κακὰ ἐπὶ πάντας τοὺς κατοικοῦντας τὴν
γῆν·* ὅ τε δράκων ἐπὶ τῆς θαλάσσης ποιεῖσθαι τὰς δια-
31 τριβὰς λέγεται. Ὥστε εἰκότως κἀνταῦθα τῶν ἀπὸ τῆς
ἐκκλησίας ἀποπιπτόντων δύο πάλιν δηλοῦσθαι τρόπους,
[a]τόν τε κατὰ τὸ ἦθος ἁμαρτάνοντα καὶ τὸν τῆς ὑγιοῦς
καὶ ὀρθοδόξου γνώσεως ἐξολισθαίνοντα, ὡς εἶναι ταύτας
τοῦ δηλουμένου [b]τοῦ ἐλαιῶνος ὄρους τὰς ὑπὸ τῆς προ-
φητείας αἰνιττομένας διαστάσεις.
32 Τούτοις ἑξῆς ἐπιλέγεται, *Καὶ ἐμφραχθήσεται ἡ κοιλὰς
τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως
Ἀσαήλ. Καὶ ἐμφραχθήσεται, ὃν τρόπον ἐνεφράγη ἀπὸ* c
προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα.
Κοιλὰς δὲ ἐν τούτοις *τῶν ὀρέων* τοῦ Θεοῦ τίς ἂν εἴη, ἡ

[a] τόν τε κατὰ τὴν γνῶσιν καὶ τὸν κατὰ τὸ ἦθος ἁμαρτάνοντα] τόν τε κατὰ τὸ ἦθος ἁμαρτάνοντα καὶ τὸν τῆς ὑγιοῦς καὶ ὀρθοδόξου γνώσεως ἐξολισθαίνοντα P. [b] τοῦ add. P.

quidem eorum qui in cognitione ac verbo et reliquis divini spiritus donis proficiunt, alterum eorum qui in moribus quidem et vita probe recteque degunt, sed tamen in suis seligendis rationibus detinentur. Reliquæ vero duæ partes, quæ a prioribus divisæ sunt, ad mare et aquilonem, ambæ erunt quæ jam ad malitiam pertinent. *A facie* (enim inquit) *Aquilonis accendentur mala super omnes habitantes terram*, et Jer. 1, 14.
draco in mari diversari dicitur. Quapropter merito hic quoque duo Es. 27, 1.
rursus genera intelliguntur eorum qui ab ecclesia declinant, unum eorum qui in vita et moribus peccant, alterum eorum qui a sana et recta sententia labuntur, ut jam oliveti hujus montis, de quo sermo est, hæ duæ sint, quæ a prophetia significantur, separationes. His deinde adjungit, *Et obturabitur vallis montium meorum, et conglutinabitur convallis montium, usque ad Asael: et obturabitur quemadmodum obturata est a facie terræmotus in diebus Oziæ regis Juda.* At enim in his verbis quæ tandem esse potest *vallis montium* Dei, nisi quæ

ἡ κατὰ τὸν Μωσέως νόμον ἐν τῇ Ἱερουσαλὴμ πάλαι
πρότερον συντελουμένη σωματικὴ καὶ Ἰουδαϊκὴ θρη-
σκεία, ἣν ἀποκλεισθήσεσθαι ὥσπερ ἀποφραχθεῖσαν ὁ
παρὼν λόγος θεσπίζει φάσκων, Καὶ ἐμφραχθήσεται ἡ κοι-
λὰς τῶν ὀρέων μου, καὶ ἐγκολληθήσεται φάραγξ ὀρέων ἕως
33 Ἀσαὴλ, καὶ ἐμφραχθήσεται; Ἀνθ' ὧν ὁ Σύμμαχος πε-
ποίηκε, Καὶ ἐμφραχθήσεται ἡ φάραγξ τῶν ὀρέων μου, καὶ
ἔτι ἐγγιεῖ ἡ φάραγξ τῶν ὀρέων πρὸς τὸ παρακείμενον, καὶ d
ἐμφραχθήσεται, δι' ὧν παρίστησι τὸ αἴτιον τῆς ἐμφρα-
χθείσης φάραγγος. Τί δὲ ἦν τοῦτο, ἀλλ' ἢ τὸ ἐγγίσαι
αὐτὴν καὶ πλησιάσαι τῷ παρακειμένῳ αὐτῇ; Τοῦτο δὲ
ἦν τὸ τοῦ Κυρίου ὄρος τὸ τῶν ἐλαιῶν προωνομασμένον,
34 ὅπερ Ἀσαὴλ ὠνόμασται παρὰ τοῖς ἑβδομήκοντα. Δηλοῖ
δὲ τοῦτο κατὰ τὴν Ἑβραίων φωνὴν ποίησιν Θεοῦ. Οὕτω
δὲ, φησὶν, ἡ παλαιὰ φάραγξ πλησιάσασα τῷ ὄρει, καὶ
τῇ Χριστοῦ ἐκκλησίᾳ, τῷ τε ποιήματι Θεοῦ, ἐμφραχθή-
σεται καὶ ἀποκλεισθήσεται, ὃν τρόπον ἐνεφράγη ἀπὸ
προσώπου τοῦ σεισμοῦ ἐν ἡμέραις Ὀζίου βασιλέως
35 Ἰούδα. Ζητῶν δὲ παρ' ἐμαυτῷ, καὶ τὰς θείας περιϊὼν p. 291
γραφὰς, εἴ ποτε ἐν ταῖς ἡμέραις Ὀζίου ἡ ἐνταῦθα δη-

olim antea celebrabatur ex lege Mosis in Hierusalem corporalis et Judaica adoratio, quam quidem occlusum iri quasi obturatione quadam præsens oraculum canit, dicens, *Et obturabitur vallis montium meorum, et conglutinabitur convallis montium, usque ad Asael, et obturabitur?* Pro quibus verbis Symmachus reddidit hæc, *Et obturabitur vallis montium meorum, et præterea appropinquabit convallis montium, ad id quod appositum est et obturabitur,* ubi sane ille causam indicat, cur obturata sit convallis. Quæ porro hæc alia, quam eam appropinquare et vicinam fieri ei, quod ipsi appositum est? Hic autem est mons Domini, qui olivarum antea est appellatus, quique Asael dictus ab ipsis Septuaginta. Significat vero apud Hebræos ea vox, opus Dei: sic vero (inquit) vetus convallis monti appropinquans et Christi ecclesiæ, atque operi Dei, obturabitur et occludetur, quemadmodum obturata est a facie terræmotus in diebus Oziæ regis Juda. Quum vero diu apud meipsum quæsierim, et divinas scripturas percurrerim, ut invenirem, si quando ea convallis, de qua hic sermo est, in diebus

λουμένη φάραγξ ἐνεφράγη ἀπὸ προσώπου τοῦ σεισμοῦ, ἐν
μὲν ταῖς τῶν Βασιλειῶν ἱστορίαις οὐδὲν ηὕρισκον, οὐδὲ
γὰρ [c] σωματικῶς κατ' αὐτὸν σεισμὸς γεγονὼς, οὔτε τι
τοιοῦτο περὶ φάραγγος ἐν αὐταῖς εἰρημένον ἀναγέγρα-
36 πται. Ἱστορεῖταί γε μὴν Ὀζίας ἐν ἀρχαῖς δίκαιος
γεγονέναι, εἶτα διαβέβληται ὡς ἐπαρθεὶς τῇ διανοίᾳ, καὶ
δι' [d] αὐτοῦ θῦσαι τῷ Θεῷ τολμήσας, διὸ καὶ λέπραν
[e] αὐτοῦ κατὰ τοῦ προσώπου ἀνθῆσαι. Τοῦτο μὲν οὖν b
ἡ βίβλος τῶν Βασιλειῶν παρίστησιν· ὁ δέ γε Ἰώσηπος
καὶ τὰς ἔξωθεν Ἰουδαϊκὰς [f] δευτερώσεις ἀπηκριβωκὼς,
ἅτε Ἑβραῖος ἐξ Ἑβραίων τυγχάνων, ἐπάκουσον οἷα
γενέσθαι κατὰ τοὺς αὐτοῦ δηλοῖ χρόνους, λέγων, ὡς ἄρα
κατεπειγόντων τὸν Ὀζίαν τῶν ἱερέων ἐξιέναι τοῦ ἱεροῦ, καὶ
μὴ παρανομεῖν εἰς τὸν Θεὸν, ὀργισθεὶς ἠπείλησεν αὐτοῖς
37 θάνατον, εἰ μὴ τὴν ἡσυχίαν ἄξουσιν. Μεταξὺ δὲ σεισμὸς
ἐκλόνησε τὴν γῆν, καὶ διαστάντος τοῦ ναοῦ φέγγος λαμ- c
πρὸν ἐξέλαμψεν, καὶ τῇ τοῦ βασιλέως ὄψει προσέπεσεν,
ὡς τῷ μὲν εὐθέως λέπραν ἐπιδραμεῖν. Πρὸ δὲ τῆς πόλεως

[c] σωματικῶς γε] γὰρ σωματικῶς P. [d] ἑαυτοῦ S. [e] αὐτῷ] αὐτοῦ P. [f] δευτερώσεις] *Judaicas traditiones* rectius quam Donatus vertit Simonius.

Oziæ *obturata sit a facie terræmotus*, in Regnorum historiis nihil sane inveni: nam neque terræmotum illis temporibus ullum ex iis, qui terris et regionibus solent accidere, neque aliud quippiam tale de convalle aliqua factum esse, in illis scriptum est: narratur autem quemadmodum Ozias initio justus fuerit, deinde animo sublatus, per seipsum Deo sacrificare ausus sit: quare de illius facie lepram efflo- 2 Paralip. 26, 19.
ruisse, hoc quidem in Regnorum libris continetur. At Josephus, præter ea quæ in sacris libris scripta sunt, etiam ea quæ extrinsecus, quasi secundo loco, apud Judæos habentur, summa diligentia est persecutus, utpote qui Hebræus ab Hebræis existeret, quæ illius regis temporibus evenisse commemoret, jam audire potes. Narrat enim *quemadmodum urgentibus Oziam sacerdotibus, ut de templo exiret,* Joseph. Ant. IX. 10, 4.
neque adversus Deum peccaret, ille iratus sit, illisque mortem minatus, nisi quiescerent: interea vero motus quidam terram concusserit, discissoque templo, splendor ingens illuxerit, qui etiam regis faciem invaserit, et sic e vestigio illum in lepram incidisse. Ante urbem vero ad locum,

πρὸς τῇ καλουμένῃ Ἐρωγῇ τοῦ ὄρους ἀπορραγῆναι τὸ ἥμισυ
τοῦ κατὰ τὴν δύσιν, καὶ κυλισθὲν τέσσαρας σταδίους ἐπὶ
τὸ ἀνατολικὸν ὄρος στῆναι, ὡς τάς τε παρόδους ἐμφραχθῆ-
38 ναι καὶ τοὺς παραδείσους τοὺς βασιλικούς. Ταῦτά μοι
ἀπὸ τοῦ συγγράμματος τῆς Ἰωσήπου Ἰουδαϊκῆς ἀρχαιο-
λογίας κείσθω. Καὶ ἐν τῷ προφήτῃ δὲ Ἀμὼς εὗρον d
κατ' ἀρχὰς τῆς προφητείας αὐτοῦ, ὡς ὅτι ἤρξατο προ-
φητεύειν ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα πρὸ δύο ἐτῶν
[g] τοῦ σεισμοῦ. Ποίου δὲ σεισμοῦ οὐκέτι σαφῶς ἐπιλέγει.
39 Οἶμαι δὲ τὸν αὐτὸν προφήτην προϊόντα τὸν σεισμὸν
ὑπογράφειν ἐν οἷς φησὶν, Εἶδον τὸν Κύριον ἐφεστῶτα ἐπὶ
τοῦ θυσιαστηρίου, καὶ εἶπε, Πάταξον ἐπὶ τὸ θυσιαστήριον,
καὶ σεισθήσεται τὰ πρόπυλα, καὶ διάκοψον εἰς κεφαλὰς
πάντων, καὶ τοὺς καταλοίπους αὐτῆς ἐν ῥομφαίᾳ ἀπο-
40 κτενῶ. Δι' ὧν ἡγοῦμαι θεσπίζεσθαι τὸν σεισμὸν, καὶ
τὴν καθαίρεσιν τῶν πάλαι σεμνῶν τοῦ Ἰουδαίων ἔθνους,
καὶ τῆς ἐπιτελουμένης ὑπ' αὐτῶν ἐν τῇ Ἱερουσαλὴμ
θρησκείας, τήν τε ἀπώλειαν τὴν μετελθοῦσαν αὐτοὺς
μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν, ὅτε παραιτη-
σαμένων αὐτῶν τὸν Χριστὸν τοῦ Θεοῦ, τὸν ἀληθῆ p. 292

[g] τοῦ add. P.

qui dicitur Eroge, abscissam esse de monte dimidiam partem, quæ ad occidentem versa erat: convolutamque per quatuor stadia, ad montem stetisse, qui orientem spectabat, itaque et aditus et hortos regios obturasse. Hæc sane ego in libris Judaicæ antiquitatis posita apud Josephum deprehendi. Apud prophetam vero Amos initio illius prophetiæ inveni, quemadmodum ipse vaticinari cœperit *in diebus Oziæ regis Juda duobus ante terræmotum annis:* quem vero terræmotum intelligat nusquam perspicue subjungit. Sed arbitror eundem prophetam longius progressum hunc terræmotum describere, ubi ait,
Amos 9, 1. *Vidi Dominum stantem super altare, et dixit, Percute super altare, et commovebuntur vestibula, et cæde in capita omnium, et qui reliqui fuerint ex ea in gladio interficiam.* Quibus illum verbis censeo canere terræmotum, rerumque Judaicæ gentis gloriæque nec non ritus, qui ab illis in Hierusalem celebrabatur, eversionem, præterea interitum, qui illos post Salvatoris nostri adventum invaserit, quo videlicet tempore recusantibus illis Christum Dei, eum qui verus est sacerdos,

ἀρχιερέα, λέπρα κατὰ τῶν ψυχῶν ἐξήνθησεν, ὥσπερ οὖν
καὶ ἐπὶ τοῦ Ὀζίου, ὅτε καὶ ἀοράτῳ δυνάμει αὐτὸς ὁ
Κύριος ἐπιστὰς τῷ θυσιαστηρίῳ αὐτῶν τὴν ἐξουσίαν
ἔδωκε τῷ πατάσσοντι, φήσας, *Πάταξον τὸ θυσιαστήριον.*
41 Δυνάμει γοῦν τοῦτο ἐδήλου, λέγων, *Ἀφίεται ὑμῖν ὁ οἶκος
ὑμῶν ἔρημος.* Αὐτίκα γοῦν ἐπὶ τῷ πάθει αὐτοῦ *τὸ κατα-
πέτασμα τοῦ ναοῦ ἐσχίσθη ἀπὸ ἄνωθεν ἕως κάτω,* ὥσπερ
οὖν ὁ Ἰώσηπος ἱστορεῖ γεγονέναι κατὰ τοὺς Ὀζίου χρό-
νους· εἶτα πρότερον μὲν ἐσείσθη τὰ πρόπυλα, ὅτε ἡ γῆ
ἐσείσθη κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρόν· μετ' οὐ b
πολὺ δὲ καὶ τὴν ἐσχάτην ὑπέμεινε πτῶσιν, λαβών τε
τὴν ἐξουσίαν ὁ πατάσσων διέκοψεν εἰς κεφαλὰς ἀπάν-
42 των. Κατὰ τοῦτο δὴ οὖν τοῦ καιροῦ καὶ ἡ κοιλὰς τῶν
τοῦ Θεοῦ ὀρέων ἐνεφράγη, ὥσπερ οὖν γέγονεν ἐπὶ Ὀζίου·
πρὸς μὲν ῥητὸν καὶ λέξιν, κατὰ τὴν Ῥωμαίων πολιορ-
κίαν, καθ' ἣν οἶμαι συμβῆναί τινα τοιαῦτα, πρὸς δὲ
διάνοιαν, ὅτε ἡ σωματικὴ καὶ ταπεινοτέρα τοῦ [h] Μωσέως
νόμου λατρεία ἀπεκλείσθη εἰς τὸ μηκέτι ἐνεργεῖσθαι διὰ
τὸν σεισμὸν τὸν ἐπελθόντα προφητικῶς ἐξ ἐκείνου τῷ

[h] μωυσέως S.

lepra animis illorum oborta est, sicut etiam Oziæ temporibus, quando vi quadam invisibili Dominus altare insistens illorum potestatem fecit percutienti, dicens, *percute altare.* Certe sua ipsius potestate hoc ipsum declaravit, dicens, *Relinquitur vobis domus vestra deserta.* Protinus namque dum ille pateretur, *velum templi scissum est a summo usque ad imum,* quemadmodum Josephus narrat contigisse Oziæ regis temporibus: tum primum quidem commota sunt vestibula, quum terra mota est passionis illius tempore. Deinde haud multo post, extremum quoque pertulit casum, acceptaque potestate percutiens cecidit in capita omnium: hoc igitur tempore vallis montium Dei obturata est, quemadmodum Oziæ temporibus evenit. Quod si dictum quidem ac verba sequimur, factum sane id fuerit in ipsa obsidione Romanorum, secundum quam puto quædam talia accidisse: si vero sententiam, quo tempore corporalis illa et humum spectans Mosaicæ legis adoratio exclusa est, ut non amplius celebretur, propter terræmotum ex illo prophetice prædictum, qui Judaicam gentem invasit, ac propter cætera, quæ palam memoriæ prodita

Matth. 27, 51.

Ἰουδαίων ἔθνει, καὶ διὰ τὰ λοιπὰ τὰ ἀναγεγραμμένα. c
Μετὰ ταῦτα ἐπαναλαβὼν ὁ λόγος τὴν τοῦ Κυρίου παρ-
ουσίαν σαφέστερον ἀνακηρύττει, λέγων, Καὶ παρέσται
43 Κύριος ὁ Θεός μου, καὶ πάντες οἱ ἅγιοι μετ' αὐτοῦ, εἴτε
τοὺς ἀποστόλους αὐτοῦ καὶ μαθητὰς ὀνομάζων ἁγίους
αὐτοῦ, εἴτε δυνάμεις τινὰς ἀοράτους καὶ πνεύματα λει-
τουργικὰ, περὶ ὧν εἴρηται, [i]καὶ προσῆλθον ἄγγελοι, καὶ
διηκόνουν αὐτῷ. Εἶτα ἐπὶ τῆς παρουσίας τοῦ Κυρίου,
Ἔσται, φησὶν, ἡμέρα, καὶ οὐκ ἔσται φῶς, καὶ ψύχος καὶ
44 πάγος ἔσται μίαν ἡμέραν. Ἀνθ' οὗ ὁ Σύμμαχος ἡρμή- d
νευσε, Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς, ἀλλὰ ψύχος
καὶ πάγος ἔσται μίαν ἡμέραν, ἥτις ἔγνωσται τῷ Κυρίῳ,
οὐχ ἡμέρα οὐδὲ νὺξ, ἀλλ' ἔσται τὸ πρὸς ἑσπέραν φῶς.
Καὶ ὅρα εἰ μὴ διὰ τούτων λευκότατα τὴν ἡμέραν τοῦ
πάθους τοῦ Σωτῆρος ἡμῶν δηλοῖ, ἐν ᾗ ἡμέρᾳ τὸ μὲν
οὐκ ἔσται φῶς ἐπληροῦτο, ἡνίκα ἀπὸ ἕκτης ὥρας σκότος
ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης. Τὸ δὲ ἀλλὰ
ψύχος καὶ πάγος, ὅτε κατὰ τὸν Λουκᾶν, παραλαβόντες
τὸν Ἰησοῦν ἤγαγον εἰς τὴν οἰκίαν τοῦ ἀρχιερέως. Ὁ δὲ
45 Πέτρος ἠκολούθει μακρόθεν. Περιαψάντων δὲ πῦρ ἐν μέσῳ

[i] καὶ add. P.

sunt. Post hæc ad Domini adventum revertens oraculum in ipsum planius denuntiat, dicens, *Et adveniet Dominus Deus meus, et omnes sancti cum eo*, ubi dum sanctos nominat, vel apostolos ejus intelligit ac discipulos, vel potestates quasdam invisibiles et spiritus admini- stros, de quibus dictum est, *Et accesserunt angeli ac ministrabant ei.* (Matth. 4, 11.) Deinde, *In adventu Domini* (inquit) *erit dies et non erit lux, sed frigus et glacies erit uno die.* Pro quo Symmachus interpretatus est, *Et in die illa non erit lux, sed frigus et glacies erit uno die, qui cognitus est Domino, non dies neque nox, sed erit ad vesperam lux.* Et sane vides quemadmodum in his verbis planissime diem, quo Salvator noster supplicio est affectus, significet, in quo die illud quidem *non erit lux* completum est, *quando a sexta hora tenebræ factæ sunt in universam terram, usque ad horam nonam.* (Matth. 27, 45.) Illud autem, *sed frigus, et glacies,* quo tempore, ut Lucas scribit, *comprehendentes Jesum, duxerunt ad domum principis sacerdotum. Petrus autem sequebatur eum a longe:* (Luc. 22, 54.)

τῆς αὐλῆς, ἐκάθητο, κατὰ τὸν Μάρκον, μετὰ τῶν λοιπῶν θερμαινόμενος. Ὁ δὲ Ἰωάννης ἄντικρυς καὶ τοῦ ψύχους p. 293 ἐμνημόνευσεν, εἰπὼν, Εἱστήκεισαν οἱ δοῦλοι καὶ οἱ ὑπηρέται [k] ἀνθρακιὰν πεποιηκότες, ὅτι ψῦχος ἦν, καὶ ἐθερμαίνοντο.

46 Γνωστὴ δὲ, φησὶν, ἦν αὕτη ἡ ἡμέρα τῷ Κυρίῳ, καὶ οὐκ ἦν ἡμέρα, καὶ οὐκ ἦν νύξ· οὐχ ἡμέρα μὲν, διὰ τὸ [l] προειρῆσθαι, οὐκ ἔσται φῶς, ὃ καὶ ἐπληροῦτο, ὅτε ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης· οὐδὲ νὺξ δὲ, διὰ τὸ ἐπιλέγεσθαι πρὸς ἑσπέραν ἔσται φῶς, ὃ καὶ αὐτὸ τέλους ἐτύγχανεν, ὅτε μετὰ τὴν ἐνάτην b ὥραν αὖθις τὸ σύνηθες φῶς ἀπελάμβανεν ἡ ἡμέρα.

47 Καὶ κατὰ διάνοιαν δὲ ταῦτα ἐπληροῦτο, καθόλου μὲν ἐπὶ τὸ Ἰουδαίων ἔθνος, μετὰ τὴν [m] κατὰ τοῦ Χριστοῦ τόλμαν σκότους καὶ πάγου καὶ ψύχους γεγενημένου, σκοτισθείσης αὐτῶν τῆς διανοίας εἰς τὸ μὴ αὐγάσαι τὸν φωτισμὸν τοῦ εὐαγγελίου ἐν ταῖς καρδίαις αὐτῶν, ψυγείσης τε τῆς πρὸς τὸν Θεὸν ἀγάπης, ἔμπαλιν δὲ πρὸς τῇ ἑσπέρᾳ τὸ φῶς τῆς γνώσεως τοῦ Χριστοῦ ἀνατέταλ-

[k] ἀνθρακίας] ἀνθρακιὰν P. [l] προκεῖσθαι] προειρῆσθαι P.
[m] κατὰ] κατὰ τὴν P.

accenso autem igne in medio atrii, sedebat, ut ait Marcus, *cum reliquis, calefaciens se.* Joannes vero plane etiam frigus commemoravit, ubi ait, *Stabant servi et ministri ad prunas, quia frigus erat, et calefaciebant se.*

Marc. 14, 54.
Jo. 18, 18.

Cognitus autem, inquit, *est hic dies Domino, et non erit dies, neque erit nox:* non quidem dies, propterea quod dictum est ante, *non erit lux,* quod sane etiam completum est, quando a sexta hora tenebræ factæ sunt super universam terram usque ad horam nonam: neque item nox, propterea quod additum est, *ad vesperam erit lux,* quod etiam ipsum exitum invenit, quando post nonam horam, rursus consuetum lumen recepit dies. Præterea sententiam quoque si sequimur, hæc completa erunt, in universo quidem super Judaica gente, postquam adversus Christum illud immane facinus ausa est, et tenebræ, et glacies, et frigus facta sunt, quippe quum illorum mens obtenebrata sit, adeo ut evangelii lumen radios in corda illorum immittere nequierit, et charitas erga Deum sit refrigerata. E contrario autem ad vesperam lumen cognitionis Christi ortum est, adeo

κεν, ὡς τοὺς πάλαι καθημένους ἐν σκότει καὶ σκιᾷ θανάτου c τὸ μέγα φῶς ἰδεῖν, κατὰ τὰς τοῦ Ἡσαΐου φωνάς.

48 Ἐν αὐτῇ δὴ οὖν τῇ τοιαύτῃ ἡμέρᾳ τοῦ Κυρίου, ἐξελεύσεται, φησὶν, ὕδωρ ζῶν ἐξ Ἱερουσαλήμ. Τοῦτο δὲ ἦν τὸ λογικὸν καὶ πότιμον ζωτικόν τε καὶ σωτήριον τῆς τοῦ Χριστοῦ διδασκαλίας ποτὸν, περὶ οὗ καὶ αὐτὸς ἐν τῷ κατὰ Ἰωάννην εὐαγγελίῳ τὴν [n] Σαμαρεῖτιν παιδεύων ἔλεγεν, Εἰ [o] ᾔδεις τίς ἐστιν ὁ λέγων σοὶ, Δός μοι πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ ἔδωκεν ἄν σοι ὕδωρ ζῶν. Αὐτὸ οὖν τοῦτο τὸ σωτήριον ποτὸν ἐξ αὐτῆς τῆς Ἱερουσαλὴμ προῆλθεν.

ἥξειν, εἰκότως φησὶν ὁ Σωτὴρ ἡμῶν, Πῦρ ἦλθον βαλεῖν
ἐπὶ τὴν γῆν, καὶ τί θέλω εἰ ἤδη ἀνήφθη; Ἅρματα δὲ αὐτοῦ
τὰς δορυφορούσας αὐτὸν θείας δυνάμεις, καὶ τοὺς ἐξυπη- b
ρετουμένους αὐτῷ ἱεροὺς ἀγγέλους εἴποις ἄν, περὶ ὧν
εἴρηται, Καὶ προσῆλθον ἄγγελοι καὶ διηκόνουν αὐτῷ, καὶ
τοὺς ἱεροὺς ἀποστόλους αὐτοῦ καὶ μαθητάς, οἷς ἐποχού-
μενος ἐνθέῳ καὶ ἀοράτῳ δυνάμει ὁ τοῦ Θεοῦ Λόγος τὴν
3 πᾶσαν διέδραμεν οἰκουμένην. Λέγοιτο δ' ἂν καὶ ἄλλως
πρὸς λέξιν, πῦρ καὶ ἅρματα καταγγέλλεσθαι σὺν τῇ
αὐτοῦ παρουσίᾳ διὰ τὴν καταλαβοῦσαν πολιορκίαν τὴν
Ἱερουσαλὴμ μετὰ τὴν [c] τοῦ Σωτῆρος ἡμῶν ἄφιξιν, μεθ'
ἣν οὐκ εἰς μακρὰν ὁ μὲν νεὼς αὐτὸς ἐπυρπολεῖτο καὶ c
τὴν ἐσχάτην ὑπέμεινεν ἐρημίαν, ἡ δὲ πόλις ἐκυκλώθη
ὑπὸ ἁρμάτων καὶ στρατοπέδων πολεμικῶν, μεθ' ἃ καὶ
[d] τὰ περὶ τῶν ἐθνῶν ἁπάντων προηγγελμένα συμφώνως
4 τῇ προφητείᾳ τέλους ἔτυχεν. Τίς δ' οὐκ ἂν θαυμάσειεν
ἀκούων τοῦ Κυρίου διὰ τοῦ προφήτου λέγοντος, Ἔρχομαι*

[c] εἰς ἡμᾶς] τοῦ Σωτῆρος ἡμῶν P. [d] τὰ add. P.

in gentibus. Planissime etiam in his Domini adventus ad homines indicatur, et quoniam hic dictum est, *illum ut ignem venturum*, merito Salvator noster ait, *Ignem veni mittere in terram, et quid volo si jam accensus est?* (Luc. 12,49.) Currus vero ejus stipantes ipsum divinas potestates inservientesque ipsi sanctos angelos commode dixeris, de quibus illud dictum est, *Et accesserunt angeli et ministrabant ei*, sanctos item ejusdem apostolos ac discipulos, quibus invectum divina atque invisibili virtute Dei Verbum omnem permeavit terrarum orbem. Potest etiam aliter dici ad verbum: ignem et currus una cum ejus adventu denuntiari, propter eam, quæ Hierusalem oppressit, obsidionem post Salvatoris nostri adventum: post quem haud multo templum quidem ipsum igne incensum est, et extremam pertulit vastationem. Urbs vero circundata est curribus et exercitibus bellicis: post quem casum etiam ea, quæ de cunctis gentibus prædicta fuerant, huic prophetiæ consentaneum finem sortita sunt. Cæterum quis non admiretur audiens Dominum per prophetam dicentem, *Venio congregare omnes gentes et linguas,* quum videat in omni, quæcunque ab hominibus

συναγαγεῖν πάντα τὰ ἔθνη καὶ τὰς γλώσσας, ὁρῶν καθ' ὅλης τῆς τῶν ἀνθρώπων γῆς διὰ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ παρουσίας τε καὶ κλήσεως τὰς τῶν ἐθνῶν συναγωγὰς ἐπ' ὀνόματος τοῦ Χριστοῦ συγκρο- d τουμένας, τάς τε γλώσσας ἁπάντων τῶν ἐθνῶν ἐν παντοίαις διαλέκτοις ἀνθρώπων τὸν ἕνα Θεὸν καὶ Κύριον ἐπικαλουμένας; Καὶ ἐπὶ πᾶσι δὲ τούτοις, τίς θεώμενος τῷ σωτηριώδει σημείῳ πάντας τοὺς εἰς Χριστὸν πεπιστευκότας σφραγῖδι χρωμένους, οὐκ ἂν εὐλόγως καταπλαγείη ἀκούων πρόπαλαι τοῦ Κυρίου εἰρηκότος, Καὶ ἥξουσι καὶ ὄψονται τὴν δόξαν μου, καὶ καταλείψω ἐπ' αὐτῶν σημεῖον; Ἐν μέρει μὲν οὖν ἐντεῦθεν ἤδη κατὰ τὴν προτέραν τοῦ Σωτῆρος ἡμῶν εἰς ἀνθρώπους ἐπιφάνειαν αὐτοῖς ὀφθαλμοῖς ὁρῶμεν τῶν θείων χρησμῶν τὰ ἀποτελέσματα· γένοιτο δ' ἂν [e]ἐντελῆ ταῦτα καὶ κατὰ τὴν δευτέραν καὶ ἔνδοξον αὐτοῦ παρουσίαν, ὅτε πάντα τὰ ἔθνη ὄψονται τὴν δόξαν αὐτοῦ, ἐρχόμενόν τε αὐτὸν ἐξ οὐρανῶν μετὰ δυνάμεως καὶ δόξης πολλῆς. Ἀναχθείη p. 307 δ' ἂν εἰς ἐκεῖνο καιροῦ καὶ τὰ λοιπὰ τῶν ἐν τῇ προρρήσει δηλουμένων, ὥσπερ οὖν συστήσομεν κατὰ τὴν οἰκείαν ὑπόθεσιν.

[e] ἐντελεῖ P.

habitatur, terra, per Salvatoris nostri Jesu Christi adventum ac vocationem conventus gentium in Christi nomine celebrari, linguasque omnium nationum omni genere sermonis unum Deum ac Dominum invocantes? Denique post omnia hæc quis inspiciens omnes, quicunque in Christi fidem venerunt, salutari signo pro annuli nota utentes, non merito obstupescat, si audiat tanto ante ipsum Dominum dixisse, *Et venient et videbunt gloriam meam, et relinquam in eis signum?* Jam inde igitur saltem in parte secundum priorem Salvatoris nostri ad homines adventum ipsis oculis intuemur divinorum oraculorum eventa. Cæterum eadem hæc plenius absolventur in secundo et glorioso ejusdem adventu, quando omnes gentes videbunt gloriam ejus venientemque ipsum de cœlo cum potestate et gloria multa. Referri vero ad illud tempus etiam reliqua poterunt, quæ in ipso oraculo prædicta sunt, quemadmodum quidem nos proprio atque huic rei dicato opere ostensuri sumus.

Τοσούτων ἡμῖν ἐπὶ τοῦ παρόντος συνειλεγμένων περὶ τῆς εἰς ἀνθρώπους θεσπιζομένης ἔσεσθαι παρουσίας Θεοῦ, ἑξῆς ἂν εἴη ἐπισυνάψαι ὁποῖός τις ὁ τρόπος τῆς προτέρας αὐτοῦ εἰς τὸν ἀνθρώπινον βίον παρόδου γενήσεσθαι προανεφωνεῖτο.

[f]ΛΟΓΟΣ Ζ. p. 308

Θεὸν εἰς ἀνθρώπους ἀφίξεσθαι καὶ σὺν ἀνθρώποις ἐπὶ γῆς πολιτεύσεσθαι, δύο τε ταῦτα μέγιστα τεκμήρια τῆς αὐτοῦ παρουσίας ἔσεσθαι, κλῆσιν ἐπ' ἀναλήψει τῆς ἀληθοῦς θεογνωσίας τῶν ἀνὰ τὴν οἰκουμένην ἐθνῶν, ἀπόπτωσίν τε καὶ ἐρημίαν διὰ τὴν εἰς αὐτὸν [g]ἀπιστίαν τοῦ Ἰουδαίων ἔθνους, ἐν τῷ πρὸ τούτου συγγράμματι διὰ τῶν προφητικῶν φωνῶν μεμαθηκότες, ἐπισκεψάμε- p. 309
νοί τε κατὰ τὸ αὐτὸ ὁποίου τέλους ἔτυχε τὰ προηγορευμένα, ἑξῆς καὶ ἀκολούθως ἐν ἑβδόμῳ τούτῳ συγγράμματι τῆς Εὐαγγελικῆς Ἀποδείξεως τὸν τρόπον ἐπιθεωρῆσαι πειρασόμεθα, καθ' ὅν φησιν αὐτὸν τὴν εἰς
2 ἀνθρώπους ποιήσασθαι πάροδον. Φέρε οὖν ἐντεῦθεν ἤδη σκοπήσωμεν, ὁποῖός τις ὁ τρόπος ἔσεσθαι τῆς τοῦ

[f] εὐαγγελικῆς ἀποδείξεως τόμος ζ'. P. [g] ἀπιστείαν P.

Quum igitur ad hunc usque locum hæc tam multa collegerimus de eo, qui olim canebatur futurus, Dei ad homines adventu, sequitur ut his adjungamus, quisnam modus in iisdem oraculis prædiceretur futurus prioris ejusdem ad humanam vitam accessus.

LIB. VII.

Cum proximo libro Deum ad homines venturum et cum hominibus in terra versaturum, duoque hæc maxima signa illius adventus futura, gentium per totum orbem ad accipiendam veram Dei notitiam vocationem, et Judaicæ gentis propter incredulitatem in illum ruinam ac solitudinem, ex propheticis vocibus didicerimus, ibidemque inspexerimus, quem tandem exitum invenerint ea quæ prædicta fuerant, ipso deinceps ordine in hoc septimo Evangelicæ Demonstrationis volumine modum contemplari conabimur, secundum quem ait se ad homines commigrasse. Jam inde igitur videamus, quisnam

Θεοῦ εἰς ἀνθρώπους ἐπιδημίας ἐθεσπίζετο, καὶ [g]ποῦ γῆς γεννηθήσεσθαι προεκηρύττετο, ἀπὸ ποίου τε γένους προελεύσεσθαι ἐβοᾶτο.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ. b

Τίς ὁ τρόπος τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους ἐπιδημίας.

1 [h]Πρόρρησις τῆς εἰς Χριστὸν ἀπιστίας τοῦ Ἰουδαίων ἔθνους, καὶ σημεῖον αὐτοῖς ἀπὸ Κυρίου διδόμενον. Ἦν δὲ τοῦτο· Παρθένος Θεὸν γεννῶσα, ἐφ' οὗ τῇ γενέσει c καθαίρεσις παντελὴς τοῦ Ἰουδαίων ἔθνους ἐθεσπίζετο, καὶ ὡς ἀλλόφυλοι καὶ πολέμιοι τὴν χώραν αὐτῶν καθέξουσιν, καὶ ὡς ἡ πρὶν ἔρημος τῆς ἐνθέου τυχοῦσα
2 γεωργίας εὐφορήσει. Τῆς ἐξ ἐθνῶν ἐκκλησίας τοῦτον δηλουμένης τὸν τρόπον, ὥσπερ ὁ θαυμάσιος εὐαγγελιστὴς Ἰωάννης [i]μείζονι ἢ κατὰ ἄνθρωπον μεγαλοφωνίᾳ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν θεολογῶν, αὐτὸν δὴ τὸν τοῦ Θεοῦ Λόγον, [k]τῆς τε ἱερᾶς γραφῆς αὐτοῦ ἀπαρχόμενος, ὁμοῦ τῇ θεολογίᾳ καὶ τὴν ἔνσαρκον αὐτοῦ εἰς ἀνθρώπους παρίστησιν ἐπιδημίαν, ἐν ἀρχῇ ἦν ὁ Λόγος, καὶ ὁ Λόγος ἦν πρὸς τὸν Θεόν, καὶ Θεὸς ἦν ὁ Λόγος. d

[g] ποῦ] ποῖ S. [h] Πρόρρησις—τὸν τρόπον] Hujus loci interpretationem omisit Donatus. Supplevit ed. Paris. qui quum verterit καθαίρεσις *purgatio* dedimus *eversio* cum Billio p. 48. [i] μεῖζον P. [k] τῆς γε] τῆς τε P.

modus Dei ad homines migrationis caneretur futurus, et ubinam gentium oriturus prædiceretur, et de quo genere profecturus sanctorum hominum vocibus ferretur.

AB ESAIA I.

Quisnam modus accessus Domini ad homines.

1 Prædictio Judæorum incredulitatis erga Christum, et signum eis a Domino datum. Fuit autem illud: Virgo generans Deum; sub ejus generatione universalis Judæorum nationis eversio canebatur; et sicut externi et hostes regionem illorum occupabunt, et quemadmodum quæ antea desertum fuit agriculturam sortita divinam fœcunda erit. Ecclesia ex gentibus collecta hunc ostendente modum, quemadmodum divinus evangelista Joannes, plus quam humana voce de Salvatore ac Domino nostro, de ipso, inquam, Dei Verbo disserens, sacramque illius scripturam narrationemque aggrediens, una cum ipsa de illa theologia ejusdem ad homines accessum per as-
Io. 1, 1. sumptum corpus exponit, sic dicens, *In principio erat Verbum, et*

Οὗτος ἦν ἐν ἀρχῇ πρὸς τὸν Θεόν. Πάντα δι' αὐτοῦ ἐγένετο, φήσας· τούτοις ἑξῆς ἐπάγων, καὶ ὁ Λόγος σὰρξ ἐγένετο,
3 καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Τὸν αὐτὸν δὴ τρόπον καὶ ὁ θεσπέσιος προφήτης [l]Θεὸν ἐκ παρθένου γεγεννημένον μέλλων ἀνακηρύττειν τὴν ἔνδοξον αὐτοῦ [m]θεοπτίαν προθεωρεῖ, ὧδε τὴν θεολογίαν ὑπογράφων,

Εἶδον τὸν Κύριον Σαβαὼθ καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ πλήρης ὁ οἶκος τῆς δόξης αὐτοῦ, καὶ Σεραφὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ. Ἓξ πτέρυγες τῷ ἑνὶ, καὶ ἓξ πτέρυγες τῷ ἑνί· καὶ ταῖς μὲν δυσὶ ἐκάλυπτον τὸ πρόσωπον, ταῖς δὲ δυσὶ κατεκάλυπτον τοὺς πόδας· ταῖς δὲ δυσὶν ἐπέταντο. Καὶ [n]ἐκέκραγον ἕτερος πρὸς τὸν ἕτερον, p. 310
καὶ ἔλεγον, ἅγιος, ἅγιος, ἅγιος, Κύριος Σαβαὼθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.

4 Καὶ ἑξῆς ἐπιλέγει,

Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ εἶπα, ἰδοὺ ἐγώ εἰμι, ἀπόστειλόν με. Καὶ εἶπε πρός με, πορεύθητι, καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ

[l] Θεοῦ] Θεὸν P. [m] θεοπτείαν] θεοπτίαν P. [n] ἐκέκραγεν ED. PARIS. Sc. secundum ed. Vat. τῶν ο'.

Verbum erat apud Deum, et Deus erat Verbum. Hoc erat in principio apud Deum. Omnia per ipsum facta sunt. Atque his deinceps adjungens, *Et Verbum caro factum est, et habitavit in nobis.* Ita divino Spiritu afflatus propheta, quum Deum de virgine genitum esset nuntiaturus, visionem antea quandam illius gloriæ contemplatur, talemque theologiam describit: *Vidi Dominum Sabaoth sedentem super solio excelso et sublimi, et plena erat domus gloria ejus,* Es. 6, 1,
et Seraphim stabant circum eum, sex alæ uni, et sex alæ alteri, et duabus quidem tegebant faciem, duabus autem velabant pedes, et duabus volabant, et clamabant alter ad alterum, et dicebant, Sanctus, sanctus, sanctus Dominus Sabaoth, plena est omnis terra gloria ejus. Et deinceps adjungit: *Et audivi vocem Domini dicentis, quem mittam, et quis ibit ad populum hunc, et dixi: Ecce ego, mitte me. Et dixit ad me, Vade, et dic populo huic: Auditu audietis, et non intelligetis: et intuentes intuebimini, et non videbitis. Crassum enim factum est cor populi hujus, et auribus suis graviter audierunt, et oculos suos clauserunt, ne*

καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε ἴδωσι b τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς. Καὶ εἶπα, ἕως πότε, Κύριε; Καὶ εἶπεν, ἕως ἂν ἐρημωθῶσι πόλεις παρὰ τὸ μὴ κατοικεῖσθαι, καὶ οἶκοι παρὰ τὸ μὴ εἶναι ἀνθρώπους.

5 Ποῖον [o]δὲ θεμιτὸν φάσκειν τὸν προφήτην ἑωρακέναι Κύριον, ἢ ὃν τοῖς περὶ τὸν Ἀβραὰμ προπάτορσιν ὦφθαί τε καὶ ὡμιληκέναι ἐν τοῖς πρὸ τούτων ἀπεδείξαμεν; Τοῦτον γὰρ ὁμοῦ Θεὸν καὶ Κύριον καὶ δὴ ἄγγελον εἶναι καὶ ἀρχιστράτηγον δυνάμεως Κυρίου c προμεμαθήκαμεν. Μέλλων τοιγαροῦν τὴν εἰς ἀνθρώπους αὐτοῦ πάροδον ὁ παρὼν λόγος θεσπίζειν, τὴν ἔνθεον αὐτοῦ προθεωρεῖ βασιλείαν, δι' ἧς φησὶν ἑωρακέναι αὐτὸν καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου.
6 Οὗτος δ' ἂν εἴη ὁ θρόνος αὐτοῦ ἐκεῖνος ὁ καὶ ἐν τῷ περὶ τοῦ ἀγαπητοῦ Ψαλμῷ δεδηλωμένος, κατὰ τό, *ὁ θρόνος σου ὁ Θεὸς εἰς τὸν αἰῶνα τοῦ αἰῶνος*, ἐφ' ὃν καὶ ὁ ἀνωτάτω τῶν ὅλων ποιητὴς Θεὸς πατήρ τε αὐτοῦ ὡς ἂν μονογενεῖ

[o] δὲ suprasc. P.

quando videant oculis, et corde intelligant, et convertantur, et sanem eos. Et dixi: Quousque Domine? Et dixit, Donec desertæ sint civitates, eo quod non sit qui inhabitet: et domus, eo quod non sint homines. At enim quem tandem Dominum fas est dicere visum fuisse a propheta præter eum, quem et Abrahæ et reliquis Abrahæ similibus priscis patribus visum fuisse, et cum iisdem locutum esse, in prioribus libris ostendimus? Hunc enim pariter et Deum et Dominum, et item angelum esse, et primum imperatorem copiarum Domini, antea didicimus. Quum ergo præsens oraculum esset illius ad homines commigrationem prædicturum, divinum antea illius regnum contemplatur, ubi ait se vidisse illum sedentem in solio excelso et sublimi. Hoc autem illius solium illud esse existimandum
Ps. 44, 6. est, quod in Psalmo de dilecto ostensum est, in illis verbis, *Sedes tua Deus in sæculum sæculi*, super quam supremus et universi conditor Deus, et ipsius pater, ipsum tanquam unicum ac dilectum sedere
Ps. 109, 1. jubebat, dicens, *Sede a dextris meis, donec ponam inimicos tuos*

καὶ ἀγαπητῷ καθέζεσθαι παρεκελεύετο, λέγων, κάθου ἐκ d
δεξιῶν μου, ἕως ἂν θῶ τοὺς ἐχθρούς σου ὑποπόδιον τῶν
7 ποδῶν σου. Συνίστησι δὲ ταύτην ἡμῶν τὴν εἰς τοὺς
τόπους ἑρμηνείαν Ἰωάννης ὁ εὐαγγελιστής, ὃς παρα-
θέμενος τὰς προκειμένας τοῦ Ἡσαΐου φωνὰς ἐν αἷς
εἴρητο, ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς
ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν
ἐκάμμυσαν, ἐπιφέρει περὶ τοῦ Χριστοῦ λέγων, ταῦτα
εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐμαρτύρησε
8 περὶ αὐτοῦ. Ἰδὼν δὴ οὖν ὁ προφήτης τὴν ἐπὶ τοῦ
πατρικοῦ θρόνου τῆς ἐνθέου δόξης τε καὶ βασιλείας
ἵδρυσιν τοῦ Σωτῆρος ἡμῶν, τῷ τε ἁγίῳ ἐπιθειάσας
πνεύματι, καὶ μέλλων ἑξῆς τὴν εἰς ἀνθρώπους αὐτοῦ
πάροδον καὶ τὴν ἐκ παρθένου γέννησιν ὑπογράφειν,
προμαρτύρεται τὴν εἰς πᾶσαν τὴν γῆν μέλλουσαν p. 311
ἔσεσθαι γνῶσίν τε καὶ δοξολογίαν, τὰ Σεραφὶμ εἰσάγων
κυκλοῦντα αὐτὸν καὶ φάσκοντα, ἅγιος, ἅγιος, ἅγιος
Κύριος Σαβαώθ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ.
9 Τίνα δ' εἴη τὰ Σεραφὶμ τὰ τὸν Χριστὸν τοῦ Θεοῦ δορυ-
φοροῦντα, ἢ τάχα ἴσως ἀγγέλων καὶ θείων δυνάμεων
χοροί, ἢ καὶ προφητῶν καὶ ἀποστόλων; Ἑρμηνεύεται

scabellum pedum tuorum. Confirmat vero hanc nostram in hos locos interpretationem Joannes Evangelista, qui postquam citavit proxime expositas Esaiæ voces, in quibus dictum est, *Crassum enim factum est cor populi hujus, et auribus suis graviter audierunt, et oculos suos clauserunt,* adjungit de Christo, et dicit, *Hæc dixit Esaias quando vidit gloriam ejus, et testificatus est de eo.* Jo. 12. 41. Quum ergo vidisset propheta Salvatoris nostri super paterna divinæ majestatis ac regni sede collocationem, divinoque ipse esset spiritu instinctus, essetque deinceps ejusdem ad homines accessum ortumque de virgine descripturus, prius testificatur eam, quæ in omnem terram perventura erat, cognitionem, et gloriæ prædicationem, ipsa Seraphim inducens quæ circum illum starent, ac dicerent, *Sanctus, sanctus, sanctus, Dominus Sabaoth, plena est omnis terra gloria ejus.* Sed quænam existimanda sunt hæc Seraphim, Christum Dei stipantia? num forsitan angelorum ac divinarum potestatum chori? an vero prophetarum atque

10 γὰρ τὰ Σεραφὶμ, ἀρχὴ στόματος αὐτῶν. Τοιοῦτοι δὲ οἱ
προφῆται καὶ ἀπόστολοι, ὧν διὰ τοῦ στόματος ἡ ἀπαρχὴ
γέγονε τοῦ σωτηρίου κηρύγματος, διὸ ταύτης ἔτυχον b
τῆς προσηγορίας, [p]ὡς καὶ τοῦ ἁγίου πνεύματος αἱ δυνά-
μεις πτέρυγες ὠνομασμέναι, τὰ μὲν πρῶτα καὶ τὰ
ὕστατα τῆς τοῦ Θεοῦ Λόγου γνώσεως ἐπικρύπτουσιν,
ὡς [q]ἄρρητα καὶ ἀκατάληπτα ὄντα τὴν φύσιν, τὰ δὲ
μέσα τῆς περὶ αὐτοῦ οἰκονομίας ἐκφαίνουσιν, ὅτι δὴ
μόνα γνωστὰ ταῦτα ἀνθρώπων φύσει, τῶν ἐπέκεινα καὶ
11 τῶν μετὰ ταῦτα ἐν ἀπορρήτοις σεσιγημένων. Καὶ δυνά-
μεις δὲ θεῖαι καὶ οὐράνιοι εἶεν ἂν διὰ [r]τῶν Σεραφὶμ δη-
λούμεναι, καθὸ ἑτέρως τὰ Σεραφὶμ ἑρμηνεύεται ἐμπρη-
σμοί. Διὸ εἴρηται, ὁ ποιῶν τοὺς ἀγγέλους αὐτοῦ πνεύ- c
12 ματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα. Κεκρά-
γασι δὲ οὗτοι καὶ βοῶσιν ἕτερος τῷ ἑτέρῳ κατὰ τὴν
οἰκείαν δύναμιν, τὴν ἁγιότητα τοῦ θεολογουμένου παρ-
ιστῶντες, καὶ τό γε πάντων παραδοξότατον θεολογοῦν-
τες, [s]ὅτι δὴ μὴ [t]μόνον οὐρανὸς καὶ τὰ ἐν οὐρανῷ πάντα

p ὧν] ὡς S. et sic interpres. q ἄρητα S. r τὸ σεραφὶμ ἑρμηνεύεσθαι] τῶν σεραφὶμ δηλούμεναι, καθὸ ἑτέρως τὰ σεραφὶμ ἑρμηνεύεται P. s ὅτι] ὅτι δὴ S. t μόνος] μόνον P.

apostolorum? nam Seraphim si interpreteris, *initium oris ipsorum* audias. Tales vero et prophetæ et apostoli, per quorum os, instar primitiarum, initium salutaris prædicationis factum est, ex quo appellationem hanc sortiti sunt, sicut etiam sancti spiritus potestates, quæ *alæ* nominatæ sunt, primas quidem atque extremas de Deo Verbo notitiæ partes occultant, tanquam eas quæ suapte natura neque dici neque comprehendi possint, quæ vero ipsius de illo dispensationis mediæ sunt, eas ostendunt, propterea quod sola hæc naturæ hominum cognoscibilia, quum ea quæ supra hæc et post hæc reliqua sunt in arcanis habita sileantur. Præterea divinæ ac cœlestes potestates poterunt item vocabulo Seraphim intelligi, quatenus alia quadam ratione Seraphim ex interpretatione *incendia* significant, ex
Ps. 104, 5. quo illud dictum est, *Qui facit angelos suos spiritus, et ministros suos ignis flammam.* Clamant porro hi, et vociferantur alter ad alterum pro suis quisque viribus, sanctitatem ejus, de quo ut de Deo loquitur propheta, commendantes, et quod omnium admiratione dignissimum est, theologice declarantes, quod non modo cœlum, et quæ in cœlo

πλήρη τυγχάνει τῆς δοξολογίας αὐτοῦ, ἀλλὰ καὶ πᾶσα
ἡ γῆ τῆς αὐτῆς μετέσχε δυνάμεως διὰ τὴν ἐξ οὐρανῶν
εἰς ἀνθρώπους αὐτοῦ θεσπιζομένην κάθοδον, ἣν προϊὼν
ἑξῆς ὁ λόγος προφητεύει, τὴν ἐκ παρθένου γένεσιν καὶ
τὴν διὰ ταύτης εἰς πᾶσαν τὴν γῆν ἐφαπλωθεῖσαν δοξο- d
13 λογίαν αὐτοῦ κηρύττων. Κύριος δὲ Σαβαὼθ ἑρμηνεύ-
εται Κύριος τῶν δυνάμεων. Αὐτὸς δ' ἂν εἴη ὁ ἀρχιστρά-
τηγος δυνάμεως Κυρίου, ὃν καὶ ἐν κ̄ καὶ γ̄ Ψαλμῷ
Κύριον Σαβαὼθ αἱ θεῖαι πάλιν ἀποκαλοῦσι δυνάμεις,
τὴν ἀπὸ γῆς εἰς οὐρανοὺς ἄνοδον αὐτοῦ θεσπίζουσαι, δι'
ὧν φασὶν, Ἄρατε πύλας οἱ ἄρχοντες ὑμῶν, καὶ ἐπάρθητε
πύλαι αἰώνιοι, καὶ εἰσελεύσεται ὁ βασιλεὺς τῆς δόξης.
Τίς ἐστιν οὗτος ὁ βασιλεὺς τῆς δόξης; Κύριος [u] τῶν δυνά-
μεων, αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης. Τὸ γοῦν Ἑβραϊ- p. 312
14 κὸν πάλιν ἐνταῦθα Κύριον Σαβαὼθ αὐτὸν καλεῖ. Καὶ
ἐπειδήπερ αὐτός ἐστιν ὁ βασιλεὺς τῆς δόξης, διά τε τὴν
ἐπιδημίαν αὐτοῦ ἔμελλε πᾶσα ἡ γῆ πληροῦσθαι τῆς
δόξης αὐτοῦ, εἰκότως τὸ μέλλον ἔσεσθαι ἔν τε τῷ προ-
φήτῃ λέλεκται, καὶ ἐν τῷ Ψαλμῷ· ἐν μὲν τῷ προφήτῃ,

[u] τῆς δυνάμεως] τῶν δυνάμεων P.

sunt, universa plena sunt majestate et gloria ejus, sed etiam omnis terra ejusdem facultatis ac virtutis est particeps, propter ejus qui canitur de cœlo ad homines descensum, de quo deinceps longius progressum oraculum vaticinatur, nec non et ortum de virgine, et per hunc latius in omnem terram disseminatam gloriæ ejus celebrationem, denunciat. Dominus autem Sabaoth ex interpretatione est *Dominus exercituum:* is autem erit primus imperator exercituum Domini, quem in tertio ac vigesimo Psalmo Dominum Sabaoth divinæ rursus potestates appellant, ubi ejusdem de terra ad cœlum ascensum divinant, et canunt verbis illis, *Tollite portas principes* Ps. 23, 9. *vestras, et elevamini portæ æternæ, et introibit rex gloriæ. Quis est iste rex gloriæ? Dominus exercituum, ipse est rex gloriæ.* Hebraicus enim contextus hoc loco rursus *Dominum Sabaoth* illum vocat: et quoniam ipse est rex gloriæ, et propter ejus adventum futurum erat ut omnis terra impleretur gloria ejus, merito quod futurum erat, et in propheta, et in Psalmo dictum est, in propheta quidem illis verbis:

διὰ τοῦ, πλήρης πᾶσα ἡ γῆ τῆς δόξης αὐτοῦ, ἐν δὲ τῷ
Ψαλμῷ, διὰ τῆς ἀρχῆς φασκούσης, τοῦ Κυρίου ἡ γῆ καὶ
τὸ πλήρωμα αὐτῆς, ἡ οἰκουμένη, καὶ πάντες οἱ κατοικοῦν-
15 τες ἐν αὐτῇ. Τούτων τεθεσπισμένων, ἑξῆς ὑποβὰς ὁ
προφήτης μαρτύρεται, ὅτι δὴ εἰ καὶ πλήρης ἔσται πᾶσα
ἡ γῆ τῆς δόξης αὐτοῦ, ἀλλά γε τὸ Ἰουδαίων ἔθνος b
οὐ προσήσεται [x] αὐτὸν, διό φησιν, καὶ εἶπε Κύριος,
αὐτὸς δηλαδὴ ὁ τεθεωρημένος Κύριος Σαβαὼθ, τίνα
ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; Καὶ
εἶπα, ἰδού εἰμι ἐγὼ, ἀπόστειλόν με. Καὶ εἶπε, πορεύθητι,
καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συν-
ῆτε· καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως
ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε
ἴδωσι τοῖς ὀφθαλμοῖς αὐτῶν, καὶ τοῖς ὠσὶν αὐτῶν ἀκούσωσι, c
καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ [y] ἰάσωμαι
16 αὐτούς. Δι' ὧν ἄντικρυς θεσπίζει τὴν ἐσομένην εἰς
αὐτὸν ἀντιλογίαν τοῦ Ἰουδαίων λαοῦ, καὶ ὡς ὄψονται
μὲν αὐτὸν, οὐ μὴν προσέξουσι τίς εἴη, λέγοντός τε ἐν
αὐτοῖς καὶ διδάσκοντος ἀκούσονται, οὐ μὴν καὶ συν-

[x] αὐτὸν add. P. [y] ἰάσομαι S.

Plena est omnis terra gloria ejus, in Psalmo autem initio statim ubi ait, *Domini est terra et plenitudo ejus, orbis terrarum, et omnes qui habitant in eo.* His autem vaticinio comprehensis, deinceps progressus propheta testificatur, quod licet omnis terra futura sit plena gloria ejus, attamen illum Judaica gens acceptura non sit, *Itaque ait, et dixit Dominus,* (ille videlicet qui visus fuerat Dominus Sabaoth,) *quem mittam, et quis vadet ad populum hunc? Et dixi, ecce ego sum, mitte me. Et dixit, vade et dic populo huic, auditu audietis et non intelligetis, et intuentes intuebimini, et non videbitis. Crassum enim factum est cor populi hujus, et auribus suis graviter audierunt, et oculos suos clauserunt, ne quando videant oculis suis, et auribus suis audiant, et corde intelligant, et convertantur et sanem eos.* Quibus verbis manifestissime canit futuram adversum se accusationem Judæorum, et quod intuebuntur quidem ipsum, non tamen animadvertent quis sit, quodque loquentem inter ipsos et docentem audient, non tamen etiam intelligent quisnam is sit, qui cum ipsis loquatur,

ἤσουσιν οὔθ' ὅστις ὢν αὐτοῖς διαλέξοιτο, οὔθ' ἅπερ
αὐτοῖς τῆς καινῆς διδασκαλίας παραδώσει μαθήματα.
17 Μαρτυρεῖ δὲ τοῖς τῶν λόγων ἀποτελέσμασιν ὁ εὐαγγε-
λιστὴς Ἰωάννης περὶ τοῦ Σωτῆρος ἡμῶν λέγων, τοσ-
αῦτα δὲ αὐτοῦ σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ d
ἐπίστευσαν εἰς αὐτὸν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου
πληρωθῇ, ὃν εἶπε, Κύριε τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ
βραχίων Κυρίου τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο
πιστεύειν, ὅτι πάλιν εἶπεν Ἡσαΐας, τετύφλωκεν αὐτῶν τοὺς
ὀφθαλμοὺς, καὶ πεπώρωκεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ
ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστρέ-
ψωσι, καὶ [a] ἰάσωμαι αὐτούς. Ταῦτα εἶπεν Ἡσαΐας ὅτε
18 εἶδε τὴν δόξαν αὐτοῦ, καὶ ἐμαρτύρησε περὶ αὐτοῦ. Ἀναμ-
φιλόγως οὖν ἐπὶ τὸν Χριστὸν ἀνήνεγκε τὴν ἐν τῷ
Ἡσαΐᾳ θεοφάνειαν ὁ εὐαγγελιστὴς, καὶ ἐπὶ τὸν Ἰου-
δαίων λαὸν οὐ παραδεδεγμένον τὸν ἑωραμένον τῷ προ-
φήτῃ Κύριον κατὰ τὴν περὶ [b] αὐτοῦ πρόρρησιν. Τῷ p. 313
γοῦν προφήτῃ ἑωρακότι τὸν Κύριον Σαβαὼθ φησὶν ὁ
χρησμὸς εἰπεῖν τῷ Ἰουδαίων ἔθνει, ὅτι δὴ καὶ αὐτοὶ
ὄψονταί ποτε τὸν αὐτὸν, ἀλλ' οὐ συνήσουσιν ὅστις εἴη,

[a] ἰάσομαι P. [b] αὐτοῦ] αὐτὸν P.

neque item quænam ea sint novæ doctrinæ præcepta, quæ ipse illis tradet. Comprobat vero hujus oraculi eventum evangelista Joannes, qui de Salvatore nostro sic ait: *Quum autem tam multa signa fecisset* Jo. 12, 37. *coram eis, non crediderunt in eum, ut sermo Esaiæ prophetæ impleretur, quem dixit: Domine, quis credidit auditui nostro, et brachium Domini cui revelatum est? propterea non poterant credere, quia iterum dixit Esaias: Excæcavit oculos eorum, et induravit cor eorum, ne videant oculis, et corde intelligant, et convertantur, et sanem eos. Hæc dixit Esaias quando vidit gloriam ejus, et testificatus est de eo.* Ergo absque controversia visionem illam Dei ad Christum retulit evangelista Joannes, et ad Judaicum populum, qui visum a propheta Dominum, quemadmodum ab illo ipso prædictum est, non suscepit. Nam quum Dominum Sabaoth propheta vidisset, refert oraculum quemadmodum ipsi præceperit, ut ad Judæos diceret quod ipsi illum quidem aliquando videbunt, sed non intelligent quis sit, et audient

καὶ ἀκούσονται αὐτοῦ λέγοντος ἐν αὐτοῖς καὶ διδάσκοντος, ἀλλ' οὐ νοήσουσι, διὰ τὸ πεπωρῶσθαι αὐτῶν τὴν
19 καρδίαν. Ταῦτ' οὖν ὁ Ἡσαΐας δι' ὧν παρεθέμεθα λέξεων θεσπίσας, ἐν ἱστορίας ἀφηγήσει πολεμίων ἔφοδον κατὰ τοῦ Ἄχαζ, ὃς ἐπεῖχε τότε τὰ τῆς βασιλείας τοῦ Ἰουδαίων λαοῦ, ὑπογράφει, καὶ τὴν τῶν μὲν αἰσθητῶν πολεμίων καθαίρεσιν αὐτίκα καὶ οὐκ εἰς [c] μακρὸν b
γενήσεσθαι σημαίνει· ὧν δὲ σύμβολα ἔφερε νοητῶν καὶ ἀοράτων ἐχθρῶν, δαιμόνων τινῶν καὶ ἀφανῶν δυνάμεων, (περὶ ὧν ἀρχόμενοι τῆς ὅλης [d] πραγματείας διεληλύθαμεν, ὡς οὐ μόνον τὸ Ἰουδαίων ἔθνος ἀλλὰ καὶ πᾶν τὸ ἀνθρώπειον γένος ἐπὶ πᾶν εἶδος κακίας καὶ ἐπ' αὐτήν γε τὴν ἄθεον εἰδωλολατρείαν καταβεβληκότων,) οὐκ ἄλλως τὴν ἧτταν ἔσεσθαι δηλοῖ, ἢ διὰ μόνης τῆς θεσπιζομένης εἰς ἀνθρώπους ἐπιδημίας τοῦ Θεοῦ Λόγου, ἐξ ἀπειρογάμου c
παρθένου [e] σκῆνος ἀνθρώπειον ἀναληψομένου. Τίς δὲ αὐτῷ ἡ τούτου χρεία ἦν, καιρὸς ἂν εἴη διαλαβεῖν.

Τὰ περὶ τῆς τοῦ

20 Ἐπειδὴ δι' ἀνθρώπου θάνατος εἰσῆλθεν εἰς τὸν κόσμον,

[c] μακρὰν] μακρὸν P.S. [d] πραγματίας et mox εἰδωλολατρίαν P. πραγματίαν S. qui mox ut vulg. εἰδωλολατρείαν. [e] σκῆνος] σκεῦος P.S. Vid. infra p. 348 D. 462 B.C.

illum loquentem inter ipsos et docentem, sed non percipient, propterea quod induratum erit cor eorum. Quum hæc igitur Esaias his quæ apposuimus verbis canat, in historiæ modum hostium adversus Achaz impetum, qui tunc Judaici populi regnum obtinuerat, describit et a visibilibus quidem hostibus ruinam brevi neque haud multo post futuram significat. Quorum vero signa quædam dumtaxat attulit, (hi porro sunt intelligibiles atque invisibiles quidam hostes, dæmones utique ac sub visum non cadentes potestates, de quibus initio totius operis disseruimus, quod non solam Judaicam gentem, sed omne prorsus humanum genus, in omne malitiæ genus, ac denique in ipsum omni religioni contrarium simulachrorum cultum compulerint,) hos non aliter vinci posse demonstrat, quam per unum, qui canitur Dei Verbi ad homines accessum, quod quidem Dei Verbum esset ex innupta virgine humanum corpus assumpturum. Sed hujus illi quisnam usus fuerit, jam tempus esse videtur, ut latius inquiramus.

Rom. 5, 12. Que spec-

Quia *per hominem mors intravit in mundum*, ait apostolus, idcirco

φησὶν ὁ ἀπόστολος, χρῆν δήπου διὰ τοῦ αὐτοῦ ἀνθρώ- Σωτῆρος
που τὴν κατὰ τοῦ θανάτου βραβευθῆναι νίκην, καὶ τὸ d ἡμῶν ἐπι-
σῶμα τοῦ θανάτου σῶμα ζωῆς ἀναδειχθῆναι, καὶ τῆς δημίας.
ἁμαρτίας τὴν βασιλείαν ἐν τῷ θνητῷ σώματι τὸ πρὶν
ἐνεργοῦσαν καταλυθῆναι, μηκέτι ἁμαρτίας αὐτοῦ ἀλλὰ
21 δικαιοσύνης κρατούσης. Καὶ ἐπειδὴ διὰ τῶν τῆς σαρκὸς
ἁμαρτημάτων πάλαι πρότερον ἡ πτῶσις ἐγίνετο πᾶσιν
ἀνθρώποις, εἰκότως πάλιν δι' ἀναμαρτήτου καὶ πάσης
ἀχράντου κακίας τὰ κατὰ τῶν ἐχθρῶν ἀνηγείρετο τρό-
22 παια. Τίνων δὲ ἐχθρῶν, ἢ τῶν πάλαι διὰ τῶν τῆς
σαρκὸς ἡδονῶν καταπαλαιόντων τὸ ἀνθρώπειον γένος;
Καὶ ἄλλως δὲ ἐχρῆν ἀνθρώποις Θεοῦ Λόγον ὁμιλεῖν
μέλλοντα, καὶ σαρκὸς ἀκοαῖς τὰ τῆς εὐσεβείας μαθή-
ματα παραδώσοντα, τεραστείας τε καὶ παραδοξοποιΐας
ἀνθρώπων ὀφθαλμοῖς Θεοῦ τε δύναμιν ἐναργῆ παρα- p. 314
στήσοντα, μὴ ἄλλως ἢ διὰ τοῦ συνήθους ἡμῖν ὀργάνου
τοῦτο πρᾶξαι, ὅτι οὐδὲ πλέον οὐδὲν σωμάτων ὁρᾶν
ἀνθρώπων δυνατὸν ἦν ὀφθαλμοῖς, οὐδ' ἀκούειν ἀκοὴν
23 πλέον τι τοῦ διὰ γλώττης προφερομένου ἤχου. Ἵν' οὖν
καὶ διὰ σωμάτων αἰσθήσεως τῆς τῶν νοητῶν καὶ ἀσω-

adversus mortem victoriam obtineri per eundem hominem oportuit, et quod mortis fuerat corpus, vitæ corpus declarari, et peccati regnum, quod prius in corpore mortali vim suam exercebat, deleri usque adeo, ut non amplius illi peccatum sed justitia dominaretur, et quoniam ex peccatis corporis antea cunctis hominibus ruina facta est, merito rursus per omnis peccati expers corpus omnique prorsus malitia intactum trophæa adversus hostes erigenda fuerunt. Sed quos tandem hostes, nisi eos qui olim per corporeas voluptates humanum genus prosternebant? Præterea quum Dei Verbum esset cum hominibus collocuturum, et corporeis auribus præcepta de pietate traditurum, prodigiaque et miracula oculis hominum Deique virtutem evidenter atque aperte demonstraturum, non aliter quam per consuetum nobisque familiare instrumentum hoc facere ipsum oportuit, quoniam nihil quidem amplius, quam quæ corpora sunt, mortalibus oculis ut cerneremus, fieri poterat, neque ut auribus perciperemus, quam sonum, qui lingua proferri consuevit. Ut igitur corporeis quoque sensibus intelligibilium incorporearumque rerum

tant ad Salvatoris nostri adventum.

μάτων ἐννοίας ἐπιλαβώμεθα, τὸν ἡμῖν συγγενῆ καὶ γνώ-
ριμον [[f] λόγον] αὐτὸς ὁ Θεὸς Λόγος ἀνελάμβανε, καὶ
πάντα [g] γε δι' αὐτοῦ τὰ σωτήρια τοῖς αὐτηκόοις καὶ
αὐτόπταις τῶν ἐνθέων αὐτοῦ λόγων τε καὶ ἔργων προ- b
24 εβάλλετο. Καὶ ταῦτ' ἔπραττε ταῖς τοῦ σώματος ἀνά-
γκαις ὁμοίως ἡμῖν οὐδαμῶς καταδεσμούμενος, [h] οὐδέ τι
χεῖρον ἢ μεῖζον αὐτὸς ἑαυτοῦ τῆς θεότητος ὑπομένων,
οὐδ' οὕτως [i] οἷα ἀνθρώπου ψυχὴ τῷ σώματι [k] πεδούμε-
νος ὡς μὴ ἐνεργεῖν δύνασθαι τὰ θεῖα, μὴ δὲ πανταχῇ
παρεῖναι Θεοῦ Λόγον ὄντα, καὶ τὰ πάντα πληροῦντα, καὶ
διὰ πάντων ἥκοντα· ἀλλ' οὐδὲ ῥύπον ἢ φθορὰν ἢ μίασμα
ἐξ ἧς ἀνείληφε σαρκὸς ἐπενηνεγμένος, ὅτι δὴ ἀσώματος
ὢν τὴν φύσιν καὶ ἄϋλος καὶ ἄσαρκος, οἷα Θεοῦ Λόγος,
ἐνθέῳ δυνάμει καὶ λόγοις ἡμῖν ἀρρήτοις πᾶσαν ὑπῄει c
τὴν οἰκονομίαν, τῶν οἰκείων μεταδιδοὺς, ἀλλ' οὐκ ἀντ-
25 επαγόμενος τῶν ἀλλοτρίων. Οὐκοῦν τι φοβεῖσθαι χρὴ
τὴν ἔνσαρκον οἰκονομίαν, ἐπεὶ μὴ ἐμολύνετο ὁ ἀμόλυν-
τος, μὴ δὲ ἐκ τῆς σαρκὸς ὁ ἀμίαντος ἐμιαίνετο, μὴ δὲ

[f] λόγον om. P.S. Neque habuit interpres. [g] τε P. [h] οὐδ' ἔτι P.
[i] ὥσθ' οἷα] ὥσθ' om. P. [k] πεδούμενος—πανταχῇ add. P.

notiones caperemus, eum qui nobis et cognatus et familiaris esset ipse Deus Verbum assumpsit, omniaque per illum quæcunque salutaria essent, iis, qui ipsi audiebant ipsique fidebant, tam quæ in divinis ipsis verbis quam quæ in factis consisterent, exposuit. Atque hæc omnia administravit, nusquam ut nos simili ratione corporis necessitatibus illigatus, neque ipse quidquam aut deterius aut amplius sua ipsius divinitate perpetiens, neque vero ut anima hominis, ita ipse tali corpore impeditus ut divina interim munera obire non posset, aut ubique adesse, qui Dei Verbum est, omniaque implet, per omnia penetrat, neque item aut sordibus ullis, aut corruptione, aut fœditate, ex eo corpore quod assumpsit inquinatus, propterea quod quum ipse natura sit expers et corporis, et carnis, et omnis materiæ, tanquam Dei Verbum, divina quadam virtute rationibusque ineffabilibus omnem sustinuit dispensationem, quæ sua essent impertiens, non autem contra sibi vendicans aut usurpans quæ aliena. Ergo cur ita hanc illius in corpore dispensationem formidare opus est, quando neque fœdatus est is qui fœdari non potest, neque ex carne assumpta inquinatus qui non potest inquinari, neque vero propria

συνεφθείρετο τῇ τοῦ σώματος οἰκείᾳ φύσει ὁ ἀπαθὴς
τοῦ Θεοῦ Λόγος, ἐπεὶ μὴ δὲ ἡλίου πάθοιεν ἄν τι ἀκτῖ-
νες νεκρῶν καὶ παντοίων σωμάτων ἐπαφώμεναι; Τῷ δὲ
θείῳ Λόγῳ τοὔμπαλιν τὸ φθαρτὸν μετεσκευάζετο, καὶ
ἅγιόν τε καὶ ἀθάνατον, ἅτε καὶ ἦν αὐτῷ βουλητὸν, ἀπε- d
τελεῖτο· ναὶ μὴν καὶ ταῖς ἐνθέοις τοῦ πνεύματος βουλαῖς
26 τε καὶ πράξεσι διηκονεῖτο. Τοῦτο οὖν ὅλον τῷ φιλαν-
θρωποτάτῳ Θεῷ τε καὶ Θεοῦ Λόγῳ ὑπὲρ τῆς πάντων
ἀνθρώπων θεραπείας τε καὶ σωτηρίας ταῖς τῶν προφη-
τῶν ἀκολούθως ἐνηργεῖτο φωναῖς, ἄνωθεν ἐκ παλαιῶν
χρόνων τὴν θαυμασίαν ἐκ παρθένου γέννησιν αὐτοῦ
[1]προμαρτυρομέναις. Σφόδρα δὲ ἀναγκαίως ὁ προφήτης
προτάττει τῆς ἐκ παρθένου γενέσεως τοῦ Χριστοῦ τὸ
ἐπιστρεφὲς, ἐπιφωνῶν ἄντικρυς τοῖς τούτων ἀκροωμένοις p. 315
27 τὸ, ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. Ὧι ἐπιφέρει ἑξῆς
τὰ τοῦτον ἔχοντα τὸν τρόπον,

Ἐὰν μὴ πιστεύσητε, οὐδὲ μὴ συνῆτε. Καὶ προσέθετο Κύριος λαλῆσαι τῷ Ἄχαζ, λέγων, αἴτησαι σεαυτῷ σημεῖον παρὰ Κυρίου τοῦ Θεοῦ σου εἰς βάθος ἢ εἰς ὕψος. Καὶ εἶπεν

[1] προμαρτυρομένοις P.

corporis natura corruptus, quum ipsum sit Dei Verbum ab omni patiendi natura prorsus alienum, quando ne solis quidem radii, dum cadavera et omnis generis corpora attingunt, quidquam omnino pati dicuntur? Ab ipso autem divino Verbo etiam contra quod corruptibile erat in melius commutatum est, sanctumque atque immortale, quemadmodum ipsius voluntas fuit, effectum est: quinetiam divinis sui patris consiliis atque actionibus ipse interim inserviebat. Totum igitur hoc hominum amantissimus Deus Deique Verbum pro cunctorum hominum medela et salute vocibus interim prophetarum consentanea gerens effecit, qui quidem prophetæ tanto ante a priscis usque temporibus admirabilem ipsius de virgine ortum testificati fuerant. Porro autem admodum necessario huic Christi ortui de virgine propheta anteponit id quod reddat attentum, inclamans ad eos qui ipsa hæc audiant illud: *Si non credideritis, non intelligetis,* cui deinceps adjungit ea, quæ in hunc modum se habent: *Si non crediderritis, non intelligetis. Et adjecit Dominus loqui ad Achaz dicens? Pete tibi signum a Domino Deo tuo in profundum aut in excelsum. Et dixit Achaz: Non petam, neque tentabo Dominum. Et dixit: Audite jam domus* Es. 7, 9.

Ἄχαζ, οὐ μὴ αἰτήσω, οὐδὲ μὴ πειράσω Κύριον. Καὶ εἶπεν, Ἀκούσατε δὴ οἶκος Δαβὶδ, μὴ μικρὸν ὑμῖν ἀνθρώποις παρέχειν ἀγῶνα καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ b λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουήλ· βούτυρον καὶ μέλι φάγεται, πρὶν ἢ γνῶναι αὐτὸν ἢ προελέσθαι πονηρὰ, ἐκλέξεται τὸ ἀγαθόν· διότι πρὶν ἢ γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ ἐκλέξασθαι τὸ ἀγαθόν. Καὶ [m]καταλειφθήσεται ἡ γῆ, ἣν σὺ φοβῇ, ἀπὸ προσώπου τῶν δύο βασιλέων.

28 Καὶ τὰ μὲν τῆς προφητείας ὧδέ πη εἶχεν. Ἐπιστῆσαι δὲ ἄξιον τῷ τοῦ λόγου προοιμίῳ μαρτυραμένῳ τοῖς ἐντυγχάνουσιν, ὅτι ἐὰν μὴ πιστεύσωσιν, οὐδὲ μὴ συνῶσι. c Καὶ ἀναγκαίως χρῆν ἐπισημήνασθαι, δεικνύντας ὅτι μὴ μόνον συνέσεως, ἀλλὰ καὶ πίστεως δεῖ τοῖς ἐντευξομένοις, καὶ οὐ μόνον πίστεως, ἀλλὰ καὶ συνέσεως. Ὅθεν οἱ ἐκ περιτομῆς μὴ πιστεύσαντες εἰς τὸν Χριστὸν τοῦ Θεοῦ, εἰσέτι καὶ νῦν τούτων ἀκροώμενοι, οὔπω καὶ εἰς δεῦρο συνῆκαν τὸν προφητευόμενον, ὥστε ἐπ' αὐτοῖς
29 πρώτοις ἐπαληθεῦσαι τὴν πρόρρησιν. Ἀκοῇ γὰρ τῶν περὶ τοῦ Χριστοῦ προφητειῶν διὰ πάσης ἡμέρας ἀκου-

[m] καταληφθήσεται P.

David: num parum vobis est, hominibus exhibere certamen? et cur Domino exhibetis certamen? propter hoc dabit Dominus ipse vobis signum, Ecce virgo in utero capiet, et pariet filium, et vocabis nomen ejus Emmanuel, butyrum et mel comedet, prius quam cognoscat ipse aut eligat mala, ut seligat bonum: quia prius quam cognoscat puer bonum aut malum, non est obediens malitiæ, ut seligat bonum. Et comprehendetur terra, quam tu times a facie duorum regum. Et quæ quidem ad prophetiam pertinent in hunc modum se habent. Diligentius vero attendere par est ipsius oraculi exordium, quod legentes admonet, *Si non crediderint, ne intellecturos quidem esse.* Et sane adnotare necesse fuit atque ostendere, quod non solum intellectu sed etiam fide iis, qui lecturi sunt, opus sit, et vicissim, non solum fide sed etiam intellectu. Ex quo Judæi qui in Christum Dei non crediderunt etiam nunc hæc audientes, nondum tamen quis sit, de quo propheta loquitur, intellexerunt, ut in ipsis primis veritatem suam probaverit vaticinium: auditu enim tota die prophetias de Christo

οντες, ὠσὶ διανοίας οὐκ ἀκούουσιν. Τῆς τε ἀγνοίας
αὐτῶν αἴτιον οὐδὲν ἕτερον ἢ ἀπιστία τυγχάνει, καὶ τοῦτο d
τῆς προρρήσεως ἀψευδῶς περὶ αὐτῶν καὶ πρὸς αὐτοὺς
ἀποφηναμένης. *Ἐὰν γὰρ, φησὶ, μὴ πιστεύσητε, οὐδὲ μὴ*
30 *συνῆτε.* Ἀλλ' εἰ φαῖεν μὴ παρθένον, [n]νεᾶνιν δὲ ὠνομά-
σθαι ἐν τῇ γραφῇ, (οὕτως γάρ φασι φέρεσθαι παρ'
αὐτοῖς,) καὶ ποῖον ἂν γένοιτο, φήσομεν, σημεῖον ἐπαγ-
γελίας Θεοῦ ἄξιον, εἰ συνήθως τίκτειν οἷα καὶ πᾶσαι
γυναῖκες ἐξ ὁμιλίας ἀνδρὸς ἐν γαστρὶ λαβοῦσα νεᾶνίς
τις ἔμελλε; πῶς δὲ καὶ Θεὸς ἦν ὁ ἐξ αὐτῆς γεννώμε-
νος; καὶ οὐχ ἁπλῶς Θεὸς, ἀλλ' ὁ μεθ' [o]*ἡμῶν*; τοῦτο
γὰρ σημαίνειν βούλεται τὸ Ἐμμανουὴλ, ὅπερ φησὶ δεῖν
ὀνομάζειν τὸν γεννώμενον. *Ἰδοὺ γὰρ ἡ παρθένος, φησὶν,*
ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, καὶ καλέσεις τὸ p. 316
ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερμηνευόμενον, μεθ'
31 *ἡμῶν ὁ Θεός.* [p]Ποῖος δὲ καὶ ἀγὼν Θεῷ, ἢ ποῖος ἂν εἴη
κόπος καὶ μόχθος ἐπὶ συνήθει τρόπῳ γυναικὸς τικτού-
σης; Ἐν μὲν γὰρ τοῖς ἡμετέροις ἀντιγράφοις ὑφ' [q]ἑβδο-
μήκοντα ἀνδρῶν, ἄνωθεν μὲν Ἑβραίων τὸ γένος ἐπ'

[n] νεάνην P. [o] ἡμῶν Θεὸς ED. PARIS. [p] οἷος P.S. [q] ἑβδομήκοντα] ὅλων P.S. ὁ μὲν ὄντες τὸ πλῆθος Ecl. p. 177, 17.

audientes, auribus intelligentiæ non audiunt. Atque ipsorum ignorantiæ alia nulla est causa quam incredulitas, quum ipsum hoc absque mendacio et de ipsis et ad ipsos vaticinium plane enunciaverit: *Si enim non credideritis*, inquit, *ne intelligetis quidem.* Quod si dixerint non virginem, sed puellam apud scripturam nominatam esse, (sic enim aiunt apud ipsos haberi,) cujusmodi tandem signum hoc futurum dicemus, quod divina promissione sit dignum, si usitate, quemadmodum cæteræ omnes mulieres ubi ex viri conjunctione prægnans evaserit, puella quæpiam fuit paritura? quomodo præterea Deus erit qui ex illa nascatur, neque simpliciter Deus, sed *nobiscum Deus?* hoc enim significat vox Emmanuel, quo nomine ait esse vocandum illum qui nascetur: *Ecce enim*, inquit, *virgo in utero capiet, et pariet filium, et vocabis nomen ejus, Emmanuel, quod est, si quis interpretetur, nobiscum Deus.* Cujusmodi autem certamen Deo, aut quis tandem labor, quæve difficultas objecta, si de more paritura fuit mulier? In nostris enim exemplaribus, quæ quicunque interpretati sunt, ii et

ἀκριβείᾳ δὲ τῆς πατρίου παιδείας δεδοκιμασμένων, [r] ἑρ-
μηνευομένοις ὧδέ πως φέρεται· Μὴ μικρὸν ὑμῖν ἀγῶνα
παρέχειν ἀνθρώποις; καὶ πῶς Κυρίῳ παρέχετε ἀγῶνα; b
32 διὰ τοῦτο δώσει Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ παρ-
θένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται υἱὸν, ὃς κεκλήσεται ὁ
μεθ' ἡμῶν Θεός· (τοῦτο γὰρ, ὡς ἔφην, δηλοῦν βούλεται
τὸ Ἐμμανουὴλ ὄνομα·) ἐν δὲ τοῖς αὐτῶν Ἰουδαίων ἀν-
τιγράφοις κατὰ τὴν Ἀκύλου μεταβολὴν φερομένοις,
(προσήλυτος δὲ ὁ Ἀκύλας ἦν, οὐ φύσει Ἰουδαῖος,) ὅμως
δ' οὖν καὶ κατ' αὐτὸν τοῦτον εἴρηται τὸν τρόπον· Ἀκού-
σατε δὴ οἶκος Δαβὶδ, μή τι ὀλίγον ἀπὸ ὑμῶν μοχθοῦν
ἄνδρας, ὅτι μοχθοῦτε [s] καί γε τὸν [t] Κύριον Θεόν μου; διὰ c
τοῦτο δώσει αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ νεᾶνις ἐν γαστρὶ
συλλαμβάνει, καὶ τίκτει υἱὸν, καὶ καλέσεις ὄνομα αὐτοῦ,
33 Ἐμμανουήλ. Παρὰ δὲ τῷ Συμμάχῳ ταῦθ' οὕτως ἔχει·
(λέγεται δὲ ὁ Σύμμαχος Ἐβιωναῖος εἶναι· αἵρεσις δὲ ἦν
οὕτω καλουμένων τινῶν Ἰουδαίων εἰς Χριστὸν πιστεύειν
λεγομένων, ἐξ ὧν ὁ Σύμμαχος ἦν, παρ' ᾧ καὶ αὐτῷ
ταῦτα οὕτως ἔχει·) Ἀκούσατε οἶκος Δαβὶδ, μὴ οὐκ αὔταρ-

[r] ἑρμηνευμένοις] ἑρμηνευομένοις S. [s] γε καὶ] καί γε P. v. infra D 8. [t] Κύριον om. S.

genere ab Hebræis oriundi fuerunt, et patriæ ipsorum linguæ peritissimi, et in ea eruditione probatissimi, sic habetur: *Num parum vobis est, certamen exhibere hominibus? et cur Domino exhibetis certamen? propter hoc dabit Dominus ipse vobis signum. Ecce virgo in utero capiet, et pariet filium, qui vocatur nobiscum Deus.* Hoc enim sibi vult, quemadmodum dixi, ipsa vox Emmanuel. In ipsis autem Judæorum exemplaribus, quæ secundum Aquilæ conversionem feruntur, (adventitius autem Aquila fuit, non natura Judæus,) sed tamen etiam secundum hunc, hoc sane scriptum est modo: *Nunquid parum est a vobis fatigari viros? quod laborem exhibetis etiam Deo meo? Propter hoc dabit ipse vobis signum: Ecce puella in utero concipit, et parit filium, et vocabis nomen ejus Emmanuel.* Apud Symmachum vero hæc ita se habent, (porro Symmachus dicitur Ebionæus fuisse: secta autem hæc fuit Judæorum, qui eo nomine vocabantur, et in Christum credere dicebantur, ex quibus Symmachus fuit,) apud ipsum hunc igitur hæc ita se habent: *Audite domus David, nunquid*

κες ὑμῖν κοποῦν ἀνθρώπους, ὅτι κοποῦτε τὸν Θεόν μου; διὰ
τοῦτο δώσει [u]Κύριος αὐτὸς ὑμῖν σημεῖον. Ἰδοὺ ἡ νεᾶνις
συλλαμβάνει καὶ τίκτει υἱὸν, καὶ καλέσεις ὄνομα αὐτοῦ
34 Ἐμμανουήλ. Ἐπειδὴ γὰρ τοῦ Ἰουδαίων ἔθνους τὸ σκλη- d
ρὸν τοῦ τρόπου καὶ πρὸς εὐσέβειαν δυσένδοτον ἱδρῶτα
καὶ κόπον μόχθον τε οὐ τὸν τυχόντα καὶ ἀγῶνα [x]παρεῖχε
τοῖς πάλαι θεοφιλέσι προφήταις, τούτου χάριν οὐκ αὔ-
ταρκες ὑμῖν, φησὶ, τοὺς προφήτας τοῦ Θεοῦ μοχθοῦν, καὶ
ἀγῶνα παρέχειν ἀνθρώποις; ἀλλ' ἤδη καὶ τὸν Θεόν μου
κοποῦτε, καὶ ἀγῶνα παρέχετε καί γε τῷ Θεῷ μου; Οὕτω
35 γὰρ καὶ Θεοδοτίων ἐξέδωκεν. Ὁ γοῦν προφήτης ἰδίως
ἑαυτοῦ Θεὸν, ἀλλ' οὐχὶ καὶ τῶν πρὸς οὓς ὁ λόγος, τὸν
κοπούμενον καὶ ἐπὶ τὸν ἀγῶνα ἀποδυόμενον προσεῖπεν,
οὐκ ἂν φήσας Θεόν μου τὸν ἐπὶ πάντων Θεὸν ἐν Ἰου-
δαίοις, παρ' οἷς ἐκ πατέρων τὸ περὶ τὸν τῶν πάντων
36 δημιουργὸν Θεὸν σέβας ἐφυλάττετο. Τίς δ' ἂν εἴη ὁ p. 317
ἀγὼν καὶ μόχθος ἢ ὁ κόπος τοῦ προφητευομένου Θεοῦ,
ἢ τὸ εἰς ἀνθρώπων γένεσιν ἐλθεῖν, κατὰ μὲν ἡμᾶς καὶ
τὴν τῶν ἑβδομήκοντα ἑρμηνείαν, ἐκ παρθένου γεννώμε-

[u] Κύριος add. P. [x] παρεῖχον S.

non satis vobis est fatigare homines, quod fatigatis Deum meum? propter hoc dabit Dominus ipse vobis signum: Ecce puella concipit et parit filium, et vocabis nomen ejus Emmanuel. Quoniam enim Judaicæ gentis mores asperrimi, et a pietate admodum abhorrentes, sudorem laboremque ac fatigationem non vulgarem atque certamen antiquis illis Deo amicis prophetis exhibebant, idcirco, *Non satis est,* inquit, *vobis, Dei prophetas affligere, hominibusque exhibere certamen, nisi jam etiam Deum meum fatigetis, eique exhibeatis certamen? Nec Deo simpliciter, sed Deo meo?* Sic enim Theodotion quoque convertit. Propheta igitur suum peculiariter Deum, et non eorum ad quos sermo dirigebatur, eum qui vexaretur et in certamen daretur, appellavit, qui quidem nunquam Deum meum dixisset eum, qui apud Judæos supremus habetur, apud quos, quem a patribus rerum omnium conditoris Dei cultum ipsi acceperant, is diligentissime servabatur. Sed quod tandem esse potest certamen, quis labor, quæ fatigatio ejus Dei, de quo propheta loquitur, nisi ipsum ad hominum generationem accedere? et tum secundum nos, tum secundum Septuaginta inter-

νον, κατὰ δὲ τὴν νῦν παρὰ Ἰουδαίοις φερομένην, ἐκ
νεάνιδος; Εὕροις δ' ἂν παρὰ Μωσεῖ καὶ τὴν ὁμολογου-
μένως παρθένον νεᾶνιν προσηγορευμένην, τὴν γοῦν ἑτέρῳ
μεμνηστευμένην ὑφ' ἑτέρου δὲ ἐκβεβιασμένην τούτῳ κέ-
37 κληκε τῷ προσρήματι. Ἀλλὰ καὶ ὁ ἐκ τῆς δηλουμένης
τεχθησόμενος Ἐμμανουὴλ μείζονα ἢ κατὰ τὸν κοινὸν b
ἄνθρωπον ἐπιφέρεται δύναμιν, ἐκλεγόμενος τὸ ἀγαθὸν
πρὶν [y] ἢ γνῶναι πονηρὰ, καὶ ἀπειθῶν πονηρίᾳ τοῦ ἐκλέ-
ξασθαι τὸ ἀγαθόν· καὶ ταῦτα οὐκ ἐν τῇ τοῦ ἀνδρὸς
38 ἡλικίᾳ, ἀλλ' ἐν τῇ τοῦ παιδίου. Διὸ εἴρηται, πρὶν ἢ
γνῶναι τὸ παιδίον ἀγαθὸν ἢ κακὸν, ἀπειθεῖ πονηρίᾳ, τοῦ
ἐκλέξασθαι τὸ ἀγαθὸν, δι' ὧν παντελῶς τὸ τῆς κακίας
ἄπειρον τοῦ δηλουμένου παρίσταται. Ἀλλὰ καὶ κρείτ-
τονα ἢ κατὰ ἄνθρωπον ἐπάγεται τὴν ἐπωνυμίαν, ὁ μεθ' c
39 ἡμῶν ὑπάρχων Θεός. Διὸ καὶ τὸ περὶ αὐτοῦ σημεῖον
βάθος ἐλέγετο περιέχειν, ὁμοῦ δὲ καὶ ὕψος· βάθος μὲν,
διὰ τὴν εἰς ἀνθρώπους κάθοδον, ἢ καὶ τὴν μέχρι θανάτου
παρουσίαν· ὕψος δὲ, διὰ τὴν [z] ἔνθεον ἐκ τοῦ βάθους
ἀποκατάστασιν, ἢ διὰ τὴν τῆς ἐνθέου προϋπάρξεως

y ἢ om. S. z ἔνθεον—τὴν της om. S.

pretationem de virgine nasci, secundum vero eam quæ apud juniores
Deut. 22, 19. seqq. fertur Judæos, de puella? Cæterum apud Mosem quoque invenies eam, quæ absque controversia sit virgo, puellam appellari: siquidem eam quæ alii desponsata sit, ab alio vero vitiata, hac appellatione vocavit. Is præterea qui de tali fœmina sit edendus nomine Emmanuel, majore fertur potentia, quam omnium aliorum est hominum, quippe qui eligat bonum prius quam cognoverit mala, et malitiæ non obtemperet boni eligendi gratia, eo magis quod hæc præstet non in virili jam sed in puerili adhuc ætate constitutus: ex quo illud dictum est, *Prius quam noverit puer bonum aut malum, non paret malitiæ, ut eligat bonum:* quibus verbis prorsus, quod ille de quo agitur nullam malitiam attigerit, demonstratur. Sed excellentiorem quoque denominationem, quam hominis ulla esse possit appellatio, nanciscitur is, qui nobiscum est Deus: quare signum item quod de illo datur, *profunditatem* simul habere dicitur, et simul *altitudinem: profunditatem* quidem propter descensum ad homines, aut etiam usque ad mortem accessum: *altitudinem* vero propter divinitatis a profunditate resti-

40 αὐτοῦ θεολογίαν. Τίς δ' ἂν εἴη ὁ μεθ' ἡμῶν Θεὸς, ἢ ὁ
διὰ τῶν πρόσθεν [a] ἀποδεδειγμένος Θεὸς Κύριος, ὁ καὶ
τῷ Ἀβραὰμ οὐκ ἄλλως ἢ δι' ἀνθρώπου μορφῆς τεθεα-
μένος; Εἰ δ' [b] ἀναφέροιεν ἐπὶ τὸν Ἐζεκίαν οἱ ἐκ περι-
τομῆς ταῦτα, τὸν τοῦ Ἄχαζ παῖδα, τοῦτον εἶναι φάσκον-
τες τὸν τῷ πατρὶ προσημαινόμενον, ἀλλ' οὔτε ὁ μεθ' d
ἡμῶν Θεὸς Ἐζεκίας ἦν, οὔτε σημεῖον θεοπρεπὲς πέπρα-
κταί τι ἐπ' αὐτῷ· ἀλλ' οὐδὲ ἀγὼν ἢ μόχθος τῷ Θεῷ ἦν
περὶ τὴν ἐκείνου γένεσιν· καὶ ἄλλως παρὰ ταῦτα δείκνυ-
ται ὁ Ἐζεκίας ἀποκλειόμενος τῶν χρόνων τῆς προφη-
41 τείας. Ταῦτα μὲν γὰρ βασιλεύοντος αὐτοῦ δὴ τοῦ
πατρὸς Ἄχαζ περὶ μελλόντων ἐθεσπίζετο· ὁ δὲ Ἐζε-
κίας πρὸ τοῦ βασιλεῦσαι τὸν Ἄχαζ συνίσταται γεγεν-
νημένος. Εἰ δὲ μὴ ἐπὶ τοῦτον ἀναχθείη τὰ τῆς προκει-
μένης προρρήσεως, πολλοῦ δεῖ ἐφ' ἕτερον τῶν παρὰ
Ἰουδαίοις μετὰ τοὺς τῆς προφητείας χρόνους γενομένων,
ἐπί γε μὴν τῆς τοῦ ἀληθοῦς Ἐμμανουὴλ, τοῦτ' ἔστι τοῦ p. 318
γεγονότος μεθ' ἡμῶν Θεοῦ, γενέσεως, καὶ ἐπὶ μόνης τῆς
τοῦ Σωτῆρος ἡμῶν τοῦ Θεοῦ Λόγου εἰς ἀνθρώπους ἐπι-

[a] ἀποδειγμένος S. [b] ἀν(α)φέροιεν P.

tutionem, aut etiam propter divinæ ejus substantiæ, quæ omni natura prior est, theologiam. Quis vero alius sit *nobiscum Deus*, quam is quem superioribus libris Deum Dominumque ostendimus, quique item Abrahæ quondam non alia quam hominis forma visus est? quod si Judæi hæc ad Ezeciam referant filium Achaz, et dicant hunc esse qui patri suo futurus oraculo promittatur, videant quomodo *nobiscum Deus* fuerit Ezecias, aut quodnam signum sua majestate dignum Deus in illo ostenderit: sed neque certamen ullum, neque labor in illius ortu Deo exhibitus est: præterea plane a prophetia excluditur ratione temporum Ezecias. Hæc enim ipso jam tum patre Achaz regnante futura canebantur. Ezeciam vero antequam regnum acceperit Achaz genitum esse constat. Quod si ad hunc ea quæ ad propositum oraculum pertinent minime referri possunt, multo minus ad alium quempiam eorum, qui apud Judæos post prophetiæ tempora extiterint, præterquam ad ortum ejus, qui verus est Emmanuel, hoc est ejus qui extiterit vere nobiscum Deus, et ad unum Salvatoris nostri Dei Verbi ad homines accessum: duobus enim sublatis

42 δημίας. Τῶν γὰρ δυεῖν βασιλέων καθῃρημένων, κατ-
ελείφθη ἔρημος ἡ τῶν Ἰουδαίων γῆ, ὥσπερ ἔσεσθαί
φησιν ὁ χρησμὸς εἰπὼν, καταλειφθήσεται ἡ γῆ ἀπὸ
προσώπου τῶν δύο βασιλέων· ὃ καὶ αὐτὸ ῥητῶς [c] μὲν καὶ
κατὰ λέξιν οὕτως [d] ἂν ἀποδοθείη. Κατὰ γὰρ βασιλέα
Ἄχαζ καὶ Ἠσαΐαν υἱὸν Ἀμὼς καὶ τοὺς τῆς προφητείας
χρόνους, βασιλεὺς Συρίας ὁ ἐν Δαμασκῷ καὶ βασιλεὺς
Ἰσραὴλ ὁ ἐν Σαμαρίᾳ, οὐχ ὁ ἐν Ἱερουσαλὴμ, ἀλλ᾽ ὁ τοῦ b
πλήθους τῶν Ἰουδαίων τῶν ἀποστάντων τοῦ θείου
νόμου, συνθήκας πρὸς ἀλλήλους θέμενοι, τοὺς ὑπὸ τοῖς
43 διαδόχοις [e] τοῦ Δαβὶδ βασιλευομένους ἐπολιόρκουν. Τού-
των οὖν [f] ἀμφοῖν τὴν καθαίρεσιν ἡ προφητεία θεσπί-
ζουσα, αὐτοὺς μὲν τοὺς κατ᾽ ἐκεῖνο καιροῦ Ἰουδαίους τε
καὶ ἀλλοφύλους, κατὰ τοῦ λαοῦ τοῦ Θεοῦ δεξιὰς ἀλλή-
λοις δεδωκότας, αὐτίκα μάλα διαλυθήσεσθαι καὶ ἀπο-
χωρήσειν τοῦ πολέμου φησί· τήν γε μὴν βασιλείαν
[g] αὐτῶν καὶ τὴν διαδοχὴν εἰς τὸ παντελὲς καταλυθή- c
σεσθαι καὶ ἀποσβεσθήσεσθαι ἐπὶ τῆς τοῦ προφητευο-
44 μένου μεθ᾽ ἡμῶν Θεοῦ γενέσεως. Ἐπίστησον τοίνυν
πότε ἡ Δαμασκηνῶν ὁμοῦ καὶ Ἰουδαίων κατελύθη βασι-

[c] μὲν add. P. [d] ἂν om. S. [e] τοῦ om. S. [f] ἄμφω P. [g] αὐτοῦ P.

regibus, deserta et sola relicta est Judæorum terra, sicut oraculum ait futurum, dicens, *Relinquetur terra a facie duorum regum:* quod quidem ipsum etiam plane ad verbum sic demonstrabitur. Temporibus enim regis Achaz et Esaiæ filii Amos, quibus prophetia illa edita est, rex Syriæ qui Damasci, et rex Israel, non is qui in Hierusalem, sed is qui Samariæ regnabat, et multitudini Judæorum, qui a divina lege defecerant, imperabat, fœdere inter se icto, eos, quibus Davidis successores imperabant, obsidere cœperunt. Hosce igitur ambos quum prophetia tollendos atque evertendos canat, ipsos quidem illius temporis Judæos et externos, qui adversus populum Dei sibi dextras inter se dederant, e vestigio dissolvendos et discessuros a bello prædicit: regnum tamen illud ac successionem prorsus dissolutum extinctumque iri sub illius, de quo prophetia loquitur *nobiscum Dei*, ortum. Attende igitur diligenter, quo tempore Damascenorum simul ac Judæorum dissolutum est regnum, et quando

λεία, καὶ κατὰ ποίους χρόνους κατελείφθη ἡ γῆ τῶν
Ἰουδαίων ἀβασίλευτος, καὶ αὐτή γε ἡ πρὶν πολλὰ δυνα-
μένη Δαμασκηνῶν χώρα, μεγάλῃ χειρὶ τὸ παλαιὸν τῆς
45 Συρίας ἁπάσης βασιλεύουσα. Ἐπὶ γὰρ τῆς τούτων
καθαιρέσεως τὸν Ἐμμανουὴλ πάντως που γεννηθήσε-
σθαι εἰκὸς, καὶ τὸν προφητευόμενον ἐληλυθέναι. Εἰ μὲν d
οὖν τῶν δηλουμένων παρῆν ὁρᾶν συνεστώσας τὰς βασι-
λείας, οὐδὲν [h]χρῆν περαιτέρω ζητεῖν, μόνον δὲ ἔτι καὶ
νῦν εἰς μέλλοντα χρόνον [i]ἀναρτᾶν τὰς ἐλπίδας· εἰ δὲ
ἔργῳ προφανὴς ἡ καθαίρεσις τῶν εἰρημένων, ὡς μήτε ἐν
Δαμασκῷ μήτε ἐν τῇ Ἰουδαίᾳ καθ' ἡμᾶς αὐτοὺς φαίνε-
σθαι βασιλέα, πρόδηλον ὡς τέλους ἔτυχε τὸ λόγιον
φῆσαν, καὶ καταλειφθήσεται ἡ γῆ ἀπὸ προσώπου τῶν δύο
βασιλέων, ὧν σὺ φοβῇ, ἀπὸ προσώπου αὐτῶν· τῶν βασι-
46 λέων, ἀντὶ τῶν βασιλειῶν ὠνομασμένων. Ὁ γοῦν Σύμ-
μαχός φησιν, ἐγκαταλειφθήσεται ἡ γῆ, ἀφ' ἧς σὺ ἐγκα-
κεῖς, ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐτῆς. Καὶ ὁ
Ἀκύλας, ἐγκαταλειφθήσεται ἡ χθὼν, ἣν σὺ σικχαίνεις,
47 ἀπὸ προσώπου τῶν δύο βασιλέων αὐτῆς. Καὶ ὁ Θεοδο-

[h] χρὴ P. [i] ἁμαρταὶ ED. PARIS. ἁμαρτᾶν S.

tandem relicta est terra Judæorum sine rege, necnon ipsa quæ prius multum poterat, magna manu quondam Syriæ universæ imperitans, Damascenorum regio. Namque sub horum eversionem atque interitum ipsum Emmanuel prorsus oriturum fuisse par est, et eum de quo prophetia loquitur venturum. Si igitur horum ipsorum, de quibus dictum est, regna adhuc stare intueri liceret, nihil amplius quærere opus esset, sed etiam nunc in futurum tempus spem omnem intendere: sin autem reipsa constat ea, de quibus dictum est, eversa sublataque esse, usque adeo ut neque in Damasco neque in Judæa nostris temporibus regem intueri liceat, quid amplius dubitandum est oraculum suum finem accepisse, quod ait, *Et relinquetur terra a facie duorum regum, quos tu times a facie ipsorum:* quibus in verbis *reges* pro *regnis* nominati sunt. Siquidem Symmachus ita ait, *Relinquetur terra, a qua tu mala pateris, a facie duorum regum ipsius.* Aquila vero, *Relinquetur terra, quam tu fastidis, a facie duorum regum ipsius.* Theodotion quoque eodem interpretatus est modo,

τίων δὲ τοῦτον ἡρμήνευσε τὸν τρόπον, ἐγκαταλειφθήσε- p. 319
ται ἡ γῆ, ἣν σὺ βδελύσσῃ, ἀπὸ προσώπου τῶν δύο βασι-
48 λέων αὐτῆς. Ὁρᾷς ὅπως τὴν γῆν καταλειφθήσεσθαι
ἀβασίλευτον θεσπίζει; ποίαν δὲ γῆν, ἢ τὴν τῶν Δαμα-
σκηνῶν, καὶ τὴν τοῦ Ἰσραήλ; τούτων γὰρ ἦσαν οἱ δύο
βασιλεῖς, οἱ περὶ ὧν ὁ λόγος. Ὧν ὁ Ἄχαζ τὴν γῆν
ἐσίκχαινεν, ἢ ἐβδελύσσετο, ἀποκάμνων ἢ ἐγκακῶν ἀπ᾽
αὐτῆς. Πότ᾽ οὖν τοῦτο γέγονεν; Τούτων γὰρ συμπερ-
ασθέντων, πᾶσα ἀνάγκη καὶ τὸ προλεγόμενον μέρος
τῆς προφητείας εἰς ἔργον κεχωρηκέναι· τοῦτο δὲ ἦν, τὸ
49 τὴν παρθένον τεκεῖν τὸν μεθ᾽ ἡμῶν Θεόν. Καὶ δὴ b
πρόδηλον τοῖς τὰς ἱστορίας ἐξετάζουσιν, ὡς μέχρι μὲν
τῶν χρόνων τῆς ἐπιφανείας τῶν Σωτῆρος ἡμῶν Ἰησοῦ
τοῦ Χριστοῦ καὶ ἐπὶ τῆς Δαμασκοῦ συνειστήκει τὸ ἐκ
προγόνων διαδοχῆς βασίλειον. [k]Μέμνηται γοῦν ὁ [l]ἱερὸς
ἀπόστολος Ἀρέτα τοῦ βασιλέως Δαμασκηνῶν, καὶ τοῦ
Ἰουδαίων [m]δὲ ἔθνους ἡ ἄτακτος καὶ οὐ κατὰ νόμον εἰσέτι
τότε διέμενε βασιλεία· οὐ γὰρ ἀπὸ γένους Δαβὶδ ἔφερον
τὴν τῆς ἀρχῆς διαδοχὴν Ἡρώδης, καὶ οἱ μετ᾽ αὐτὸν ἐπὶ
50 τοῦ Σωτῆρος ἡμῶν γενόμενοι. Μετὰ δὲ τὴν ἐπιφάνειαν

[k] μέμνητε S. [l] ἱρὸς P. ut vulg. S. [m] δὲ om. S.

Relinquetur, inquit, *terra quam tu abominaris a facie duorum regum ipsius.* Cernis ut vaticinetur terram relinquendam esse sine rege? sed quam tandem terram, nisi Damascenorum atque Israel? horum enim duo reges erant, de quibus hic sermo est. Quorum terram Achaz fastidiebat sive abominabatur laborans, sive mala patiens ab ea. Quando igitur, quæso, hoc factum est? His enim confectis, necesse est prorsus eam prophetiæ partem, de qua hic dictum est, ad exitum pervenisse, hoc est virginem nobiscum Deum peperisse. Et sane constat apud eos, qui non indiligenter historias exploraverint, quemadmodum usque ad tempora Salvatoris nostri Jesu Christi, reges Damasci a majoribus suis acceptum imperium tenuerint. Nam
2 Cor. 11, 32. sanctus quoque apostolus Aretæ Damascenorum regis meminit, et Judaicæ gentis ad illud usque tempus, quamvis inordinatum et præter leges, regnum manebat. Non enim a genere David aut Herodes, aut qui post Herodem Salvatoris nostri temporibus extiterunt, regni successionem ferebant. At vero post ejus adventum, postquam de

αὐτοῦ, καὶ τὸ εὐαγγελικὸν εἰς πάντας ἀνθρώπους τοῦ ἐκ c
τῆς παρθένου παιδὸς κήρυγμα, καταλέλειπται αὐτίκα ἡ
γῆ ἀπὸ προσώπου [n]τοῖν δυεῖν βασιλέων. Ἐξ ἐκείνου
γὰρ τῆς Ῥωμαίων μοναρχίας τῶν ἐθνῶν ἐπικρατησάσης,
λέλυτο μὲν καὶ πᾶσα ἡ κατὰ τοὺς τόπους ἐθναρχία τε
καὶ [o]πολιαρχία, τέλος δὲ μετὰ τῶν ἄλλων καὶ τὰ τῆς ἐν
χερσὶν ἐλάμβανε προφητείας.

51 Ῥητὰ μὲν οὖν τάδε· πρὸς δὲ διάνοιαν ὁ τῆς προφη-
τείας λόγος ἁπάσης ψυχῆς τὸ εὐσταθὲς καὶ γαληναῖον
καὶ εἰρηναῖον σημαίνει τῆς τὸν γεννηθέντα Θεὸν, αὐτὸν
δὴ τὸν Ἐμμανουὴλ, παραδεξαμένης. Ἑνὸς γὰρ Χρι- d
στοῦ καὶ τοῦ καταγγελθέντος πρὸς αὐτοῦ λόγου τῆς
τῶν ἀνθρώπων ψυχῆς βασιλεύοντος, οἱ πρὶν ἀποπεφεύ-
γασι πολέμιοι, δύο τρόποι δυσσεβείας, ὅ τε τὴν [p]εἰδω-
λολατρείαν καὶ τὴν ἐν πολυτρόποις δόγμασιν ἑτεροδο-
ξίαν ὑποβάλλων ἀνθρώποις, καὶ ὁ τὴν ἐν ἤθεσι δια-
52 στροφὴν ἐνεργῶν. Τούτων δ' οὖν ἔφερον οἱ πάλαι
δηλούμενοι σωματικοὶ βασιλεῖς τὰ σύμβολα· ὧν ὁ μὲν
Δαμασκηνῶν τῆς τῶν ἐθνῶν περὶ τὰ εἴδωλα πλάνης

[n] τῶν δυεῖν ED. PARIS. Sic S. [o] πολυαρχία τέλους S. [p] εἰδωλολατρίαν S.

virgine nati evangelicam in omnes homines prædicationem, terra continuo a facie duorum regum relicta est. Nam ex illo quum Romani omnium gentium imperium obtinuissent, solutus quidem est omnis per singula loca tam gentium quam civitatum principatus, finemque una cum multis aliis, etiam ea quæ ad præsentem prophetiam pertinent, sortita sunt.

Et hæc quidem ad verbum interpretantibus dicta sint. Ad sensum vero in hunc modum dicatur: hujus prophetiæ verba omnis animæ quæ Deum hunc natum, ipsum, inquam, Emmanuel susceperit, stabiles, tranquillos, pacificos significare mores. Uno enim Christo, et eo quod ab ipso nuntiatum est verbo, humanæ animæ imperium obtinente, priores ejus hostes, duo impietatis modi fugati sunt: unus is, qui et simulachrorum cultum, et in multimodis opinionibus diversitatem hominibus suggerebat: alter is, qui in moribus perversitatem propagabat. Nam ii, qui dicti sunt corporales reges, horum notas et signa gestabant, e quibus unus Damascenis imperans er-

εἰκὼν ἦν· ὁ δ' ἕτερος, τῶν ἀποστάντων τῆς Ἱερουσαλὴμ, δηλαδὴ τῶν ἀποπεπτωκότων τῆς κατὰ τὸν νόμον
53 τοῦ Θεοῦ λατρείας. Ὅτι δὲ ταῦτα κατὰ διάνοιαν τρο- p. 320
πικῶς ἀποδέχεσθαι προσήκει, μάθοι ἄν τις καὶ ἀπὸ τῶν ἑξῆς ἐπιλεγομένων, δι' ὧν ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουὴλ μυίας τινὰς καὶ μελίσσας ἐπελεύσεσθαι τῷ Ἰουδαίων ἔθνει καὶ ὁ λόγος θεσπίζει, τὰς μὲν ἀπ' Αἰγύπτου, τὰς δὲ ἀπὸ τῶν Ἀσσυρίων, τὴν κεφαλὴν καὶ τοὺς πόδας καὶ τὸν πώγωνα ἀποξυρήσειν, ἄνθρωπον δὲ δάμαλιν βοῶν καὶ δύο πρόβατα θρέψειν, καὶ ἄλλα τινὰ καθ' ἕνα καὶ τὸν αὐτὸν χρόνον ἔσεσθαι οὐδαμῶς πρὸς λέξιν νοούμενα, b
κατὰ μόνην δὲ διάνοιαν θεωρούμενα.

54 Ταῦτα μὲν οὖν τοιαῦτα· ὅπως δὲ ἡ παροῦσα γραφὴ τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσεως προεσήμαινε τὸν τρόπον, μαρτυρήσει ὧδέ πως ὁ εὐαγγελιστὴς γράφων,

Τοῦ δὲ Ἰησοῦ Χριστοῦ ἡ γένεσις οὕτως ἦν· μνηστευθείσης γὰρ τῆς μητρὸς αὐτοῦ Μαρίας τῷ Ἰωσὴφ, πρὶν ἢ συνελθεῖν αὐτοὺς, εὑρέθη ἐν γαστρὶ ἔχουσα ἐκ Πνεύματος ἁγίου. Ἰωσὴφ δὲ ὁ ἀνὴρ αὐτῆς, δίκαιος ὢν, καὶ μὴ θέλων παραδειγμα-

roris, quo in simulachris colendis gentes tenebantur, erat imago: alter vero eorum, qui ab Hierusalem defecerant, qui videlicet a Dei legitima adoratione deciderant, figurate personam gerere videbatur. Quod vero hæc ad sensum ex figura accipere oporteat, poterit quispiam etiam ex iis quæ sequuntur addiscere, ubi in diebus Emmanuel muscas quasdam atque apes Judaicam gentem invasuras oraculum canit, alias quidem ab Ægypto, alias autem ab Assyriis, caputque ac pedes et barbam dominum abrasurum, hominem vero juvencam boum et duas oves nutriturum, et alia quædam sub unum atque idem tempus futura, quæ nullo modo ad verbum intelligi possunt, sed ad sensum dumtaxat accipienda sunt.

Et hæc quidem in hunc modum se habent; quod autem ea quæ sic scripta sunt Salvatoris nostri Jesu Christi modum nascendi sig-
Matth. i. 18. nificaverint, ipse evangelista hoc pacto testificabitur scribens, *Jesu Christi autem generatio sic erat: quum esset desponsata mater ejus Maria Joseph, antequam convenirent, inventa est in utero habens de Spiritu sancto. Joseph autem vir ejus, quum esset justus, et nollet eam*

τίσαι αὐτὴν, ἐβουλήθη λάθρα ἀπολῦσαι αὐτήν. Ταῦτα δὲ
αὐτοῦ ἐνθυμηθέντος, ἰδοὺ ἄγγελος Κυρίου κατ' ὄναρ φαίνε- c
ται αὐτῷ λέγων, Ἰωσὴφ υἱὸς Δαβὶδ, μὴ φοβηθῇς παραλα-
βεῖν Μαριὰμ τὴν γυναῖκά σου· τὸ γὰρ ἐν αὐτῇ γεννηθὲν ἐκ
Πνεύματός ἐστιν ἁγίου. Τέξεται δὲ υἱὸν, καὶ καλέσεις τὸ
55 ὄνομα αὐτοῦ Ἰησοῦν. Αὐτὸς γὰρ σώσει τὸν λαὸν αὐτοῦ
ἀπὸ τῶν ἁμαρτιῶν αὐτῶν. Τοῦτο δὲ ὅλον γέγονεν, ἵνα
πληρωθῇ τὸ ῥηθὲν ὑπὸ τοῦ Κυρίου, διὰ τοῦ προφήτου
λέγοντος, ἰδοὺ ἡ παρθένος ἐν γαστρὶ λήψεται, καὶ τέξεται
υἱὸν, καὶ καλέσεις τὸ ὄνομα αὐτοῦ Ἐμμανουὴλ, ὅ ἐστι μεθερ-
μηνευόμενον, μεθ' ἡμῶν ὁ Θεός.

56 Οὕτω δὴ καθ' ἡμᾶς τὰ τῆς θείας προγνώσεως ἀπὸ
τῆς τῶν πραγμάτων ἐκβάσεως πιστοῦται, ἄλλως οὐκ ἂν d
τῆς προφητείας ἀληθοῦς ἀποφανθησομένης. Ἑξῆς δὲ
[q]τούτοις τίνα καὶ ὁπόσα λέγεται ἔσεσθαι ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς ἐπιφανείας τοῦ
Ἐμμανουὴλ, φέρε, κατανοήσωμεν.

57 Συριεῖ, φησὶ, Κύριος μυίαις, [r]ὃ κυριεύσει μέρους ποταμοῦ
Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων, καὶ
ἐλεύσονται, καὶ ἀναπαύσονται ἐν ταῖς φάραγξι τῆς χώρας,

[q] τούτων] τούτοις P. [r] αἳ κυριεύσουσι] ὃ κυριεύσει P. et sic infra p. 321 B. αἳ κυριεύουσι S.

traducere, voluit occulte dimittere eam. Hæc autem eo cogitante, ecce angelus Domini in somnis apparet ei dicens, Joseph fili David, noli timere accipere Mariam conjugem tuam: quod enim in ea genitum est, de Spiritu sancto est. Pariet autem filium, et vocabis nomen ejus Jesum. Ipse enim salvum faciet populum suum a peccatis ipsorum. Hoc autem totum factum est, ut impleretur quod dictum est a Domino per prophetam dicentem, Ecce virgo in utero habebit, et pariet filium, et vocabis nomen ejus Emmanuel, quod est interpretatum, nobiscum Deus. Sic sane secundum nos ea, quæ ad divinam prædictionem pertinent, ex ipso rerum eventu comprobantur, quippe quum alia ratione nunquam præ se veritatem prophetia latura esse videatur. Post hæc autem, quænam et quot futura esse dicantur, vel bona vel mala in die illa, hoc est, quo tempore adveniet Emmanuel, hinc jam consideremus: *Sibilabit*, inquit, *Dominus muscis, quæ dominantur in* Es. 7, 18.
parte fluminis Ægypti, et api quæ est in terra Assyriorum, et venient, et quiescent in convallibus regionis, et in foraminibus petrarum, et in

καὶ ἐν ταῖς τρώγλαις τῶν πετρῶν, καὶ εἰς τὰ σπήλαια, καὶ
εἰς πᾶσαν ῥαγάδα, καὶ ἐν παντὶ ξύλῳ. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
ξυρήσει Κύριος ἐν τῷ ξυρῷ τῷ μεγάλῳ, τῷ μεμισθωμένῳ,
πέραν τοῦ ποταμοῦ βασιλέως Ἀσσυρίων, τὴν κεφαλὴν, καὶ p. 321
58 τὰς τρίχας τῶν ποδῶν, καὶ τὸν πώγωνα ἀφελεῖ. Καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θρέψει ἄνθρωπος δάμαλιν βοῶν καὶ δύο
πρόβατα, καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, φάγε-
ται βούτυρον, ὅτι βούτυρον καὶ μέλι φάγεται πᾶς ὁ κατα-
59 λειφθεὶς ἐπὶ τῆς γῆς. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ πᾶς
τόπος, οὗ [s]ἂν ὦσι χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον
ἔσονται καὶ εἰς ἄκανθαν, μετὰ βέλους καὶ τοξεύματος εἰσ-
ελεύσονται ἐκεῖ, ὅτι χέρσος καὶ ἄκανθα ἔσται πᾶσα ἡ γῆ, καὶ
πᾶν ὄρος ἀροτριώμενον ἀροτριαθήσεται. Οὐ μὴ ἐπέλθῃ ἐκεῖ b
φόβος. Ἔσται γὰρ ἀπὸ τῆς χέρσου [t]καὶ ἀκάνθης εἰς βό-
σκημα προβάτου καὶ καταπάτημα βοός.

60 Τοσαῦτα ἔσεσθαι ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουὴλ ἡ
παροῦσα προφητεία περιέχει· ἅπερ ὁποίας ἔχεται θεωρίας
ὥρα διελθεῖν, τὴν διάνοιαν ἐπιτεμνομένους. Συριεῖ, φησὶ,
Κύριος μυίαις ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, [u]ὃ κυριεύσει μέρους ποτα-
μοῦ Αἰγύπτου, καὶ τῇ μελίσσῃ, ἥ ἐστιν ἐν χώρᾳ Ἀσσυρίων.
61 Ταῖς μὲν προτέραις εἰδωλολατρῶν ἀνδρῶν ψυχαῖς ἢ καὶ

[s] ἐὰν P. [t] σου καὶ] σου om. P. ubi καὶ suprasc. χέρης σου καὶ S.
[u] αἳ κυριεύουσι S. ut vulg.

speluncis, et in omni scissura, et in omni ligno. In die illa radet Dominus in novacula magna, quæ mercede conducta est, ultra fluvium regis Assyriorum, caput et pilos pedum, et barbam auferet, et erit in die illa, nutriet homo juvencam boum et duas oves, et erit ex eo quod plurimum faciet lac, comedet butyrum : quoniam butyrum et mel comedet omnis qui relictus fuerit in terra, et erit in die illa omnis locus ubicunque fuerint mille vites pro mille siclis, in terram incultam erunt, et in spinam, cum sagitta et arcu ingredientur illuc, quoniam terra inculta et spina erit omnis terra, et omnis mons qui aratur, arabitur. Non accedet illuc terror, erit enim a terra inculta et spina in pascua ovis, et in conculcationem bovis. Hæc tam multa futura in die Emmanuel præsens prophetia complexa est, quæ quali contemplatione scrutanda sint jam experiri tempus est, ipsam interim sententiam dividentes : *Sibilabit*, inquit, *Dominus muscis in die illa, quæ dominantur in parte fluminis Ægypti, et api quæ est in terra Assyriorum,* ubi virorum

δυνάμεσιν, ὡς οἶμαι, ἀκαθάρτοις καὶ ἀηδέσι μυίαις ὀνο- c
μαζομέναις, καὶ μυίαις Αἰγυπτιακαῖς, θυσίαις καὶ αἵμασιν εἰδώλων χαιρούσαις· τῇ δὲ μελίσσῃ ζῴῳ [x] κέντρον ἐπιφερομένῳ, βασιλεύειν τε καὶ βασιλεύεσθαι καὶ πολεμεῖν ἐπισταμένῳ, ἀμύνεσθαί τε καὶ τιτρώσκειν εἰδότι τοὺς
62 [y] ἀνθισταμένους. Ταύτας οὖν ὁμοῦ συνελθούσας, τὰς μὲν ἐκ τῆς τῶν εἰδωλολατρῶν χώρας, τὰς δὲ ἀπὸ τῆς τῶν κατευθυνόντων γῆς, (κατευθύνοντες γὰρ οἱ Ἀσσύριοι ἑρμηνεύονται,) κελεύσει [z] καὶ ὥσπερ συρίσματι τοῦ Κυρίου καὶ Θεοῦ τῶν ὅλων τῆς Ἰουδαίας ἁπάσης ἐπι- d
κρατήσειν, διὰ τὴν εἰς Χριστὸν ἀπιστίαν αὐτῶν, ἐν τῇ ἡμέρᾳ τοῦ Ἐμμανουὴλ, φησί· σημαίνει δὲ διὰ τούτων ἔθνη ἀλλόφυλα καὶ στρατιωτικὰ οἰκήσειν τὴν Ἱερουσα-
63 λὴμ καὶ τὴν Ἰουδαίαν γῆν. Ὅπερ καὶ ὁ Σωτὴρ ἡμῶν λευκοτέροις ὀνόμασιν ἐθέσπιζεν, εἰπὼν, καὶ Ἱερουσαλὴμ ἔσται πατουμένη ὑπὸ ἐθνῶν. Ὃ καὶ τέλους ἔτυχε, μετ' οὐ πολὺν χρόνον τῶν τοῦ Σωτῆρος ἡμῶν φωνῶν Ῥωμαίων τὴν πόλιν ἑλόντων, ἀλλοφύλους τε ἄνδρας αὐτόθι
64 κατοικισάντων καὶ ἐπὶ τοῦ τόπου καταστησάντων. Πά-

[x] κέντρον S. [y] ἀνθισταμένους] Post h. v. signum † ponit S. cum λήπει (sic) in marg. [z] ὥσπερ συρίσμά τι] καὶ ὡ. συρίσματι P.

prius simulachra adorantium animas, aut etiam quasdam et immundas et infestas potestates, muscas arbitror nominari, et muscas Ægyptiacas, quæ sacrificiis et cruoribus simulachrorum gaudent. Apis vero est animal aculeo armatum, et quod regnandi ac sub rege degendi bellandique scientiam habet, et ulcisci ac vulnerare adversantes idoneum est. Hasce igitur in locum unum convenientes, alias quidem de regione eorum qui simulachra adorant, alias vero de terra gubernantium (Assyrii enim ex interpretatione nominis gubernantes intelliguntur) jussu et quasi sibilatione Domini et Dei rerum omnium, Judææ universæ imperaturas, propter ipsius in Christum incredulitatem ait, in die Emmanuel. His autem verbis significat gentes externas et militares habitaturas Hierusalem et Judæam terram. Quod quidem ipsum evidentioribus verbis Salvator noster cecinit, ubi ait, *Et Hierusalem conculcabitur a gentibus*, quod oraculum haud ita Luc. 21, 24.
multo post illas Salvatoris nostri voces exitum invenit, Romanis ipsam urbem expugnantibus, illicque diversi generis viros collocan-

λιν δὲ ὁ αὐτὸς Κύριος ξυρήσειν λέγεται ἐν τῷ τοῦ
βασιλέως Ἀσσυρίων ξυρῷ, ἤτοι τῇ κολαστικῇ δυνάμει
τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, τὴν κεφαλὴν καὶ τοὺς
πόδας καὶ τὸν [a]πώγωνα οὐκ ἄλλου τινὸς ἢ αὖθις τοῦ
Ἰουδαίων ἔθνους· τοῦτ' ἔστι τὸν κόσμον αὐτῶν καὶ τὴν p. 322
[b]δόξαν περιελεῖν διὰ τῆς τῶν καθόλου ἐπικρατούντων
65 ἀρχῆς. Ῥωμαίους δὲ εἶναι τούτους αἰνίττεται. Διὰ γὰρ
τοῦ τῶν Ἀσσυρίων ὀνόματος ἡγοῦμαι τὴν καθ' ἕκαστον
χρόνον ἐπικρατοῦσαν τῶν ἐθνῶν βασιλείαν [c]σημαίνε-
σθαι, διὰ τὸ κατευθύνοντας ἀπὸ τῆς Ἑβραίων φωνῆς
ἑρμηνεύεσθαι τοὺς Ἀσσυρίους· ὥστε εἶναι Ῥωμαίους
66 τοὺς νῦν κατευθύνοντας. Ἐπεὶ καὶ ἀληθῶς τῷ Ῥω-
μαίων ξυρῷ, [d]ἤτοι τῇ πολιτικῇ καὶ πολεμικῇ δυνά-
μει, πᾶσαν τὴν δόξαν τοῦ Ἰουδαίων ἔθνους, ἐν ᾗ τὸ
πρὶν ἐκόμα, καὶ πᾶσαν αὐτῶν τὴν ἀνδρείαν διὰ τοῦ b
[e]πώγωνος καὶ τῶν τριχῶν τῶν ποδῶν σημαινομένην,
67 περιεῖλεν ὁ τῶν ὅλων Θεός. Οὐδὲ ἄλλοτε γοῦν πω
πρότερον ἐξ αἰῶνος ἢ μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν,
αὐτοῦ δὴ τοῦ Ἐμμανουὴλ, γένεσιν, περιεῖλεν αὐτῶν ὁ
Θεὸς πάντα τῶν κόσμον διὰ τῆς τῶν Ῥωμαίων ἀρχῆς.

[a] πώγονα S. [b] δόξαν αὐτῶν P. [c] σημαίνεσθαι om. P.S.
[d] ἤτοι om. P.S. [e] πώγονος P. qui om. καὶ post τριχῶν.

tibus, et in loco statuentibus. Rursus idem Dominus abrasurus dicitur in regis Assyriorum novacula, hoc est castigatoria vi principis sæculi hujus, caput et pedes et barbam non alterius cujuspiam quam rursus Judaicæ gentis, hoc est ornamentum et gloriam ablaturus per eorum, qui universo imperant, principatum. Hos autem non alios quam Romanos esse innuit. Nomine enim Assyriorum quodcunque per singula tempora gentibus impositum est regnum significari arbitror, propterea quod ex Hebraica lingua interpretantibus Assyrii *gubernantes* significant. Itaque nunc gubernantes Romani sunt. Nam re vera Deus universi Romanorum novacula, hoc est civili ac bellica vi, omnem Judaicæ gentis gloriam, in qua prius superbiebat, omnemque ipsorum fortitudinem, quæ per barbam et pilos pedum significatur, abstulit. Neque enim alio unquam tempore prius quam post Salvatoris nostri, hoc est post ipsius Emmanuel, ortum, omne illis ornamentum abstulit Deus per principatum

[f] 'Αντὶ δὲ τοῦ βασιλέως 'Ασσυρίων, ὁ μὲν 'Ακύλας, ἐν
βασιλείᾳ 'Ασσυρίων, ὁ δὲ Θεοδοτίων ἐν τῷ βασιλεῖ 'Ασ-
συρίων ἐκδέδωκεν, ὁμοίως δὲ καὶ Σύμμαχος· σαφὲς ποι-
οῦντες ὅτι μὴ τοῦ βασιλέως 'Ασσυρίων τὴν κεφαλὴν
ξυρήσειν ὁ λόγος ἀπειλεῖ, ἀλλ' ἐν τῷ αὐτοῦ ξυρῷ καὶ ἐν c
αὐτῷ τε τῷ βασιλεῖ τῶν 'Ασσυρίων τὰ προφητευόμενα
68 διαθήσειν τὸ 'Ιουδαίων ἔθνος. Τούτοις οὖν καὶ ἡ ἔκβα-
σις ἐπιμαρτυρεῖ τῶν λόγων. 'Επὶ σχολῆς δέ τις καὶ
πλεῖστα ἕτερα ὥσπερ εἰς 'Ασσυρίων πρόσωπον ἐν ταῖς
προφητείαις εἰρημένα εὕροι ἂν ἐπιτηρήσας, οὐδαμῶς μὲν
τοῖς 'Ασσυρίοις ἐφαρμόσαι δυνάμενα, τῇ δὲ ἐπικρατούσῃ
69 καθόλου τῶν κατὰ χρόνους ἐθνῶν βασιλείᾳ. Ἤδη
γοῦν καὶ Πέρσας εὕρομεν παρὰ 'Εβραίοις 'Ασσυρίους
ὠνομασμένους· διὸ καὶ νῦν ὑπειλήφαμεν αἰνίττεσθαι d
τὸν λόγον τὴν 'Ρωμαίων ἀρχήν. Κατευθύνουσαν γὰρ
καὶ κατευθυνομένην ὑπὸ τοῦ Θεοῦ μετὰ τὴν Σωτῆρος
70 ἡμῶν παρουσίαν ὁρῶμεν. Μηδεὶς δὲ ὑπολαμβανέτω
πάντα ἡμᾶς λέγειν τὰ περὶ 'Ασσυρίων ἐν ταῖς θείαις
φερόμενα γραφαῖς ἐπὶ 'Ρωμαίους ἀνάγεσθαι· ἠλίθιον
γὰρ καὶ ἀναιδὲς τοῦτο· ἀλλά τινας εἶναι προφητικὰς

[f] 'Αντὶ—ἐν β. 'Ασσυρίων om. S.

Romanorum. Sed pro *rege Assyriorum*, Aquila quidem *in regno Assyriorum*, Theodotion autem *in rege Assyriorum* convertit, itemque Symmachus: qui quidem sic ostendunt, quod non regis Assyriorum caput abradendum esse minetur oraculum, sed regis ejus novacula, atque in eo ipso rege Assyriorum, iis quæ in hac prophetia continentur afficiendam esse Judaicam gentem. Hæc autem etiam ipso eventu comprobantur. Per otium vero unusquisque alia complura, si observaverit, apud prophetas inveniet quasi de persona Assyriorum dicta, quæ nullo modo accommodari Assyriis possunt, sed regno quod per singula tempora universis gentibus dominetur. Etenim jam etiam Persas apud Hebræos invenimus Assyrios nominari. Quocirca nunc quoque putavimus principatum Romanorum hoc oraculo significari. Gubernare enim ipsum hunc, et eundem gubernari a Deo, post Salvatoris nostri adventum cernimus. Nemo tamen suspicetur omnia nos dicere, quæcunque in divinis libris de Assyriis leguntur, ad Romanos esse referenda. Fatuum enim id atque impu-

φωνὰς ταῖς περὶ τοῦ Χριστοῦ μαρτυρίαις συμπεριπε-
πλεγμένας, ἅς φαμεν περὶ Ῥωμαίων αἰνίττεσθαι διὰ τῆς
τῶν Ἀσσυρίων προσηγορίας, ἐκ τῆς τοῦ ὀνόματος ἑρ-
μηνείας αἰεὶ συνισταμένης τῆς κατὰ χρόνους ἐπικρατού-
σης τῶν ἐθνῶν βασιλείας, ὡς ἐπὶ καιροῦ τοῦ προσήκον-
71 τος παραστήσομεν. Καὶ ἔγωγε τὸν λογισμὸν τῆς αὐτῆς
[g] ἀποδόσεως πρὸς ἐμαυτὸν διερευνώμενος, οἶμαι δι' οὐδὲν
ἕτερον μὴ ὀνομαστὶ τῶν Ῥωμαίων μνημονεῦσαι τὰ προ- p. 323
φητικὰ λόγια, ἢ διὰ τὸ μέλλειν ἐπὶ τῆς Ῥωμαίων βασι-
λείας τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διαλάμπειν
εἰς πάντας ἀνθρώπους διδασκαλίαν, καὶ τὰς προφητικὰς
γραφὰς ἐπ' αὐτῆς τε τῆς Ῥωμαίων πόλεως καὶ ἐν πᾶσι
72 τοῖς ὑπὸ Ῥωμαίους ἔθνεσι δημοσιεύεσθαι. Ἵν' οὖν τοῖς
τῆς ἀρχῆς κρατοῦσι δυσαρέστησις μηδεμία γένηται ἐκ
τῆς προδήλου περὶ αὐτῶν ἀναγραφῆς, δι' αἰνιγμάτων ὁ
λόγος ἐπεκρύψατο, ἔν τε ἑτέροις πλείοσιν, οὐ μὴν ἀλλὰ b
καὶ ἐν ταῖς τοῦ Δανιὴλ θεωρίαις, ὥσπερ οὖν καὶ ἐν τῇ
μετὰ χεῖρας προφητείᾳ, ἐν ᾗ κατευθύνοντας αὐτοὺς ὀνο-
73 μάζει προσειπὼν Ἀσσυρίους. Τῷ τούτων τοιγαροῦν
ξυρῷ τὸν σύμπαντα κόσμον τοῦ Ἰουδαίων ἔθνους μετὰ

[g] ἀποδώσεως S.

dentiæ obnoxium. Sed quasdam esse propheticas voces, testimoniis, quæ de Christo feruntur, implicitas, quas dicimus de Romanis per Assyriorum appellationem accipiendas ex nominis interpretatione, quod semper regnum illud, quod per singula tempora gentibus impositum est, repræsentat, quemadmodum suo tempore demonstrabimus. Atque ego quidem, dum hujus expositionis rationem mecum inquiro, arbitror ob nihil aliud oracula prophetica non commemorare nominatim Romanos, quam quod Romanis regnantibus Salvatoris nostri doctrina in omnes homines suum lumen erat missura, et scripturæ propheticæ in ipsa Romanorum urbe et in omnibus gentibus Romano imperio subjectis publicandæ: ne igitur iis qui imperium obtinebant ulla oboriretur offensio, si de ipsis apertissime scriptum esset, sermonis adhibita est in oraculis obscuritas, quum quidem in aliis pluribus, tum vero in Danielis visionibus: quemadmodum in hac quoque, quæ nunc in manibus est, prophetia, quæ cum Assyrios appellet gubernantes intelligit. Horum ergo novacula universum

τὴν τοῦ Ἐμμανουὴλ γένεσιν ἀφανισθήσεσθαι θεσπίζει.
74 Ἔτι δὲ ἐν τῇ δηλουμένῃ ἡμέρᾳ, δῆλον δὲ ὅτι τῇ τοῦ
Ἐμμανουὴλ, τοῦτ᾽ ἔστι τῆς τοῦ Χριστοῦ ἐπιφανείας,
θρέψει, φησὶν, ἄνθρωπος δάμαλιν βοῶν, καὶ δύο πρόβατα.
Καὶ ἔσται ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ c
75 μέλι φάγεται πᾶς ὁ καταλειφθεὶς ἐπὶ τῆς γῆς. Δι᾽ ὧν
φαίη ἂν τις ἤτοι λιμὸν αἰνίττεσθαι καὶ πτωχείαν ὑπερ-
βάλλουσαν τοῦ ἐκ περιτομῆς λαοῦ, μὴ [h]εὐποροῦντος μὲν
τῆς ἀπὸ σίτου κατὰ φύσιν τροφῆς, μὴ δὲ γῆν ἀροῦντος
καὶ σπείροντος καὶ θερίζοντος, μὴ δὲ ποίμνας προβάτων
μὴ δὲ βοῶν ἀγέλας [i]κεκτημένου, ἐχομένου δὲ δύο προ-
βάτων καὶ δαμάλεως μιᾶς, τὸ τούτων γάλα ποριζομένου·
ἢ ἄλλως τροπολογῶν, τὸν μὲν καταλειφθέντα ἐπὶ τῆς
γῆς αἰνίττεσθαι φαίη ἂν τὸν τῶν ἐκ περιτομῆς εἰς τὸν
Σωτῆρα καὶ Κύριον ἡμῶν πεπιστευκότων ἀποστόλων τε
καὶ εὐαγγελιστῶν χορὸν, ὧν ἕκαστος λεῖμμα κατ᾽ ἐκλο-
γὴν χάριτος γεγονὼς, καὶ διὰ τοῦτο ὁ καταλειφθεὶς ἐπὶ d
τῆς γῆς ὠνομασμένος, θρέψειν λέγεται δάμαλιν βοῶν
καὶ δύο πρόβατα, τρία καθ᾽ ἑκάστην ἐκκλησίαν τάγματα,
ἓν μὲν τὸ τῶν ἡγουμένων, δύο δὲ τὰ τῶν ὑποβεβηκότων,

[h] εὐπωροῦντος P. [i] κεκτημένου ἐχομένου] κεκτημένους ἔχεσθαι P.

Judaicæ gentis ornamentum post ipsius Emmanuel ortum abradendum, hoc est abolendum, canit. Præterea in ea die de qua dictum est, ipsius inquam Emmanuel, quæ est dies adventus Christi, *nutriet,* inquit, *homo juvencam boum, et duas oves, et erit ex eo quod plurimum faciet lac, butyrum et mel comedet, omnis qui relictus fuerit in terra.* In quibus verbis sane dixerit aliquis Judaici populi famem paupertatemque immensam significari, quippe qui neque triticeo naturalique cibo sit abundaturus, ex eo quod neque terram arabit, neque seminabit, neque metet, neque greges ovium neque boum armenta possessurus, sed habiturus duas oves et juvencam unam, quibus lac sibi ipsi suppeditet: aut aliter, figurate loquens, eum qui in terra relictus sit, significare dixerit ex Judæis qui in Salvatorem ac Dominum nostrum crediderint, apostolorum atque evangelistarum chorum, e quibus unusquisque, quum *secundum electionem gratiæ* Rom. 11, 5.
relictus sit, et ob id *relictus in terra* nominatus, juvencam boum et duas oves dicitur nutriturus, ternos videlicet per singulas ecclesias

τοῦ τῆς ἐκκλησίας τοῦ Χριστοῦ λαοῦ εἰς δύο τάγματα
διῃρημένου, εἴς τε τὸ τῶν πιστῶν καὶ τῶν μηδέπω τῆς
διὰ λουτροῦ [k] παλιγγενεσίας ἠξιωμένων, οἷς καί φησιν ὁ
θεῖος ἀπόστολος, γάλα ὑμᾶς ἐπότισα, οὐ βρῶμα· τοὺς
δὲ ἐν ἤδη τελειοτέρᾳ καθεστῶτας ἕξει δάμαλιν βοῶν εἰκό-
τως ἀποκαλεῖ, γεννήματα τελειοτέρων βοῶν τυγχάνον-
τας, οἷος αὐτὸς ἦν ὁ ἀπόστολος, περὶ ἑαυτοῦ καὶ τῶν
παραπλησίως αὐτῷ καμνόντων λέγων· μὴ τῶν [l] βεῶν
76 μέλει τῷ Θεῷ; ἢ δι' ἡμᾶς πάντως λέγει; Εἴη δὲ ἂν καὶ p. 324
πᾶν τὸ τάγμα τῶν τῆς ἐκκλησίας προεστώτων, ἀροῦν τε
καὶ γεωργεῖν τὰς τῶν ἀνθρώπων ψυχὰς ἐγκεχειρισμένων,
δάμαλις ὠνομασμένη βοῶν, γεννήματα τυγχάνουσα τῶν
ἀποστολικῶν τρόπων τε καὶ μαθημάτων, οἳ καὶ εἰς
τοσοῦτον ἀρετῆς ἐπιδώσειν λέγονται, ὡς ἐκ πολυγονίας
τοσοῦτον προβάλλεσθαι γόνιμον καὶ λογικὸν ταῖς εἰσ-
αγωγικαῖς διδασκαλίαις γάλα, ὡς καὶ ἑτέρους μυρίους
77 τρέφεσθαι ἐξ αὐτῶν. Τούτων δὲ πέρι τῶν καταλειφθέν-
των ἐπὶ τῆς γῆς γενησομένων, ἕτερόν τι συμβήσεσθαι b
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, δῆλον δὲ ὅτι ἐν τῷ χρόνῳ τῆς τοῦ

[k] παλινγγενεσίας S. [l] βωῶν P. ut vulg. S.

ordines, unum quidem eorum qui præsint, duos autem eorum qui subjecti sint, quum ecclesiæ Christi populus in duos ordines sit divisus, in eorum qui credunt, et eorum qui nondum ad lavacri regenerationem assumpti sunt, ad quos etiam divinus apostolus ait, *Lac vobis potum dedi non escam.* Eos vero qui jam tum in habitu perfectiore constiterint, *juvencam boum* merito appellat, quippe qui perfectiorum boum fœtus sint, cujusmodi ipse fuit apostolus, qui de seipso atque iis, qui simili modo ut ipse laborant, ita ait, *Nunquid de bubus cura est Deo?* an propter vos omnino dicit? Erit autem omnis quoque ordo eorum, qui ecclesiæ præsunt, quibusque arandi et colendi animas hominum cura mandata est, *juvencæ boum* nomine significatus, quippe qui apostolicorum rituum ac præceptorum fœtus existat, quique etiam in virtute usque adeo incrementum accepturus dicitur, ut ex fœtus multiplicitate tantum genitalis rationalisque lactis introductoriis doctrinis sit suffecturus, ut ex eo innumerabiles alii nutriendi sint. Porro quum hæc iis, qui in terra relicti fuerint, futura tum essent, aliud quiddam in die illa, tempore videlicet ad-

1 Cor. 3, 2.
1 Cor. 9, 9.

Ἐμμανουὴλ παρουσίας, προαναφωνεῖ· τί δὲ τοῦτο;
πᾶς τόπος, φησὶ, τοῦ ἐκ περιτομῆς λαοῦ, ἐφ' [m]οὗ ἦσαν
χίλιαι ἄμπελοι χιλίων σίκλων, εἰς χέρσον ἔσονται, καὶ εἰς
ἄκανθαν. Μετὰ γὰρ βέλους καὶ τοξεύματος εἰσελεύσονται
ἐκεῖ, (δῆλον δ' ὅτι οἱ πολέμιοι,) ὅτι χέρσος καὶ ἄκανθα
78 ἔσται πᾶσα ἡ γῆ. Καὶ θέα γε ὅσα ἐν τῇ ἡμέρᾳ τοῦ
Ἐμμανουὴλ, (λέγω δὲ ἐν τῷ τῆς ἀνατολῆς καιρῷ [n]τοῦ
λογικοῦ φωτὸς τῶν διὰ τοῦ Σωτῆρος ἡμῶν εἰς πάντας c
ἀνθρώπους ἐπιλάμψαντος,) περὶ τὸ Ἰουδαίων ἔθνος
ἔσεσθαι ὁ λόγος θεσπίζει· δυνάμεις τε ἀκαθάρτους καὶ
πολεμικὰς τὰς πάλαι ἐν τοῖς ἔθνεσιν ἐνεργούσας, ἔν τε
Αἰγύπτῳ καὶ τῇ χώρᾳ τῶν Ἀσσυρίων, [o]τοῦ Κυρίου
συρίσαντος, καὶ ὡσπερεὶ παρορμήσαντος καὶ παρακε-
λευσαμένου αὐταῖς, τῇ χώρᾳ φησὶν αὐτῶν ἐπελεύσεσθαι,
79 διὰ τὸ τοιούτων ἀξίαν γεγονέναι. Καὶ [p]ἀναπαύσεσθαι
τὰς εἰρημένας δυνάμεις φησὶν ἐν φάραγξι, καὶ ἐν τρώ-
γλαις πετρῶν, εἴς τε τὰ σπήλαια, καὶ εἰς πᾶσαν ῥαγάδα
αὐτῶν, κατὰ μὲν διάνοιαν, ἐν ταῖς ψυχαῖς αὐτῶν καὶ ἐν
ταῖς τοῦ σώματος αἰσθήσεσι τοῖς τε λογισμοῖς καὶ ταῖς d
διερρωγυίαις αὐτῶν διανοίαις, κατὰ δὲ τὴν πρόχειρον

[m] ὃν S. [n] τοῦ add. P. [o] ἃς τοῦ] ἃς om. P. [p] ἀναπαύσασθαι P.

ventus Emmanuel, eventurum prædicit. Quid autem hoc? *Omnis,* inquit, *locus Judaici populi, in quo erant mille vites pro mille siclis, in terram incultam erit, et in spinam. Nam cum sagitta et arcu ingredientur illuc* (constat vero hoc dici de hostibus) *quoniam terra inculta et spina erit omnis terra.* Et sane specta quam multa in die Emmanuel, (dico autem quo tempore rationale lumen est oriturum, quod per Salvatorem nostrum in omnes homines emicabit,) Judaicæ genti eventura oraculum canat. Immundas enim atque hostiles potestates, quæ quondam inter gentes efficaciam suam exercebant et in Ægypto, et in regione Assyriorum, Domino sibilante et quasi impellente atque adhortante eas, regionem ipsorum invasuras ait, propterea quod talibus digna evaserit, easdemque potestates *quieturas in convallibus, et foraminibus petrarum, et in speluncis, et in omni scissura ipsorum,* ad sensum quidem in animis ipsorum, et in ipsis corporis sensibus, et cogitationibus, et discissis ipsorum mentibus: ad verbum autem

λέξιν, καθ' ὅλης αὐτῶν τῆς χώρας, ὃ καὶ τίς οὐκ ἂν
ἀποθαυμάσειεν, ὀφθαλμοῖς ὁρῶν τοὺς πολεμίους αὐτῶν
πάντα τόπον τῆς Ἰουδαίας [q] κατειληφότας, καὶ τούς γε
ἀλλοφύλους καὶ εἰδωλολάτρας ἀνθρώπους ἐν πάσαις
αὐτῶν πόλεσί τε καὶ χώραις ἀναπεπαυμένους; Οὐ ταῦτα
δὲ ἄρα μόνα διαθήσειν φησὶν αὐτοὺς ὁ λόγος, ἀλλὰ
ξυρῷ τοῦ νενοημένου ἡμῖν βασιλέως Ἀσσυρίων τὴν
κεφαλὴν αὐτῶν καὶ τὰς τρίχας τῶν ποδῶν καὶ τὸν
πώγωνα, πάντα δηλαδὴ τὸν πάλαι περικείμενον αὐτοῖς
80 [r] κόσμον, ξυρήσειν. Κατὰ δὲ τὴν αὐτὴν ταύτην ἡμέραν
καὶ κατὰ τὸν αὐτὸν χρόνον ἀπειλεῖ ἐν ἐσχάτῃ πενίᾳ τοῦ
κατὰ Θεὸν πλούτου καταστήσεσθαι αὐτοὺς, ὡς μὴ ἄρ-
των λογικῶν εὐπορεῖν, μήτε στερεᾶς καὶ πνευματικῆς p. 325
τροφῆς, ἀγαπᾶν δὲ γάλακτι τρέφεσθαι τῷ νηπιώδει καὶ
εἰσαγωγικῷ λόγῳ. Ἔτι πρὸς τούτοις καὶ τὰς ἀμπέλους
81 αὐτῶν εἰς χέρσον ἔσεσθαι. Ἐπειδὴ γὰρ, ὡς ὁ αὐτὸς
προφήτης φησὶν, ἔμεινεν ὁ γεωργὸς ἅμα καὶ δεσπότης
αὐτῶν, τοῦ ποιῆσαι σταφυλὴν τὸν ἀμπελῶνα, ὁ δὲ ἐποίησεν
ἀκάνθας, καὶ οὐ δικαιοσύνην, ἀλλὰ κραυγήν· διὸ καὶ
ἀφαιρῶν τὸν φραγμὸν αὐτοῦ καὶ καθαιρῶν τὸν τοῖχον

q ἀπειληφότας ED. PARIS. Sic S. r κόσμου ED. PARIS. Sic S.

(quod quidem in promptu est) per totam ipsorum regionem, quod ipsum sane quis non admiretur, quum oculis cernat inimicos ipsorum omnem Judææ locum occupasse, et externos, simulachrorumque cultores homines, in cunctis ipsorum civitatibus et regionibus quievisse? Non igitur his solis eos esse afficiendos ait oraculum, sed etiam novacula ejus Assyriorum regis, quem nos intelligimus, et caput eorum, et pilos pedum, et barbam, omnem videlicet, quo ipsi quondam affecti erant, ornatum abradendum. Sub eandem vero diem hanc, et sub idem tempus ad extremam ipsos divitiarum Dei penuriam minatur esse redigendos, usque adeo ut et pane rationali, et solido, spiritualique cibo sint carituri, satisque habituri, si lacte, hoc est, puerili introductorioque sermone nutriantur. Ad hæc, vites ipsorum in terram incultam fore. Postquam enim (ut ipse propheta ait) agricola
Es. 5, 4. idem et eorum Dominus expectavit, *dum vinea uvam ferret, eaque protulit spinas,* et vociferationem quandam, non autem justitiam (quocirca etiam sepem ejus auferens, et parietem evertens, ad terram in-

εἰς χέρσον καταστήσειν τὸν ἀμπελῶνα μαρτύρεται, καὶ
τοῖς ἐχθροῖς παραδώσειν αὐτόν, οὓς μετὰ βέλους καὶ
τοξεύματος εἰσελεύσεσθαί φησιν ἐκεῖ τοὺς τὴν ἐξουσίαν b
εἰληφότας ὑπὸ τοῦ Θεοῦ, τοῦ παραδόντος αὐτοῖς οὐκ
ἀκρίτως, ἀλλ' εὖ μάλα ἐν δίκῃ, ὅτι δὴ χέρσος καὶ
82 ἄκανθα αὐτῶν γέγονε πᾶσα ἡ γῆ. Διὰ τοῦτο γοῦν
ἐπείπερ εἰς χέρσον καὶ ἄκανθαν αὐτοὶ ἑαυτοὺς κατέστη-
σαν, εἰσελεύσονται, φησὶν, ἐκεῖ μετὰ βέλους καὶ τοξεύμα-
τος, οἱ τὴν κατ' αὐτῶν ἐξουσίαν εἰληφότες. Μὴ θαύ-
μαζε δ' εἰ καὶ ταῦτα συνεσκιασμένως καὶ δι' αἰνιγμάτων
83 ἀποδέδοται. Λέλεκται γοῦν ἤδη πρότερον ἡ αἰτία τῆς
τοιαύτης οἰκονομίας τοῦ λόγου, βουληθέντος ἐπικρύψα-
σθαι τὸν ἔσχατον τοῦ Ἰουδαίων ἔθνους ὄλεθρον, ὡς ἂν c
φυλάττοιτο παρ' αὐτοῖς ἡ γραφὴ εἰς ἡμῶν τῶν ἐθνῶν
84 βελτίωσίν τε καὶ ὠφέλειαν. Εἰ γοῦν ἀναφανδὸν αὐτοῖς
μὲν ὄλεθρον τοῖς δὲ ἔθνεσιν ἀγαθὰ προεκήρυττον αἱ προ-
φητεῖαι, οὐδεὶς ἂν περὶ αὐτὰς ἐσπούδασε τῶν ἐκ περι-
τομῆς, ἀλλὰ ὡς αὐτοῖς ἐναντίας οὔσας καὶ ἐχθρὰς διέ-
φθειραν ἂν αὐτάς, καὶ οὐκέθ' ἡμῖν τοῖς ἐξ ἐθνῶν παρῆν
ταῖς τῶν προφητῶν περὶ τοῦ Σωτῆρος ἡμῶν καὶ περὶ

cultam vineam redacturum se affirmat, et eam inimicis traditurum, quos cum sagitta et arcu illuc ait ingressuros, ubi a Deo, qui eos non injuria sed jure optimo tradiderit, acceperint potestatem, eo quod terra inculta et spina omnis ipsorum terra facta sit, propterea, inquam, quod ad terram incultam et spinam ipsi seipsos redegerunt,) *ingredientur*, inquit, *illuc cum sagitta et arcu*, qui contra ipsos potestatem acceperint. Cæterum noli quæso mirari, si hæc quoque adumbrate et per figuras obscurissimas reddita sunt. Jam enim prius dispensationis hujusmodi causa dicta est, quod utique oraculum voluerit extremum Judaicæ gentis occultare interitum, ut apud eam scriptura ad nostrum ipsarum gentium profectum utilitatemque servaretur. Nam si ipsis quidem palam interitum gentibus autem bona prophetiæ pollicitæ essent ac prædixissent, nemo apud Judæos earum studiosus fuisset, sed eas tanquam ipsis contrarias atque inimicas delevissent, atque ita nobis, qui de gentibus profecti sumus, neutiquam licuisset prophetarum de Salvatore nostro ac de nobis ipsis testimoniis uti. Cæterum quum tam multa in die Emmanuel

85 ἡμῶν αὐτῶν μαρτυρίαις χρήσασθαι. Ἀλλὰ γὰρ τοσούτων ἐν τῇ τοῦ Ἐμμανουὴλ ἡμέρᾳ περὶ τὸ Ἰουδαίων ἔθνος γενησομένων κατὰ τὴν ἑτέραν ἑρμηνείαν, σπάνιός τις ἔσεσθαι λέγεται ὁ καταλειφθεὶς ἐξ αὐτῶν, περὶ οὗ φησὶν ὁ ἀπόστολος, λεῖμμα κατ' ἐκλογὴν χάριτος γέγονεν. Ὃς δὴ θρέψει δάμαλιν βοῶν, καὶ δύο πρόβατα, καὶ ἀπὸ τοῦ πλεῖστον ποιεῖν γάλα, βούτυρον καὶ μέλι φάγεται. Τοιοῦτος δὲ ἡμῖν ἀπεδείχθη κατὰ τὴν δευτέραν ἀπόδοσιν πᾶς ὁ ἀποστολικὸς τῶν μαθητῶν χορὸς τοῦ Σωτῆρος d

86 ἡμῶν Ἰησοῦ Χριστοῦ. Ὥσπερ δὲ ὁ καταλειφθεὶς οὗτος τοιοῦτος ἔσεσθαι προφητεύεται, οὕτως καὶ τῆς χώρας ἁπάσης τοῦ Ἰουδαίων ἔθνους τοῦ τε ἀμπελῶνος αὐτῶν εἰς χέρσον καὶ ἄκανθαν μεταβεβλημένου, καὶ διὰ ταῦτα τοῖς πολεμίοις παραδεδομένου, ἔμπαλιν ἐκ θατέρου μέρους πᾶν ὄρος ἀροτριώμενον ἀροτριαθήσεσθαι προφητεύεται. Ἡγοῦμαι δὲ τὴν τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ p. 326 Χριστοῦ ἐκκλησίαν οὕτως αἰνίττεσθαι, περὶ ἧς καὶ αὐτός φησιν, οὐ δύναται πόλις κρυβῆναι ἐπάνω ὄρους κειμένη. Τὸ γὰρ ἐπηρμένον μετέωρόν τε καὶ ὑψιπετὲς τοῦ τῆς ἐκκλησίας πολιτεύματος ὄρος ἡγοῦμαι διὰ τούτων ἀνη-

87 γορεῦσθαι. Τοῦτο δ' οὖν, φησὶ, τὸ ὄρος ἀροτριώμενον

Judaicæ genti secundum alteram interpretationem eventura essent, eorum qui ex ipsis relinquendi sint paucitas quædam futura dicitur, Rom. 11, 5. de qua ait apostolus, *Reliquiæ secundum electionem gratiæ factæ sunt:* ex hac autem paucitate qui fuerit, *Nutriet*, inquit, *juvencam boum, et duas oves, et ex eo quod plurimum faciet lac, butyrum et mel comedet.* Talis autem a nobis in secunda expositione omnis apostolicus discipulorum Salvatoris nostri Jesu Christi chorus demonstratus est: sed quemadmodum hic qui relictus sit, talis futurus ex prophetia declaratur, ita postquam universa Judaicæ gentis regio, et vinea ejusdem, in terram incultam et spinam commutata fuerit, et propterea hostibus tradita, rursus ex altera parte omnis mons qui aratur arandus esse ab eadem prophetia prædicitur. Arbitror autem Salvatoris nostri Matth. 5, 14. Jesu Christi ecclesiam eo modo significari, de qua ipse ait, *Non potest civitas abscondi supra montem posita:* quod enim in ecclesia publicis actionibus elatum et sublime et ad superna tendens sit, montem arbitror his verbis appellari: hunc igitur montem, qui aratur,

ἀροτριαθήσεται, ὡς μὴ ἐπελθεῖν ἐκεῖ φόβον, ἀλλὰ καὶ
εἰς τοσοῦτον αὐτὸ μεταβαλεῖσθαι ἀπὸ τῆς προτέρας
ἐρημίας καὶ χέρσου καὶ ἀκάνθης, ὡς ἐπιτήδειον κατα-
στῆναι εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοός.
88 Καὶ πάρεστί γε ἐπιλογίσασθαι, ὅπως ἡ τοῦ Χριστοῦ b
ἐκκλησία πάλαι οὖσα χέρσος καὶ ἄκανθα διὰ τῆς αὐτοῦ
χάριτος εἰς τοσοῦτον ἤλασε μεταβολῆς, ὥστε πόαν καὶ
βοτάνην εὔθετον τῆς λογικῆς καρποφορίας ἐπὶ τοσοῦτον
βλαστῆσαι, ὡς καὶ τοὺς προβατώδεις καὶ ἁπλουστέρους
ἀπολαύειν αὐτῆς δύνασθαι, τούς τε ἐν ἕξει τελειοτέρᾳ
προβεβηκότας ἀροῦν καὶ γεωργεῖν αὐτὴν, βόας προσ-
αγορευομένους, ὥσπερ οὖν τὸν θεῖον ἀπόστολον παιδεύ-
οντα παρεστήσαμεν ἐν τῷ φάναι, μὴ τῶν βοῶν μέλει τῷ
Θεῷ; ἢ δι᾽ [s]ὑμᾶς πάντως λέγει; δι᾽ [s]ὑμᾶς γὰρ ἐγράφη, c
ὅτι ὀφείλει ὁ ἀροτριῶν ἐπ᾽ ἐλπίδι ἀροτριᾶν, καὶ ὁ ἀλοῶν
89 ἐπ᾽ ἐλπίδι τοῦ μετέχειν. Οὕτως ἡ πάλαι ἔρημος καὶ
χέρσος μεταβέβληκε [t]μετὰ τὴν τοῦ Χριστοῦ παρουσίαν,
ὡς καὶ τοῖς οὕτως νενοημένοις βουσὶν εἰς τὴν κατάλλη-
λον γεωργίαν ἐπιτηδείως ἔχειν. Ἐπίστησον δὲ, τίνα
τρόπον ὑπὸ μίαν καὶ τὴν αὐτὴν διάνοιαν γένεσις ἐκ

[s] ἡμᾶς S. [t] κατὰ] μετὰ P.

aratum iri ait, ita quidem ut illuc terror accessurus non sit, quin potius usque adeo a priore solitudine et terra inculta et spina commutandum, ut idoneus futurus sit qui evadat *in pascua ovis et conculcationem bovis.* Et sane ratione colligere possumus quemadmodum Christi ecclesia, quæ olim erat terra inculta et spina, ad tantam commutationem per ipsius gratiam pervenerit, ut herbam rationalis fertilitatis et pabulum oportunum usque adeo protulerit, ut et ovibus similes et simpliciores ea frui possint, et qui ad habitum perfectiorem pervenerint, qui boves appellantur, eandem arare et colere, eo sane modo quo divinum apostolum docentem ostendimus, ubi ait: *Nunquid de bubus cura est Deo? An propter vos omnino dicit, propter vos enim scripta sunt, quoniam debet qui arat in spe arare, et qui triturat, in spe participare.* Ita quæ olim deserta incultaque erat terra, post Christi adventum commutata est, ut quos eo modo boves intelleximus, iis convenientis aptæque agricolationis usum idoneum præbeat. Attende vero quonam modo sub uno eodemque sensu ortus de virgine

1 Cor. 9, 9.

παρθένου προφητεύεται, καὶ κατὰ τὸ αὐτό φησιν ὁ λόγος τὴν μὲν πάλαι καρποφόρον γῆν τὸ πρὶν οὖσαν χιλίων σίκλων εἰς χέρσον ἔσεσθαι καὶ εἰς ἄκανθαν, πᾶσάν τε τὴν γῆν αὐτῶν διὰ τὸ γενέσθαι εἰς ἄκανθαν καὶ d
εἰς χέρσον παραδοθήσεσθαι τοῖς μετὰ βέλους καὶ τοξεύματος [u] εἰσελευσομένοις· τοὐναντίον δὲ πείσεσθαι πᾶν ὄρος· ἀπὸ γοῦν τῆς προτέρας χέρσου καὶ ἀκάνθης μεταβαλεῖσθαι εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοὸς, ὥστε αὐτὸ [x] ἀροτριώμενον ἀροτριαθήσεσθαι καὶ μὴ ἐπε-
90 λεύσεσθαι ἐκεῖ φόβον. Δι' ὧν σαφῶς ἡγοῦμαι σημαίνεσθαι τὴν τοῦ Σωτῆρος ἡμῶν ἐκ παρθένου γένεσιν, καὶ τὰ μετὰ ταύτην ὁμοῦ καὶ ἀθρόως Ἰουδαίοις τε καὶ τοῖς λοιποῖς ἔθνεσι συμβεβηκότα, τὴν γοῦν ἑκατέρων τῶν ταγμάτων εἰς τοὐναντίον μεταβολὴν [y] ἡ προφητεία παρίστησιν, τοῦ μὲν Ἰουδαίων ἔθνους τὴν ἀπὸ τῶν κρειττόνων ἐπὶ τὸ χεῖρον, τῆς δὲ ἐξ ἐθνῶν ἐκκλησίας τὴν ἀπὸ τῆς πάλαι ἐρημίας ἐπὶ τὴν κατὰ Θεὸν καρποφορίαν, ἅπερ καθ' ἕνα καὶ τὸν αὐτὸν καιρὸν τῆς τοῦ Ἐμμανουὴλ p. 327
ἐπιφανείας ἐπιτελεσθήσεσθαι προφητευθέντα, ταῖς προρρήσεσιν ἀκολούθως οὐκ ἄλλοτε ἢ μετὰ τὴν τοῦ Σωτῆ-

[u] εἰσελευσομένοις om. P. [x] ἀρωτριώμενον P. [y] ἡ προφητεία —ἔθνους add. P. τὴν μὲν tantum edd.

canitur, et pariter inquit oraculum, quæ olim fertilis terra et quæ prius mille siclorum erat, in terram incultam erit et in spinam, omnisque eorum terra, propterea quod futura sit in spinam et terram incultam, tradetur iis qui cum sagitta et arcu accedent. Contrarium vero patietur omnis mons: nam a priore inculta terra et spina mutabitur *in pascua ovis, et conculcationem bovis:* itaque ipse qui aratur arabitur, neque illuc terror adveniet. Quibus verbis plane arbitror significari Salvatoris nostri ortum de virgine, et quæ posthac simul atque acervatim et Judæis et reliquis gentibus eventura erant: siquidem utriusque ordinis mutationem in contrarium prophetia demonstrat, Judaicæ quidem gentis a meliore in pejus, collectæ autem de gentibus ecclesiæ, a priore sterilitate ac solitudine, in fertilitatem secundum Deum, quæ quidem dum sub unum et idem tempus quo Emmanuel adveniet absolvenda canuntur, oraculi veritatem eventus comprobavit. Non enim alias quam post Salvatoris

ρος ἡμῶν παρουσίαν τέλος εἰληφότα δείκνυται, διά τε
τῶν ἐμφανῶς εἰρημένων κατὰ Ἰουδαίους πραγμάτων, καὶ
91 διὰ τῆς ἐξ ἐθνῶν ἐκκλησίας. Εἰ μὲν γὰρ [a] μετὰ τὴν
παρουσίαν τοῦ Σωτῆρος ἡμῶν, αὐτοῦ δὴ Ἰησοῦ τοῦ
Χριστοῦ, μὴ [b] πέπαυτο βασιλευομένη ἡ τῶν Δαμασκη-
νῶν ἀρχὴ καὶ τῶν Ἰουδαίων, καὶ εἰ μὴ ἐν ὄψεσιν ἡμῖν
αὐτοῖς [c] νῦν θεωρεῖται καταλελειμμένη ὑπ᾽ αὐτῶν ἡ γῆ,
καὶ ὑπ᾽ ἐθνῶν ἀλλοφύλων καὶ εἰδωλολατρῶν κατοικου- b
μένη· καὶ πρὸς τούτοις εἰ μὴ γέγονεν εἰς χέρσον καὶ
ἄκανθαν πᾶσα ἡ πάλαι σεμνοτάτη αὐτοῦ δὴ τοῦ ἱεροῦ
αὐτῶν ἁγιάσματος ὥρα, καὶ εἰ μὴ εἰδωλολάτραι ἀκά-
θαρτοι ἄνδρες, οἵ τε πολέμιοι αὐτῶν [d] μετὰ βέλους καὶ
τοξεύματος ἐπελθόντες, ὑπ᾽ αὐτοῦ γε τοῦ Κυρίου παρορ-
μηθέντες ἐκ τῆς ἀλλοδαπῆς ἐληλύθασιν, ἀνεπαύσαντό τε
ἐν ταῖς χώραις αὐτῶν πάντα τόπον καὶ πάσας τὰς
πόλεις αὐτῶν ἰδιοποιησάμενοι· καὶ ἔμπαλιν, εἰ μὴ ἀπὸ c
χέρσου καὶ ἀκάνθης τῆς πρὶν ἀγεωργίας διὰ τῆς τοῦ
Σωτῆρος ἡμῶν διδασκαλίας [e] μεταβαλόντα πάντα τὰ εἰς
αὐτὸν πεπιστευκότα ἔθνη τὴν εὐσεβῆ καὶ κατὰ Θεὸν

[a] κατὰ] μετὰ P. [b] πέπαυται] πέπαυτο P. [c] νῦν] μὴ P.
[d] κατὰ] μετὰ P. [e] μεταβάλλοντα P.

nostri adventum finem accepisse demonstrantur, tum ex iis rebus quæ plane de Judæis dictæ sunt, tum ex ipsa quæ de gentibus collecta est ecclesia: nam si post adventum Salvatoris nostri, ipsius inquam Jesu Christi, regnum ac principatus apud Judæos et apud Damascenos esse non desiisset, et nisi ante oculos nostros nobis ipsis intueri liceret relictam ab illis terram, et ab externis ac simulachrorum cultricibus nationibus habitatam, præterea, si non in terram incultam et spinam omne quodcunque olim venerabilissimum sacri apud illos sanctuarii decus habebatur commutatum esset, et nisi cultores simulachrorum, impurissimi homines, illorumque hostes cum sagitta et arcu invadentes, et ab ipso Domino impulsi ab externis regionibus venissent, et in ipsorum terris quievissent, omnemque locum omnemque civitatem ipsorum occupassent: et rursus, nisi a terra inculta et spina et ab ea quæ prius erat colendi negligentia per Salvatoris nostri doctrinam commutatæ omnes, quæcunque in ipsum crediderunt, gentes religiosam et secundum Deum

λογικὴν ἀπείληφε καρποφορίαν· καὶ ἐπὶ τούτοις, εἰ μὴ ὀφθαλμοῖς τὸν Χριστὸν ἰδόντες οὐκ ἐπίστευσαν, καὶ διδάσκοντος ἀκούσαντες εἰ μὴ παρήκουσαν, καὶ εἰ μὴ τὰ λοιπὰ τῆς προφητείας ἐναργέστατα τέλους τυχόντα ἀπὸ τῶν χρόνων Ἰησοῦ τοῦ Σωτῆρος ἡμῶν δείκνυται, οὐκ ἂν
92 εἴη αὐτὸς ὁ προφητευόμενος. Εἰ δὲ καὶ τυφλῷ, [f] ὥς φασι, δῆλα τὰ τῶν λόγων ἀποτελέσματα, οὐκ ἄλλοτε ἢ ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας αὐτοῦ πεπληρωμένα, d
τί χρὴ λοιπὸν καὶ περὶ τῆς ἐκ παρθένου γενέσεως αὐτοῦ ἀμφιβόλως ἔχειν, οὐχὶ δὲ εὐγνώμονι λογισμῷ ἀπὸ τῶν εἰσέτι νῦν ὁρωμένων καὶ τὴν καταρχὴν τῶν πραγμάτων πιστοῦσθαι; Ὁρώμενα δὲ εἰσέτι νῦν τίνα ἂν εἴη, ἀλλ' ἢ ἡ Ἰουδαίων εἰς αὐτὸν ἀπιστία, ἐναργῶς κατὰ τὸν χρησμὸν πληρουμένη τὸν φάσκοντα, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε·
93 ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ ἡ πολιορκία τῆς Ἱερουσαλὴμ, καὶ τοῦ πάλαι αὐτῶν ἁγιάσματος ἡ παντελὴς ἐρήμωσις, τῶν τε ἀλλοφύλων ἐθνῶν ἐπὶ τῆς χώρας αὐτῶν κατοίκησις μετὰ κέντρων αὐτοὺς, τοῦτ' ἔστι μετὰ σκληρῶν ἐπιταγμάτων, καταδουλουμένων,

[f] ὥς om. P.

rationalem fertilitatem cultumque accepissent: ad hæc, nisi oculis Christum intuiti non credidissent, et nisi docentem audivissent auditumque respuissent, et nisi reliqua, quæ in eadem prophetia continentur, post tempora Jesu Salvatoris nostri exitum sortita esse ostenderentur, sane non ipse esset habendus, quem prophetæ intelligunt. Sed si cuivis vel cæco, ut aiunt, perspicua oraculorum eventa existunt, quæ quidem non alias quam post tempora adventus illius completa sunt: quid amplius opus est de illius ortu ex virgine dubitare, ac non potius benigna quadam ratiocinatione ex iis quæ adhuc cernuntur rerum quoque ipsarum initio fidem facere? Hæc vero ipsa quæ adhuc cernuntur, quæ tandem sunt, nisi Judæorum in illum incredulitas, (quæ planissime secundum ipsum oraculum completur,
Es. 6, 9. quod ait, *Auditu audietis et non intelligetis, et intuentes intuebimini, et non videbitis: crassum enim factum est cor populi hujus,*) et ipsius Hierusalem obsidio? et prisci illius sanctuarii extrema solitudo? et externarum gentium, quæ stimulis, hoc est asperioribus imperiis,

(τοῦτο γὰρ ἐδήλου τῶν μυιῶν καὶ [g]τῶν μελιττῶν τὰ p. 328
παραδείγματα,) καὶ ἐπὶ πᾶσιν ἡ τῶν ἐθνῶν ἀπὸ τῆς προτέρας ἐρημίας εἰς τὴν κατὰ Θεὸν γεωργίαν μετα-
94 βολή; Ταῦτα δὴ οὖν ὀφθαλμοῖς ὁρώμενα τίς οὐκ ἂν ἐκπλαγείη θαυμάσας; Τίς δὲ οὐ θείαν ὡς ἀληθῶς ὁμολογήσειεν ἂν τὴν πρόρρησιν, ἀκούων ἄνωθεν πρὸ χιλίων ὅλων ἐτῶν ἐν βίβλοις ἀποκείμενα ταῦτα καὶ μελετώμενα, οὐ μὴν ἄλλοτε εἰς τέλος ἀχθέντα ἢ μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν παρουσίαν; Εἰ δὴ οὖν θαυμάσιος ἡ πρόρρησις, b
καὶ ἔτι θαυμασιωτέρα καὶ ὑπὲρ πάντα λόγον ἡ τῆς προρρήσεως ἔκβασις, τί δεῖ [h]ἀπιστεῖν εἰ καὶ ἡ πρώτη τοῦ προφητευομένου πάροδος παράδοξον καὶ ὑπὲρ πᾶσαν ἀνθρώπου φύσιν τὴν τῆς γενέσεως καταβολὴν εἴληχεν, ὁπότε καὶ ἡ τῶν λοιπῶν θαυμάτων ἐναργὴς ὄψις οὐχ ἧττων οὖσα ἀπὸ τῆς γενέσεως αὐτοῦ βιάζεται καὶ τὴν τῶν ἄλλων τῶν κατ᾽ αὐτὸν πραχθέντων ἀποδέχεσθαι μαρτυρίαν; Ἀλλὰ γὰρ τούτοις ἑξῆς μετὰ τὸ εἰς βόσκημα προβάτου καὶ καταπάτημα βοὸς συνῆπται δευτέρα τίς c
πρόρρησις συγγενὴς τῇ προτεθειμένῃ, ἀρχομένη ἀπὸ τοῦ

[g] τῶν add. P. [h] ἀπιστεῖς P.

ipsos in servitutem redigunt, in ipsorum terra habitatio? (hoc enim significabant muscarum atque apum exempla) et denique ipsarum gentium a priore solitudine ad culturam secundum Deum commutatio? Hæc igitur quæ oculis cernuntur, quis non admiretur atque obtupescat? quis porro non vere divinum fateatur vaticinium? quum audiat ante totos mille annos apud majores hæc in libris ipsorum contineri et versari, quæ tamen non alias ad finem pervenerint, quam post Salvatoris nostri adventum? Quod si admirabilis est prædictio, itemque admirabilior et supra omnem rationem ipsius prædictionis eventus, quid amplius dubitare opus est, utrum primus ejus de quo prophetæ loquuntur accessus, admirabilem et supra omnem hominis naturam sui ortus constitutionem sortitus sit, quando reliquorum quoque miraculorum evidentia, quæ illius ortu haudquaquam minor est, cogit etiam aliorum, quæ circa illum gesta sunt, accipere testimonium? Cæterum, ordine deinceps his quæ dicta sunt post illud, *In pascua ovis, et conculcationem bovis,* adnexa est altera quædam prædictio cognata ejus quæ exposita est, quæ quidem ab eo loco

καὶ εἶπε Κύριος πρός με, λάβε σεαυτῷ τόμον, ἣν καὶ αὐτὴν ἐκθέμενοι, φέρε, διασκοπήσωμεν.

ἈΠῸ ΤΟΥ͂ ΑὐΤΟΥ͂. d

Ἐπὶ καινῆς γραφῆς, τῆς καινῆς δηλαδὴ διαθήκης, προφῆτις ἐξ ἁγίου Πνεύματος συλλήψεσθαι καὶ τέξεσθαι υἱὸν λέγεται, ὃς τῶν ἐχθρῶν καὶ πολεμίων κρατήσας ἀπιστηθήσεται μὲν ὑπὸ Ἰουδαίων, τοῖς δὲ ἔθνε-

95 Καὶ εἶπε Κύριος πρός με, Λάβε σεαυτῷ τόμον [i]καινοῦ μεγάλου, καὶ γράψον εἰς αὐτὸν γραφίδι ἀνθρώπου, τοῦ ὀξέως προνομὴν ποιῆσαι σκύλων· πάρεστι γάρ· καὶ μάρτυράς μοι ποίησον πιστοὺς ἀνθρώπους, [k]τὸν Οὐρίαν τὸν ἱερέα, καὶ Ζαχαρίαν υἱὸν Βαραχίου. Καὶ προσῆλθον πρὸς τὴν προφῆ- p. 329 τιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ ἔτεκεν υἱόν. Καὶ εἶπε Κύριός μοι, κάλεσον τὸ ὄνομα αὐτοῦ, ταχέως σκύλευσον, ὀξέως προνόμευσον. Διότι πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας ἔναντι βασιλέως Ἀσσυρίων.

96 Ἔχεται τῆς προτεταγμένης καὶ ἡ παροῦσα προφητεία. Ἡ γὰρ [l]ἐκεῖσε παρθένος, ἡ τὸν μεθ᾽ ἡμῶν Θεὸν τίκτειν λεγομένη, προφῆτις ἐπὶ τοῦ πάροντος ὠνόμασται. Ζητουμένου δὲ πόθεν ἄρα συλλήψεται ἀπειρόγαμος οὖσα, τοῦτο νῦν ὁ λόγος διδάσκει, καὶ προσῆλθον, b λέγων, πρὸς τὴν προφῆτιν, καὶ ἐν γαστρὶ ἔλαβε, καὶ

[i] καινὸν μέγαν] καινοῦ μεγάλου P. [k] τὸν οὐρίαν om. S. [l] ἐκεῖ] ἐκεῖσε P.

incipit, *et dixit Dominus ad me: Sume tibi librum*, quam etiam ipsam tempus jam est ut exponamus et contemplemur.

AB EODEM II.

Es. 8, 1. In nova scriptura novo scilicet testamento prophetissa ex Spiritu sancto conceptura et paritura filium dicitur, qui quum inimicos et hostes vicerit, non credetur quidem a Judæis, gentibus

Et dixit Dominus ad me: Accipe tibi ipsi librum novum grandem, et scribe in eo stilo hominis, ut celeriter direptionem facias spoliorum, adest enim, et testes mihi facito fideles homines, Uriam sacerdotem, et Zachariam filium Barachiæ. Et accessi ad prophetissam, et in utero accepit, et peperit filium, et dixit Dominus ad me, voca nomen ejus, accelera, spolia detrahere, cito prædare, quia antequam sciat puer vocare patrem aut matrem, accipiet potestatem Damasci, et spolia Samariæ coram rege Assyriorum. Continuatur cum superiore prophetia hæc: quæ enim illic virgo nobiscum Deum parere dicitur, prophetissa in præsenti nominata est. Sed quum quæstio oriretur, undenam esset conceptura quæ virum experta non esset, ipsum hoc de quo quæritur, nunc oraculum docet: *Et accessi*, inquit, *ad prophetissam, et in utero accepit, et peperit filium.* Est autem intelli-

97 ἔτεκεν υἱόν. Ἀκουστέον δὲ ταῦτα ὡς ἐξ ἁγίου Πνεύμα-
τος, ὑφ' οὗ θεοφορούμενος ὁ προφήτης ἐθέσπιζεν. Αὐτὸ
δὴ οὖν τὸ Πνεῦμα τὸ ἅγιον [m]προσεληλυθέναι ὁμολογεῖ
τῇ προφήτιδι· ὃ καὶ σαφῶς πεπλήρωται ἐπὶ τῆς τοῦ
Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσεως, ὅτε ἀπεστάλη
ἄγγελος Γαβριὴλ ὑπὸ τοῦ Θεοῦ εἰς πόλιν τῆς Γαλιλαίας,
ᾗ ὄνομα Ναζαρὲθ, πρὸς [n]παρθένον μεμνηστευμένην ἀνδρὶ, ᾧ
ὄνομα Ἰωσὴφ, ἐξ οἴκου καὶ πατριᾶς Δαβίδ. Ἧι καὶ εἶπε, c
Χαῖρε κεχαριτωμένη, ὁ Κύριος μετά σου, εὐλογημένη σὺ ἐν
98 γυναιξί. Καὶ πάλιν, Μὴ φοβοῦ· εὗρες γὰρ χάριν παρὰ
τῷ Θεῷ. Καὶ ἰδοὺ συλλήψῃ ἐν γαστρὶ καὶ τέξῃ υἱὸν, καὶ
καλέσεις τὸ ὄνομα αὐτοῦ Ἰησοῦν. Εἰπούσης τε τῆς Μα-
ρίας, Πῶς ἔσται τοῦτο, ἐπεὶ ἄνδρα οὐ γινώσκω; ἀπεκρί-
νατο, Πνεῦμα ἅγιον [o]ἐπελεύσεται ἐπί σε, καὶ δύναμις
ὑψίστου ἐπισκιάσει σοί. Διὸ καὶ τὸ γεννώμενον ἅγιον
99 κληθήσεται υἱὸς Θεοῦ. Καὶ ἐν μὲν τῇ πρὸ ταύτης προ-
φητείᾳ ἅμα τῇ γενέσει τοῦ Ἐμμανουὴλ, πρὶν ἢ γνῶναι d
τὸ παιδίον ἀγαθὸν ἢ κακὸν ἐλέγετο ἐγκαταλειφθήσεσθαι
τὴν γῆν ἀπὸ τῶν πολιορκούντων αὐτὴν δυεῖν βασιλέων,
ἑνὸς μὲν τοῦ τῆς Σαμαρείας, θατέρου δὲ τῆς τοῦ Δαμα-

συνέσται σωτήριος. Οἷά τε πείσεται τὸ Ἰουδαίων ἔθνος μετὰ τὴν εἰς αὐτὸν ἀπιστίαν, κατὰ τὸ αὐτὸ δηλοῦται.

[m] προεληλυθέναι] προσεληλυθέναι P. [n] παρθένου S. [o] ἀπελεύσεται] ἐπελεύσεται P. ut vulg. S. sed sine spiritu.

gendum de Spiritu sancto, a quo afflatus propheta divinabat. Ipse enim sanctus Spiritus se accessisse ad prophetissam fatetur, quod quidem ipsum plane completum est in Salvatoris nostri Jesu Christi ortu, quo tempore [Luc. 1, 26.] *missus est angelus Gabriel a Deo in civitatem Galilææ, cui nomen Nazareth, ad virginem desponsatam viro, cui nomen Joseph, de domo et familia David,* ad quam dixit: *Ave gratia plena, Dominus tecum, benedicta tu in mulieribus.* Et rursus, *Ne timeas, invenisti enim gratiam apud Deum, et ecce concipies in utero et paries filium, et vocabis nomen ejus Jesum.* Et quum dixisset Maria, *Quomodo erit istud, quoniam virum non cognosco? respondit: Spiritus sanctus superveniet in te, et virtus altissimi obumbrabit tibi. Ideoque quod gignitur, sanctum vocabitur, filius Dei.* Et in superiore quidem prophetia in ortu ipsius Emmanuel, priusquam sciret puer bonum aut malum, dicebatur, relinquendam esse terram ab obsidentibus eam duobus regibus, uno quidem Samariæ, altero autem Damasci:

autem erit salutaris. Qualia etiam patietur Judaica natio post incredulitatem in eum, per idem declaratur.

σκοῦ· ἐπὶ δὲ τῆς παρούσης, πρὶν ἢ γνῶναι τὸ παιδίον καλεῖν πατέρα ἢ μητέρα λήψεται δύναμιν Δαμασκοῦ, καὶ τὰ σκῦλα Σαμαρείας· ὧν καὶ πρόσθεν καταλυθήσεσθαι τοὺς βασιλέας ἐπὶ τῇ γενέσει τοῦ Ἐμμανουὴλ
100 ἐθέσπιζεν. Αἰσθητῶς μὲν οὖν [p]ἐν ἡμέραις Ἄχαζ βασιλέως Ἰούδα, καὶ κατ' αὐτὸν Ἡσαΐαν τὸν προφήτην, δύο βασιλεῖς ἐκ συνθήκης τοὺς ὑπὸ τοῖς διαδόχοις Δαβὶδ βασιλευομένους ἐπολιόρκουν, ὡς ἤδη πρότερον δεδήλωται· ὁ μὲν ἐπὶ τῆς Δαμασκοῦ τῶν εἰδωλολατρῶν ἐθνῶν βασιλεὺς, ὁ δὲ τοῦ πλήθους τῶν Ἰουδαίων, ἐν τῇ καλουμένῃ Σαμαρείᾳ πόλει τῆς Παλαιστίνης, ἣν Σεβαστὴν οἱ καθ' ἡμᾶς ὀνομάζουσι· περὶ ὧν ὁ Θεὸς διὰ τοῦ προφή- p. 330
του τῷ Ἄχαζ εἶπε, Μὴ φοβοῦ, μὴ δὲ ἡ ψυχή σου ἀσθενείτω ἀπὸ τῶν δύο ξύλων, τῶν δαλῶν τῶν καπνιζομένων
101 τούτων. Καὶ τὴν ἀπώλειάν γε τῶν ἀνδρῶν αὐτίκα μάλα καὶ οὐκ εἰς [q]μακρὸν ἔσεσθαι εἰπὼν, ἑξῆς προφητεύει ὡς ἐπὶ τῇ τοῦ μεθ' ἡμῶν ἐσομένου Θεοῦ γενέσει πάμπαν ἀμφοτέρων σβεσθήσεται καὶ καταλυθήσεται ἡ
102 βασιλεία. Δείκνυμεν δὲ ἀπὸ τῆς ἱστορίας, ὡς μέχρι τῶν χρόνων τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ

[p] ἡμέρᾳ] ἡμέραις P. ἡμέραι S. [q] μακρὰν] μακρὸν P.

in præsenti vero, priusquam sciat vocare patrem aut matrem, puerum accepturum potestatem Damasci, et spolia Samariæ: quarum prius abolendos esse reges in ortu ipsius Emmanuel cecinit. Et ad verbum quidem in diebus Achaz regis Juda, et ipsius prophetæ Esaiæ, duo reges ex composito, eos qui successoribus David parebant, obsederunt, sicut etiam prius ostensum est, alter quidem Damasci gentium simulachra adorantium rex, alter vero Judaicæ multitudinis in ea Palestinæ civitate quæ tunc quidem vocabatur Samaria, nunc autem a nostris Sebaste nominatur: de quibus Deus per pro-
Es. 7, 4. phetam ad Achaz dixit, *Ne timeas, neque anima tua langueat a duobus lignis, a torribus his fumigantibus.* Et quum interitum virorum continuo neque multo post futurum dixisset, deinceps canit quemadmodum in nobiscum futuri Dei ortu, penitus amborum extinguetur et dissolvetur regnum. Ostendimus autem ab historia quemadmodum usque ad tempora adventus Salvatoris nostri Jesu Christi,

παρουσίας διαμεμένηκεν ἥ τε τῶν Ἰουδαίων καὶ Δαμασκηνῶν βασιλεία, μετὰ δὲ τὴν εἰς [r]πάντας ἀνθρώπους b
ἐπιφάνειαν αὐτοῦ ἀκολούθως τῇ προρρήσει διαλελοίπασι, τῆς Ῥωμαίων μοναρχίας ἐπικρατησάσης σὺν τῷ τοῦ
103 Σωτῆρος ἡμῶν κηρύγματι. Καὶ ταῦτά γε πρὸς λέξιν θεσπίσας ὁ λόγος μετέβαινεν ἐπὶ τὴν διάνοιαν καὶ τὴν καθόλου πνευματικωτέραν ἐν θεωρίαις ἀπόδοσιν, ὑποστησάμενός τε δύο στίφη ἀοράτων ἐχθρῶν καὶ πολεμίων δαιμόνων πονηρῶν, τὸ πάντων ἀνθρώπων γένος διαφόρως πολεμούντων, ἓν μὲν τῶν τὰς ἐν ἀνθρώποις ἐνεργούντων ἀεὶ καὶ πάντοτε [s]εἰδωλολατρείας καὶ τὰς ἐν δόγμασι ψευδοδοξίας, θάτερον δὲ τῶν ἐν ἤθεσι ψυχῶν c
Καὶ ἐπορεύοντο πάντες ἀπογράφεσθαι, ἕκαστος εἰς τὴν ἑαυ-
τοῦ πόλιν. Ἀνέβη δὲ καὶ Ἰωσὴφ ἀπὸ τῆς Γαλιλαίας, ἐκ
πόλεως Ναζαρὲθ εἰς τὴν Ἰουδαίαν, εἰς πόλιν Δαβὶδ, ἥτις
καλεῖται Βηθλεὲμ, διὰ τὸ εἶναι αὐτὸν ἐξ οἴκου καὶ πατριᾶς
Δαβὶδ, ἀπογράψασθαι σὺν [n] Μαριὰμ τῇ μεμνηστευμένῃ
αὐτῷ [[o] γυναικὶ] οὔσῃ ἐγκύῳ. Ἐγένετο δὲ ἐν τῷ αὐτοὺς εἶναι p. 342
ἐκεῖ, ἐπλήσθησαν αἱ ἡμέραι τοῦ τεκεῖν αὐτήν. Καὶ ἔτεκε
6 τὸν υἱὸν αὐτῆς τὸν πρωτότοκον, καὶ ἐσπαργάνωσεν αὐτὸν,
καὶ [p] ἀνέκλινεν αὐτὸν ἐν [q] φάτνῃ, διότι οὐκ ἦν αὐτοῖς
τόπος ἐν τῷ καταλύματι. Καὶ ποιμένες ἦσαν ἐν τῇ χώρᾳ
τῇ αὐτῇ ἀγραυλοῦντες, καὶ φυλάσσοντες φυλακὰς τῆς
νυκτὸς ἐπὶ τὴν ποίμνην αὐτῶν· καὶ ἄγγελος Κυρίου ἐπέστη
αὐτοῖς, καὶ δόξα Θεοῦ περιέλαμψεν αὐτοὺς, καὶ ἐφοβή-
7 θησαν φόβον μέγαν. Καὶ εἶπεν αὐτοῖς ὁ ἄγγελος, μὴ b
φοβεῖσθε· ἰδοὺ γὰρ εὐαγγελίζομαι ὑμῖν χαρὰν μεγάλην,
ἥτις ἔσται παντὶ τῷ λαῷ· ὅτι ἐτέχθη ὑμῖν σήμερον Σωτὴρ,
ὅς ἐστι Χριστὸς Κύριος, ἐν πόλει Δαβίδ. Καὶ τοῦτο ὑμῖν
τὸ σημεῖον· εὑρήσετε βρέφος ἐσπαργανωμένον καὶ κείμενον
8 ἐν φάτνῃ. Καὶ ἐξαίφνης ἐγένετο σὺν τῷ ἀγγέλῳ πλῆθος

[n] μαρία S. [o] γυναικὶ om. P.S. [p] ἀνέκλειναν S. [q] τῇ φάτνῃ] τῇ om. P.S.

ibant omnes, ut profiterentur, singuli in suam civitatem. Ascendit autem et Joseph a Galilæa de civitate Nazareth in Judæam, in civitatem David, quæ vocatur Bethleem, eo quod esset de domo et familia David, ut profiteretur cum Maria desponsata sibi uxore prægnante. Factum est autem, quum essent ibi, impleti sunt dies ut pareret, et peperit filium suum primogenitum, et pannis eum involvit, et reclinavit eum in præsepio, quia non erat eis locus in diversorio. Et pastores erant in regione eadem vigilantes, et custodientes vigilias noctis super gregem suum : et angelus Domini stetit super eos, et gloria Dei circumfulsit illos, et timuerunt timore magno. Et dixit illis angelus : Nolite timere, ecce enim evangelizo vobis gaudium magnum, quod erit omni populo, quoniam natus est vobis hodie Salvator, qui est Christus Dominus in civitate David. Et hoc vobis signum : invenietis infantem pannis involutum, et positum in præsepio. Et subito facta est cum angelo multitudo militiæ cælestis laudantium Deum et dicentium :

στρατιᾶς οὐρανίου αἰνούντων τὸν Θεὸν, καὶ λεγόντων, Δόξα
ἐν ὑψίστοις Θεῷ, καὶ ἐπὶ γῆς εἰρήνη, ἐν ἀνθρώποις εὐδοκία.
Καὶ ἐγένετο, ὡς ἀπῆλθον ἀπ' αὐτῶν εἰς τὸν οὐρανὸν οἱ
ἄγγελοι, οἱ ποιμένες εἶπον πρὸς ἀλλήλους, διέλθωμεν δὴ c
ἕως Βηθλεὲμ, καὶ ἴδωμεν τὸ ῥῆμα τοῦτο τὸ γενόμενον, ὃ
9 ὁ Κύριος ἐγνώρισεν ἡμῖν. Καὶ ἦλθον σπεύσαντες, καὶ εὗρον
τήν [r]Μαριὰμ καὶ τὸν Ἰωσὴφ, καὶ τὸ βρέφος κείμενον ἐν
τῇ φάτνῃ. Ἰδόντες δὲ ἐγνώρισαν περὶ τοῦ ῥήματος τοῦ
λαληθέντος αὐτοῖς περὶ τοῦ παιδίου τούτου. Καὶ πάντες
οἱ ἀκούσαντες ἐθαύμασαν περὶ τῶν λαληθέντων ὑπὸ τῶν
10 ποιμένων πρὸς αὐτούς. Ταῦτα μὲν ὁ Λουκᾶς. Καὶ ὁ
Ματθαῖος δὲ, τὰ περὶ τὴν γένεσιν τοῦ Σωτῆρος ἡμῶν d
ἱστορῶν, τοῦτον γράφει τὸν τρόπον· Τοῦ δὲ Ἰησοῦ γεν-
νηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας ἐν ἡμέραις Ἡρῴδου τοῦ
βασιλέως, ἰδοὺ μάγοι παρεγένοντο ἀπὸ ἀνατολῶν εἰς Ἱε-
ρουσαλὴμ, λέγοντες, ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν
Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ,
καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ἀκούσας δὲ ὁ βασιλεὺς
Ἡρῴδης ἐταράχθη, καὶ πᾶσα ἡ Ἱεροσόλυμα μετ' αὐτοῦ.
11 Καὶ συναγαγὼν πάντας τοὺς ἀρχιερεῖς καὶ γραμματεῖς
τοῦ λαοῦ, ἐπυνθάνετο παρ' αὐτῶν, ποῦ ὁ Χριστὸς γεννᾶται.

[r] μαρίαν S.

Gloria in altissimis Deo, et in terra pax, in hominibus bona voluntas. Et factum est, ut discesserunt ab iis in cœlum angeli, pastores dixerunt ad se invicem, transeamus usque Bethleem, et videamus hoc verbum quod factum est, quod Dominus ostendit nobis : et venerunt festinantes, et invenerunt Mariam et Joseph, et infantem positum in præsepio. Videntes autem cognoverunt de verbo, quod dictum erat illis de puero hoc : et omnes qui audierunt mirati sunt de iis quæ dicta erant a pastoribus ad ipsos. Hæc quidem Lucas. Matthæus autem, ubi ea quæ ad ortum Salvatoris nostri exponit, scribit in hunc modum : *Quum autem natus esset Jesus in Bethleem Judææ in diebus Herodis regis, ecce magi ab oriente venerunt in Hierusalem, dicentes, ubi est qui natus est rex Judæorum ? vidimus enim stellam ejus in oriente, et venimus ut adoremus eum. Audiens autem Herodes rex turbatus est, et omnis Hierosolyma cum illo : et congregans omnes principes sacerdotum et scribas populi, sciscitabatur ab eis ubi Christus nasceretur. At illi*

Matth. 2, 1.

Οἱ δὲ εἶπον αὐτῷ, ἐν Βηθλεὲμ τῆς Ἰουδαίας. Οὕτως γὰρ
γέγραπται διὰ τοῦ προφήτου, Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ
Ἐφραθὰ, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα.
Ἐκ σοῦ γὰρ ἐξελεύσεται ἡγούμενος, ὅστις ποιμανεῖ τὸν
λαόν μου τὸν Ἰσραήλ. Τότε Ἡρώδης λάθρα καλέσας τοὺς
μάγους, ἠκρίβωσε παρ᾽ αὐτῶν τὸν χρόνον τοῦ φαινομένου
12 ἀστέρος. Καὶ πέμψας αὐτοὺς εἰς Βηθλεὲμ, εἶπε, Πορευ- p. 343
θέντες ἐξετάσατε ἀκριβῶς περὶ τοῦ παιδίου. Ἐπὰν δὲ
εὕρητε, ἀναγγείλατέ μοι, ὅπως κἀγὼ ἐλθὼν προσκυνήσω
αὐτῷ. Οἱ δὲ ἀκούσαντες τοῦ βασιλέως ἐπορεύθησαν. Καὶ
ἰδοὺ ὁ ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως
ἐλθὼν ἔστη ἐπάνω οὗ ἦν τὸ παιδίον. Ἰδόντες δὲ τὸν ἀστέρα
13 [s]ἐχάρησαν χαρὰν μεγάλην σφόδρα. Καὶ ἐλθόντες εἰς τὴν
οἰκίαν εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ
πεσόντες προσεκύνησαν αὐτῷ. Καὶ ἀνοίξαντες τοὺς θησαυ-
ροὺς αὐτῶν, προσήνεγκαν αὐτῷ δῶρα, χρυσὸν, καὶ λίβανον,
καὶ σμύρναν. Καὶ χρηματισθέντες κατ᾽ ὄναρ μὴ ἀνα- b
κάμψαι πρὸς Ἡρώδην, δι᾽ ἄλλης ὁδοῦ ἀνεχώρησαν εἰς τὴν
14 χώραν αὐτῶν. Ὅλα δὲ ταῦτα ἐξεθέμην εἰς παράστασιν
τῶν πεπραγμένων ἐπὶ τῇ ἐν Βηθλεὲμ γενέσει τοῦ Σω-

[s] ἐχάρισαν S.

dixerunt ei, in Bethleem Judææ. Sic enim scriptum est per prophetam : Et tu Bethleem domus Ephrata, nequaqua mminima es in principibus Juda. Ex te enim exibit dux, qui pascet populum meum Israel. Tunc Herodes clam vocatis magis diligenter didicit ab eis tempus stellæ quæ apparuit eis, et mittens eos in Bethleem, dixit : Ite et interrogate diligenter de puero, et quum inveneritis, renuntiate mihi, ut et ego veniens adorem eum. Qui quum audiissent regem, abierunt, et ecce stella, quam viderant in oriente, antecedebat eos, donec veniens staret supra ubi erat puer. Videntes autem stellam gavisi sunt gaudio maguo valde, et intrantes domum viderunt puerum cum Maria matre ejus, et procidentes adoraverunt eum, et apertis thesauris suis, obtulerunt ei munera, aurum et thus et myrrham : et responso accepto in somnis ne redirent ad Herodem, per aliam viam reversi sunt in regionem suam. Hæc autem universa exposui, ut demonstrarem ea quæ in ortu Salvatoris nostri in Bethleem gesta sunt certissima præbere argumenta,

τῆρος ἡμῶν, ἐναργῆ τεκμήρια παρέχοντα αὐτὸν εἶναι
15 τὸν ὑπὸ τῆς προφητείας δηλούμενον. Καὶ εἰς δεῦρο δὲ
οἱ τὸν τόπον οἰκοῦντες, ὡς ἐκ πατέρων εἰς αὐτοὺς κατ-
ελθούσης [t]παραδόσεως, τοῖς τῶν τόπων ἱστορίας χάριν
εἰς τὴν Βηθλεὲμ ἀφικνουμένοις [u]μαρτυροῦσι τῷ λόγῳ
πιστούμενοι τὴν ἀλήθειαν διὰ τῆς τοῦ ἄντρου δείξεως, c
ἐν ᾧ τεκοῦσα ἡ παρθένος κατατέθειται τὸ βρέφος, ἐφ'
οἷς ἡ προφητεία φησὶ, Διὰ τοῦτο δώσει αὐτοὺς ἕως καιροῦ
τικτούσης. Τέξεται, καὶ οἱ ἐπίλοιποι τῶν ἀδελφῶν αὐτῶν
16 ἐπιστρέψουσιν. [x]Ἀκολούθως δὲ κἀνταῦθα τίκτουσαν
[y]δηλοῖ τὴν ἐν ταῖς πρόσθεν προφητείαις παρθένον ὠνο-
μασμένην, καὶ προφῆτιδα τὴν τὸν Ἐμμανουὴλ καὶ τὸν
τῆς μεγάλης βουλῆς ἄγγελον ἀποτεξομένην. Ἕως γὰρ
τῶν ταύτης καιρῶν καὶ τοῦ ἐξ αὐτῆς ἀποτεχθέντος καὶ
τὰ τοῦ προτέρου λαοῦ συνειστήκει, δοθείσης αὐτοῖς προ-
θεσμίας ἕως καιροῦ τικτούσης, τοῦτ' ἔστιν, ἕως τῆς παρα- d
δόξου γενέσεως τοῦ ἐκ τῆς παρθένου τεχθέντος, μεθ' ὃν
ἤρθη μὲν αὐτῶν ἡ βασιλεία, οἱ δὲ ἐπίλοιποι τῶν ἀδελ-
φῶν αὐτῶν, οὗτοι ἂν εἶεν οἱ εἰς τὸν Χριστὸν τοῦ Θεοῦ

[t] παραδώσεως S. [u] μαρτυροῦσι, τῶν λόγων] μαρτυροῦσι τῷ λόγῳ Casaubonus Exerc. in Baron. II. 1. p. 163. qui mox ἄντρου pro ἀγροῦ. coll. Vit. Constant. III. 26. 41. 43. Or. de Laud. Constant. p. 741, 33. [x] ἀκολούθων S. [y] δηλοῖς S.

illum esse de quo loquitur prophetia. Atque hodie quoque, qui locum illum incolunt, tanquam a patribus ipsorum accepta memoria, iis, qui visendi loci gratia Bethleem petere consueverunt, testimonium suum afferunt, veritati fidem facientes, agrumque demonstrantes, ubi virgo enixa infantem deposuit : qua de ipsa re prophetia sic ait, *Idcirco dabit eos usque ad tempus parientis : pariet, et reliqui fratrum ipsorum convertentur.* Consentanee autem hic quoque parientem intelligit eam, quæ in superioribus oraculis virgo nominata est, et prophetica mulier, quæ ipsum Emmanuel et magni consilii angelum erat paritura. Nam usque ad hujusce tempora ejusque qui de ipsa erat oriturus, quæ ad priorem populum pertinent, steterunt, quippe quum eis præscriptio temporis data esset *usque ad tempus parientis,* hoc est, usque ad mirabilem ortum ejus, qui de virgine nasceretur : post quem sublatum quidem est ipsorum regnum, qui vero reliqui fratrum ipsorum dicuntur, ii sunt accipiendi, qui in

πεπιστευκότες ἀπόστολοι καὶ μαθηταὶ καὶ εὐαγγελισταὶ
τοῦ Σωτῆρος ἡμῶν, οὓς ἐπιστρέψαντας αὐτὸς ὁ Κύριος
[z]ποιμαίνειν λέγεται, οὐ καθὼς τὸ πρὶν δι' ἀγγέλων ἢ
διὰ θεραπόντων ἀνθρώπων, ἀλλ' αὐτὸς δι' ἑαυτοῦ, ὥστε
διὰ τοῦτο μεγαλυνθῆναι αὐτοὺς ἕως ἄκρων τῆς γῆς.
Ἐμεγαλύνθησαν γὰρ ὅτε εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ
φθόγγος αὐτῶν, καὶ εἰς τὰ πέρατα τῆς οἰκουμένης τὰ
17 ῥήματ' αὐτῶν. Πρόδηλον δὲ καὶ ὁποῖον μέγα ποίμνιον
καθ' ὅλης τῆς γῆς ἐκ λογικῶν καὶ ἀνθρωπείων προβά-
των τῷ Κυρίῳ διὰ τῶν ἀποστόλων αὐτοῦ συνέστη· ὃ p. 344
καὶ αὐτὸς ὁ Κύριος δι' ἑαυτοῦ, ποιμὴν ὁμοῦ καὶ Κύριος
ὢν τῆς ποίμνης, ἐπόψεσθαι καὶ [zz]ποιμαίνειν ἐν ἰσχύϊ
λέγεται, ὥστε ἐν χειρὶ κραταιᾷ καὶ ἐν βραχίονι ὑψηλῷ
πρὸς τοῦ δεσπότου καὶ ποιμένος φυλαττόμενα τὰ πρό-
βατα μηδέν τι παθεῖν δεινὸν πρὸς τῶν ἐφεδρευόντων
[a]αὐτοῖς ἀγρίων καὶ ἀπηνῶν θηρίων.

18 Καὶ τὰ μὲν περὶ τῆς ἐν Βηθλεέμ, καὶ τῆς ἀπὸ ταύτης
προόδου τοῦ προκηρυττομένου Θεοῦ, τοῦτον [b]ἔχει τὸν b
τρόπον. Τὴν δὲ ἐξ οὐρανῶν εἰς ἀνθρώπους ἐπιδημίαν

[z] ποιμανεῖν] ποιμαίνειν P. Dedi mox ἄκρων ut infra p. 344 c. 13. pro ἄκρου. [zz] ποιμανεῖν] ποιμένειν P.S. [a] αὐταῖς P. [b] ἔχειν P.S.

Christum Dei crediderunt, apostoli et discipuli et evangelistæ Salvatoris nostri: quos conversos ipse Dominus pascere dicitur, non sicut prius per angelos aut per administros homines, sed ipse per seipsum, usque adeo ut propter hoc magnificari eos contigerit usque ad extremum terræ. Magnificati enim sunt, quo tempore *in omnem terram exivit sonus eorum, et in fines orbis terræ verba eorum.* Constat vero etiam illud, quam magnus grex per universam terram ex rationalibus humanisque ovibus ipsi Domino per apostolos suos collectus sit. Quem sane gregem ipse Dominus per seipsum, qui ejus pastor simul et Dominus est, visurus pasturusque in robore dicitur, adeo quidem, ut in manu forti et brachio excelso a Domino et pastore conservatæ oves nihil mali patiantur ab insidiantibus asperis et immitibus feris.

Et ea quidem quæ ad ortum in Bethleem, quæque ad progressum ex eo pertinent, ejus Dei quem prophetæ nunciabant, in hunc modum se habent. Adventum autem ipsius Domini et pastoris de cœlo ad

αὐτοῦ τοῦ Κυρίου καὶ ποιμένος ἤδη καὶ πρότερον ἐξ
αὐτοῦ [c]τοῦ μετὰ χεῖρας προφήτου παρατέθειμαι, δι' ὧν
ἔλεγεν, Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ
πάντες οἱ ἐν αὐτῇ, καὶ ἔσται Κύριος ὑμῖν εἰς μαρτύριον,
Κύριος ἐξ οἴκου ἁγίου αὐτοῦ. Διότι ἰδοὺ Κύριος Κύριος
19 ἐκπορεύεται ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ
τὰ ἑξῆς· οἷς ἐπιλέγων ἔφασκε, Δι' ἀσέβειαν Ἰακὼβ
πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ. Σαφὲς δὲ
καὶ ἀπὸ τῶν ἑξῆς τοῦ αὐτοῦ προφήτου, ὅτι μὴ μόνον c
διὰ τὰς ἀσεβείας τοῦ Ἰουδαίων ἔθνους τὴν ἐξ οὐρανῶν
ὁ Κύριος πεποίητο κάθοδον, ἀλλὰ καὶ διὰ τὴν σωτηρίαν
καὶ κλῆσιν τῶν ἐθνῶν ἁπάντων. Ἐπιλέγει δ' οὖν ἑξῆς·
Καὶ ἔσται ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου,
καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ πολλοὶ, καὶ πορεύσονται
ἔθνη πολλὰ, καὶ ἐροῦσι, δεῦτε, ἀναβῶμεν εἰς τὸ ὄρος Κυ-
20 ρίου. Διὸ καὶ μετὰ ταῦτα τὸν πρὸ αἰώνων ἀπὸ τῆς
Βηθλεὲμ ἐξελεύσεσθαι ἀνακηρύξας, οὐκέτι τοῦ Ἰσραὴλ
μόνου, ἀλλὰ ἀθρόως πάντων ἀνθρώπων ἕως καὶ τῶν
ἄκρων τῆς γῆς ἄρξειν αὐτόν φησι· λέγει δ' οὖν, Καὶ
στήσεται, καὶ ὄψεται, καὶ ποιμανεῖ τὸ ποίμνιον αὐτοῦ ἐν d

[c] τοῦ om. S.

homines jampridem ex eodem propheta, qui nunc in manibns est, proposui, ubi sic aiebat: *Audite populi omnes, et attendat terra, et omnes qui sunt in ea, et erit Dominus vobis in testimonium: Dominus ex domo sancta sua, quia ecce Dominus Dominus egredietur de loco suo, et descendet,* et cætera, quibus adjungit, *Propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel.* Ab iis autem quæ sequuntur apud eundem prophetam etiam illud planum est, quod non solum propter impietates Judaicæ gentis Dominus de cœlo descendit, sed etiam propter salutem et vocationem gentium cunctarum. Adjungit igitur deinceps: *Et erit in novissimis diebus manifestus mons Domini, et festinabunt ad ipsum populi multi, et ibunt gentes multæ, et dicent: Venite, ascendamus in montem Domini.* Quare posthac ubi eum qui est ante sæcula de Bethleem egressurum nunciavit, non soli Israel amplius, sed confertim omnibus gentibus usque ad extrema terræ illum imperaturum affirmat. Dicit igitur: *Et stabit, et videbit, et pascet gregem suum in fortitudine Dominus, et in*

Mic. 1, 2.

ἰσχύϊ Κύριος, καὶ ἐν τῇ δόξῃ τοῦ ὀνόματος Κυρίου Θεοῦ
αὐτῶν ὑπάρξουσι· διότι νῦν μεγαλυνθήσονται ἕως ἄκρων τῆς
21 γῆς, καὶ ἔσται αὕτη εἰρήνη. Τίνι δὲ ἔσται αὕτη εἰρήνη
ἀλλ' ἢ τῇ γῇ, ἐν ᾗ μεγαλυνθήσονται τὰ ποίμνια τοῦ
Κυρίου; Καὶ τοῦτο δὲ ὁποίου τέλους ἔτυχε μετὰ [d]τὴν
τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ παρουσίαν παντί τῳ
22 πρόδηλον. Πολλῆς γὰρ οὔσης πρὸ τούτου πολυαρχίας,
καὶ τῶν ἐθνῶν ἁπάντων τυραννουμένων ἢ δημοκρατουμένων, ὡς μηδεμίαν πρὸς ἀλλήλους ἐπιμιξίαν τοὺς
ἀνθρώπους ἔχειν, ἰδίως δὲ, φέρε εἰπεῖν, Αἰγυπτίων ὑπὸ
οἰκείῳ ἄρχοντι βασιλευομένων, καὶ Ἀράβων ὡσαύτως,
καὶ Ἰδουμαίων Φοινίκων τε καὶ Σύρων καὶ τῶν ἄλλων p. 345
ἐθνῶν, ἐπανισταμένων τε ἐθνῶν ἔθνεσι καὶ πόλεων
πόλεσι, πολιορκιῶν τε μυρίων καὶ αἰχμαλωσιῶν κατὰ
πάντα τόπον τε καὶ χώραν ἐπιτελουμένων, ἐπειδὴ παρῆν
ὁ Σωτὴρ καὶ Κύριος, ὁμοῦ τῇ εἰς ἀνθρώπους αὐτοῦ
παρόδῳ, πρώτου τε Ῥωμαίων Αὐγούστου τῶν ἐθνῶν
ἐπικρατήσαντος, λέλυτο μὲν ἡ πλείστη πολυαρχία, εἰρήνη δὲ διελάμβανε τὴν σύμπασαν γῆν, τῇ μετὰ χεῖρας
ἀκολούθως προρρήσει διαρρήδην φησάσῃ περὶ τῶν τοῦ

[d] τὴν add. P.

gloria nominis Domini Dei ipsorum existent. Quoniam nunc magnificabuntur usque ad extrema terræ: et erit hæc pax. Cui porro erit hæc pax, nisi terræ in qua magnificabuntur greges Domini? Id ipsum autem, quem finem sortitum sit post Salvatoris nostri Jesu Christi adventum, nemini obscurum esse potest: nam quum ante hunc adventum principum esset multitudo, et universæ gentes aut sub tyrannis aut in statu populari essent constitutæ, ut nullum inter se commercium homines haberent, sed privatim, exempli gratia, apud Ægyptios suus princeps regnaret, apud Arabas item suus, apud Idumæos, Phœnicas, Syros, aliasque item gentes, quumque gentes adversus gentes et civitates adversus civitates consurgerent, obsidionesque innumerabiles et captivitates per omnem locum ac regionem fierent, tum vero ubi Salvator noster ac Dominus affuit, una cum illius ad homines adventu, jam tum primo Romanorum Augusto imperium in orbis nationes obtinente, solutus illico est ille multiplex principatus, et pax universam terram accepit, ei prophetiæ quæ nunc tractatur

Χριστοῦ μαθητῶν, Διότι νῦν μεγαλυνθήσονται ἕως [d] ἄκρων b
23 τῆς γῆς, καὶ ἔσται αὕτη εἰρήνη. Ὧι συνᾴδει τὸ ἐν Ψαλ-
μοῖς φάσκον περὶ τοῦ Χριστοῦ λόγιον, Ἀνατελεῖ ἐν ταῖς
ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης. Διό μοι
δοκεῖ ἄρχων εἰρήνης ἐν τῇ πρὸ ταύτης παρατεθείσῃ
προφητείᾳ ὠνομάσθαι. Ἐπίστησόν γε μὴν τίνα τρόπον
ὁ μετὰ χεῖρας προφήτης καὶ ἐξελεύσεσθαι μὲν ἐξ οὐρα-
νῶν τὸν Κύριον ἀρχόμενος ἔφησεν, οὐ πρότερον δὲ
ποιμανεῖν τοὺς ἀνθρώπους ἢ γεννηθῆναι τὸν θεσπιζό-
24 μενον ἐν τῇ Βηθλεέμ. Ὅπως δὲ ταῦτα ἐπὶ τὸν Σωτῆρα c
καὶ Κύριον ἡμῶν ἐπεραιοῦτο, ἐμαρτύρησεν ὁ εὐαγγελι-
στὴς δι' ὧν προεξεθέμην αὐτοῦ φωνῶν. Ποιμὴν δὲ καὶ
ἡγούμενος ὁ Χριστὸς ἀναδειχθήσεσθαι τοῦ Ἰσραὴλ εἴ-
ρηται, συνήθως τῆς ἱερᾶς γραφῆς τὸν ἀληθῆ Ἰσραὴλ
κατὰ διάνοιαν πάντα τὸν διορατικὸν καὶ [e] ἀρεστῶς Θεῷ
βιοῦντα ἐπονομαζούσης· ὡς ἔμπαλιν τοὺς ἐκ περιτομῆς
ὁπόθ' ἁμαρτάνοιεν, Χαναναίους καὶ σπέρμα [f] Χαναὰν
καὶ οὐκ Ἰούδα, ἄρχοντάς τε Σοδόμων, καὶ λαὸν Γομόρ-
25 ρας, ἐμφερῶς αὐτῶν τοῖς τρόποις ἀποκαλούσης. Ἄλλως d

[d] ἄκρου] Dedi ἄκρων ut supra. [e] ἀρετῶς] ἀρεστῶς P. ut vulg. S.
[f] Χαναὰμ] Χαναὰν P.

concordans, apertissime de Christi discipulis dicenti: *Quoniam nunc magnificabuntur usque ad extremum terræ, et erit hæc pax.* Cui consentaneum est quod in Psalmis legitur de Christo oraculum, dicens, *Orietur in diebus ejus justitia et abundantia pacis.* Ex quo mihi videtur princeps pacis in ea, quæ proxime exposita est, prophetia nominari. Animadverte tamen quæso, quonam pacto is de quo nunc agimus propheta Dominum de cœlo egressurum initio ait, ac non prius erga homines pastoris officio functurum, quam nascatur is qui a prophetis canitur in Bethleem: quomodo vero hæc in Salvatore ac Domino terminata sint, testimonio suo planum fecit evangelista in iis verbis, quæ ab illo nuper accipiens proposui. Pastor autem et dux ipsius Israel declarandus dicitur Christus, quum hæc sacrarum literarum sit consuetudo, ut sententiam sequentibus verum Israel nominent omnem eum qui contemplari facile possit, et gratam Deo vitam sequatur: sicut e contrario Judæos post peccatum, Chananæos, et semen non Juda sed Chanaan, et principes Sodomorum et populum Gomorrhæ, ad mores illorum alludentes vocare solitæ

Ps. 72, 7.

δὲ πρὸς λέξιν ἡ πᾶσα τοῦ Σωτῆρος ἡμῶν διατριβὴ παρὰ τῷ Ἰουδαίων [g] ἔθνει γέγονε, καὶ πολλῶν γε τοῦ Ἰσραὴλ ἡγήσατο, ὅσοι δὴ ἔγνωσαν αὐτὸν καὶ εἰς αὐτὸν πεπιστεύκασι τῶν ἐκ περιτομῆς.

26 Καὶ τὸ μὲν τῆς ἐκτεθείσης προρρήσεως τοιαύτην εἴληφε τὴν ἔκβασιν· τὰ δὲ ἑξῆς ἀφ᾽ ἑτέρας ἀναγνωστέον ἀρχῆς, οὕτως ἔχοντα·

Ἀσσύριος ὅταν ἐπέλθῃ ἐπὶ τὴν γῆν ὑμῶν, καὶ ὅταν ἐπιβῇ ἐπὶ τὴν χώραν ὑμῶν, καὶ ἐπεγερθήσονται ἐπ᾽ αὐτὸν ἑπτὰ ποιμένες, καὶ ὀκτὼ δήγματα ἀνθρώπων,

καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ὁποίας ἔχεται διανοίας, 27 οὐ τοῦ παρόντος τυγχάνει διηγήσασθαι καιροῦ. Εἴποι δ᾽ ἄν τις μετὰ τὴν Ἀσσυρίων εἰς τὴν Ἰουδαίαν ἐπιδημίαν, καθ᾽ ἣν εἷλον τὸ Ἰουδαίων ἔθνος, τοσαύτας ἐπ- p. 346 αναστάσεις κατ᾽ αὐτῶν γεγονέναι, ὅσαι δηλοῦνται διὰ τῶν ἑπτὰ ποιμένων καὶ διὰ τῶν ὀκτὼ δηγμάτων· ταῦτα δὲ δύνασθαι εἰδέναι τοὺς τὰ Ἀσσυρίων ἱστορηκότας, ὧν ἐπὶ τέλει τὸν ἐκ τῆς Βηθλεὲμ προφητευόμενον γεγονέναι, [h] μετὰ τοὺς ἑπτὰ δηλαδὴ ποιμένας καὶ τὰ ὀκτὼ δήγματα τοῖς Ἀσσυρίοις συμβάντα ἐν ὑστέροις χρόνοις τῆς εἰς

[g] ἔθνη S. [h] κατὰ] μετὰ S.

sunt: alioqui vero etiam ad verbum interpretantibus omnis Salvatoris nostri vitæ consuetudo apud Judaicam gentem fuit, et multorum ex Israel dux extitit, eorum videlicet qui ipsum agnoverunt, atque ex circuncisione in ipsum crediderunt.

Et id quidem quod ad expositum oraculum pertinet talem exitum invenit, quæ autem sequuntur altero assumpto initio legenda sunt, quæ sic quidem se habent: *Assyrius quum venerit in terram vestram, et quum ascenderit in regionem vestram, excitabuntur in illum septem pastores, et octo morsus hominum*, et reliqua, quæ quo sensu sint accipienda, non est nunc enarrandi locus. Dixerit autem quispiam post Assyriorum in Judæam adventum, quo Judaica gens ab illis capta est, tam multas incursiones atque insolentias contra illos extitisse, quam multæ septem pastoribus et octo morsibus indicantur. Hæc autem sciri posse ab iis qui res Assyriorum memoriæ prodiderint: quorum post finem, eum de quo prophetæ loquuntur de Bethleem extitisse, post VII videlicet pastores et post VIII morsus qui Assy-

τὴν Ἰουδαίαν αὐτῶν ἐφόδου. Ταῦτα δὲ πλείστης ἐρευνης δεόμενα οὐ νῦν πολυπραγμονεῖν καιρός.

ἈΠῸ ΨΑΛΜΟΥ͂ ρλα΄.

28 Μνήσθητι, Κύριε, τοῦ Δαβὶδ, καὶ πάσης τῆς [i]πραΰτητος c αὐτοῦ· ὡς ὤμοσε τῷ Κυρίῳ, ηὔξατο τῷ Θεῷ Ἰακώβ· εἰ εἰσελεύσομαι εἰς σκήνωμα οἴκου μου, εἰ ἀναβήσομαι ἐπὶ κλίνης στρωμνῆς μου· εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς βλεφάροις μου νυσταγμὸν, [k]καὶ ἀνάπαυσιν τοῖς κροτάφοις μου, ἕως [l]οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ. Ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν [m]Ἐφραθὰ, εὕρομεν αὐτὴν ἐν τοῖς πεδίοις τοῦ δρυμοῦ· εἰσελευσόμεθα εἰς τὰ σκηνώματα αὐτοῦ, [n]προσκυνήσομεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες d αὐτοῦ.

Πυθομένῳ τῷ Δαβὶδ ποῖος ἄρ᾽ εἴη ὁ τῆς τοῦ προκηρυττομένου Θεοῦ γενέσεως τόπος, ἡ Ἐφραθὰ, αὕτη δέ ἐστιν ἡ Βηθλεὲμ, διὰ τοῦ θείου Πνεύματος φανεροῦται.

29 Εἶθ᾽ ἑξῆς ἐπιλέγει,

Ἕνεκεν Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ Χριστοῦ σου. Ὤμοσε Κύριος [o]τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ [p]ἀθετήσει αὐτόν. Ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.

30 Καὶ ἐπιφέρει τούτοις λέγων,

Ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ

[i] πραότητος] πραΰτητος P. [k] καὶ—μου add. S. [l] οὗ om. S. [m] ἐφρανθα et mox παιδίοις S. [n] προσκυνήσωμεν P. [o] τῷ add. P. [p] ἀθετήσῃ S.

rios invaserint temporibus quæ illorum in Judæam accessum subsecuta sunt. Cæterum hæc plurimam postulantia indagationem non est nunc curiosius explorandi tempus.

A PSALMO CXXXI. V.

Memento Domine David, et omnis mansuetudinis ejus: sicut juravit Domino, votum vovit Deo Jacob: si introiero in tabernaculum domus meæ, si ascendero in lectum strati mei: si dedero somnum oculis meis, et palpebris meis dormitationem et requiem temporibus meis, donec inveniam locum Domino, tabernaculum Deo Jacob. Ecce audivimus eam in Ephratha, invenimus eam in campis sylvæ: introibimus in tabernacula ejus, adorabimus in loco ubi steterunt pedes ejus. Tum deinceps adjungit, *Propter David servum tuum, ne avertas faciem Christi tui. Juravit Dominus David veritatem, et non frustrabitur eum, de fructu ventris tui ponam super sedem tuam.* Et adjungit his

Ps. 131. Quærenti David quisnam locus esset Ephratha, in qua Deus prænunciatus a prophetis nasceretur, ipsa autem est Bethleem, per Spiritum sanctum manifestatur.

Χριστῷ μου· τοὺς ἐχθροὺς αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ
αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά μου.

31 Συνᾴδει τῇ πρὸ ταύτης καὶ ἡ παροῦσα προφητεία, ἐκ
Βηθλεὲμ τὸν προκηρυττόμενον Θεὸν προελεύσεσθαι ση-
μαίνουσα. Τοῦτο δὲ οὖν αὐτὸ καὶ ὁ Δαβὶδ πρότερον
μὲν ἀγνοῶν εὔχεται παρὰ τοῦ Θεοῦ μαθεῖν, [q]εἶτ' εὐξά-
32 μενος παιδεύεται. Ἐπειδὴ γὰρ τετύχηκε χρησμοῦ τοῦ p. 347
πρὸς αὐτὸν ἐν τῷ Ψαλμῷ φήσαντος, Ἐκ καρποῦ τῆς
κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου, καὶ αὖθις, Ἐκεῖ
ἐξανατελῶ κέρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ
μου, εἰκότως προσπίπτει τῷ Θεῷ, καὶ προσπεσὼν ἐπ'
ἐδάφους ποτνιᾶται, ἐπὶ πλέον δὲ τῇ προσευχῇ προσ-
καρτερῶν ὄμνυσι τῷ Θεῷ, μὴ πρότερον εἰσελεύσεσθαι
εἰς σκήνωμα οἴκου αὐτοῦ, μὴ δὲ δώσειν τοῖς ὀφθαλμοῖς
αὐτοῦ ὕπνον, καὶ τοῖς βλεφάροις αὐτοῦ νυσταγμὸν, μὴ
δὲ ἀναβήσεσθαι ἐπὶ κλίνης στρωμνῆς αὐτοῦ, κεῖσθαι δὲ b
χαμαὶ προσκυνοῦντα καὶ ποτνιώμενον, ἔστ' ἂν εὕρῃ τό-
πον τῷ Κυρίῳ, καὶ σκήνωμα τῷ Θεῷ Ἰακὼβ, τοῦτ' ἔστιν,
ἕως ἂν μάθῃ, τοῦ Κυρίου φανερώσαντος αὐτῷ, τὴν γένε-
33 σιν τοῦ Χριστοῦ. Εὐξάμενος δὲ, καὶ τοιαῦτα γνῶναι

[q] εἰ τευξάμενος P.S.

item dicens, *Illuc producam cornu David, paravi lucernam Christo meo: inimicos ejus induam confusione, super ipsum autem efflorebit sanctificatio mea.* Etiam hæc prophetia cum superiore concordat, quæ illum Deum, qui nunciatur venturus, de Bethleem progressurum significat. Ipsum hoc igitur David quoque, prius quidem ignorans, optat discere ab ipso Deo, tum vero ubi optavit votoque poposcit, id ipsum docetur: postquam enim oraculum accepit, quod ad ipsum in Psalmo ita ait, *De fructu ventris tui ponam super sedem tuam,* et rursus, *Illuc producam cornu David, paravi lucernam Christo meo,* merito procumbit ipsi Deo, atque ita hærens solo, supplicat et precatur: longius autem constantiusque in oratione perseverans jurat Deo, non prius se ingressurum in tabernaculum domus suæ, neque daturum oculis suis somnum et palpebris suis dormitationem, neque ascensurum in lectum strati sui, humi stratum soloque adhærentem, eoque modo adorantem ac supplicantem mansurum, donec inveniat locum Domino, et tabernaculum Deo Jacob, hoc est, donec discat, Domino

ποθήσας, οὐκ εἰς [r]μακρὸν τῷ θείῳ Πνεύματι τὰ μέλ-
λοντα ἔσεσθαι θεωρεῖ, τοῦ Θεοῦ τοῖς οἰκείοις ἐπαγγει-
34 λαμένου [s]ἔτι λαλούντων ἐπακούσεσθαι. Ἐπακουσθεὶς
δῆτα καταξιοῦται χρησμοῦ τὴν Βηθλεὲμ ἐπιφωνοῦντος
αὐτῷ, ὡς ἂν ἐνθάδε τοῦ τόπου τοῦ Κυρίου καὶ τοῦ σκη-
νώματος τοῦ Θεοῦ Ἰακὼβ συστησομένου. Ταῦτα τοι- c
γαροῦν τοῦ θείου Πνεύματος ἐν αὐτῷ θεσπίσαντος,
αὐτὸς αὐτοῦ ἐπακούσας ἐπιλέγει, ἰδοὺ ἠκούσαμεν αὐτὴν ἐν
35 Ἐφραθά. Ἐφραθὰ δὲ ἡ αὐτή ἐστι τῇ Βηθλεὲμ, ὡς δῆ-
λόν ἐστι ἀπὸ τῆς Γενέσεως, ἔνθα περὶ τῆς Ῥαχὴλ
εἴρηται, ὅτι ἔθαψαν αὐτὴν ἐν τῷ ἱπποδρόμῳ Ἐφραθὰ, αὕτη
36 ἐστὶ Βηθλεέμ. Καὶ ἡ πρὸ ταύτης δὲ περιεῖχε προφητεία,
καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθά. Ἰδοὺ, φησὶν, ἠκού-
σαμεν αὐτὴν, δῆλον δ' ὅτι τὴν τοῦ Χριστοῦ γένεσιν καὶ
τὴν τοῦ Θεοῦ Ἰακὼβ κατασκήνωσιν. Ποῖον δ' ἂν εἴη τὸ d
σκήνωμα τοῦ Θεοῦ Ἰακὼβ, ἢ τὸ σῶμα τοῦ Χριστοῦ τὸ ἐν
τῷ τόπῳ τῆς Βηθλεὲμ γεγεννημένον, ἐν ᾧ, ὡς ἐν σκη-
νώματι, ἡ θεότης τοῦ μονογενοῦς κατεσκήνωσε; Οὐχ
ἁπλῶς δὲ Θεοῦ, ἀλλὰ μετὰ προσθήκης τῆς τοῦ Θεοῦ
Ἰακὼβ λέγεται τὸ σκήνωμα εἶναι, διὰ τὸ μὴ [t]ἄλλον

[r] μακρὰν] μακρὸν P. [s] ἔτι γε] γε om. P. [t] ἄλλο] ἄλλον P.

sibi indicante, ipsius Christi ortum. Quum autem voto id postulasset, et talia cognoscere expetivisset, haud ita multo post, quæ futura erant divino indicante Spiritu contemplatur: quippe quum suis Deus pollicitus sit se amplius loquentes exauditurum. Itaque illi in hunc modum exaudito oraculum redditur, quo ipsa Bethleem inclamatur, tanquam illic locus Domino et tabernaculum Deo Jacob constituenda sint. Hæc igitur ubi divinus Spiritus apud se ipsum cecinit, ipse seipsum exaudiens adjungit, *Ecce audivimus eam in Ephratha.* Gen. 35, 19.
Ephratha vero eadem est et Bethleem: sicut in Genesi constat, ubi 48, 7.
de Rachel dictum est, *et sepelierunt eam in hippodromo Ephratha, hæc est Bethleem.* Et superior prophetia habebat illud, *et tu Bethleem domus Ephratha. Ecce,* inquit, *audivimus eam:* constat autem quod per illud eam Christi originem intelligit, et ipsius Dei Jacob habitationem. Sed quæ tandem hæc fuerit habitatio Dei Jacob, nisi ipsius Christi corpus, quod in Bethleem natum est, in quo tanquam in tabernaculo unici filii divinitas habitavit? Cæterum non sim-

εἶναι τὸ σκηνῶσαν ἐν αὐτῷ, ἢ τὸν τῷ Ἰακὼβ ἐν ἀνθρώπου [u] εἴδει καὶ σχήματι ὀφθέντα Θεὸν, δι' ὃν καὶ τῆς ἐπὶ τῷ Ἰσραὴλ προσωνυμίας ἠξιώθη ὁρῶν Θεὸν, τοῦτο γὰρ ἑρμηνεύεται [x] τὸ ὄνομα, προσαγορευθείς· οὐκ ἄλλον δὲ ὄντα τοῦ Θεοῦ Λόγου τὸν τῷ Ἰακὼβ ὀφθέντα ἐν τοῖς πρώτοις τῆς μετὰ χεῖρας ὑποθέσεως παρεστήσαμεν.

37 Ἐδείχθη τοιγαροῦν τῷ Δαβὶδ εὐξαμένῳ καὶ ποθήσαντι τοῦ Κυρίου καὶ Θεοῦ Ἰακὼβ τὸν τόπον καὶ τὸ [y] σκήνωμα ὁ ἐπὶ τῆς Βηθλεὲμ τόπος, διόπερ εἰπὼν, ἰδοὺ p. 348
ἠκούσαμεν αὐτὴν ἐν Ἐφραθὰ, ἐπιφέρει λέγων, Προσκυνήσωμεν εἰς τὸν τόπον, οὗ ἔστησαν οἱ πόδες αὐτοῦ.

38 Σαφῶς τοιγαροῦν καὶ ἐν τούτοις ἐν τῇ Ἐφραθὰ, ἥτις ἐστὶν ἡ Βηθλεὲμ, αὐτὸς ὁ Κύριος καὶ Θεὸς Ἰακὼβ τόπον ἑαυτῷ καὶ σκήνωμα συστήσεσθαι προεφητεύετο, ὁμοφώνως τῇ τοῦ Μιχαίου προφητείᾳ φησάσῃ, Καὶ σὺ Βηθλεὲμ οἶκος τοῦ Ἐφραθὰ, ἐκ σοῦ μοι ἐξελεύσεται ἡγούμενος, καὶ αἱ ἔξοδοι αὐτοῦ ἀπ' ἀρχῆς ἐξ ἡμερῶν αἰῶνος, ἅπερ ἀρτίως ἐξετάσαντες ἐδείκνυμεν ἀναφέρεσθαι οὐδ' ἐφ' ἕτερον ἢ ἐπὶ b
μόνον τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χρι-

[u] ἤδει S. [x] τὸ ὄνομα Ἰακὼβ ED. PARIS. [y] σκήνωμα εὑρεῖν] εὑρεῖν om. P.

pliciter Dei, sed cum additione, Dei Jacob, tabernaculum esse dicitur, propterea quod non aliud sit quidquam quod in illo habitet, quam is Deus qui ipsi Jacob in hominis specie ac figura sit visus. Cujus sane gratia illo etiam cognomine Israel dignus est habitus, tanquam is qui Deum viderit: nam id nomen si interpreteris, eum, *qui Deum videat*, habebis: quod vero non alius sit quam Deus Verbum, qui ipsi Jacob visus sit, in hujusce operis primordiis demonstravimus. Precanti ergo David et videre cupienti locum ac tabernaculum Domini Deique Jacob, ipse Bethleem locus ostensus est: quapropter cum dixisset, *Ecce audivimus eam in Ephratha*, adjungit dicens, *Adorabimus in loco ubi steterunt pedes ejus.* Planissime igitur in his quoque verbis in Ephratha, quæ est Bethleem, ipse Dominus ac Deus Jacob locum sibi ac tabernaculum constituturus canitur, quod ipsum cum Michææ prophetia concordat dicente, *Et tu Bethleem domus Ephratha, ex te mihi egredietur dux: et egressus ejus ab initio ex diebus sæculi,* quæ cum proxime scrutaremur, ostendimus ad nullum alium esse referenda, quam ad unum Salvatorem ac Dominum nostrum

στὸν τοῦ Θεοῦ, ἐν Βηθλεὲμ ταῖς προρρήσεσιν ἀκολούθως
39 γεγεννημένον. Οὐκ ἂν γοῦν ἄλλον τις ἐπιδείξειεν ἐκ
ταύτης ἐνδόξως μετὰ τοὺς προφητείας χρόνους προελ-
θόντα· οὔτε γὰρ βασιλεὺς, οὔτε προφήτης, οὐδ᾽ ἕτερός
τις τῶν παρ᾽ Ἑβραίοις θεοφιλῶν, ἢ μόνος ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν ὁ Χριστὸς τοῦ Θεοῦ, ὁμοῦ καὶ ἐκ σπέρ-
ματος Δαβὶδ καὶ αὐτόθι γεγεννημένος ἀποδείκνυται.
40 Ὥρα τοιγαροῦν αὐτὸν ἐκεῖνον εἶναι καὶ οὐδὲ ἄλλον τὸν
καὶ ἐν τούτοις προφητευόμενον ὁμολογεῖν, ὅτι τε σαφῶς c
ἐν τοῖς ἑξῆς ὁ αὐτὸς Ψαλμὸς ὀνομαστὶ τὸν Χριστὸν
προσαγορεύων τοῦτο παρίστησι, δι᾽ ὧν φησὶν, *Ἕνεκεν
Δαβὶδ τοῦ δούλου σου, μὴ ἀποστρέψῃς τὸ πρόσωπον τοῦ
Χριστοῦ σου.* Καὶ πάλιν, *Ἐκεῖ ἐξανατελῶ κέρας τῷ
Δαβὶδ, ἡτοίμασα λύχνον τῷ Χριστῷ μου, τοὺς ἐχθροὺς
αὐτοῦ ἐνδύσω αἰσχύνην, ἐπὶ δὲ αὐτὸν ἐξανθήσει τὸ ἁγίασμά
41 μου.* Ποῦ δέ φησιν ἐκεῖ ἐξανατελῶ κέρας τῷ Δαβὶδ,
ἢ ἐν τῇ Βηθλεὲμ τῇ Ἐφραθά; Ἐντεῦθεν [z] γοῦν τὸ κέρας
τοῦ Δαβὶδ ὁ Χριστὸς τὸ κατὰ σάρκα οἷόν τι μέγα φῶς d
ἐξανέτειλεν, ἐνταῦθά τε [a] προητοίμαστο ὑπὸ τοῦ Θεοῦ

[z] γὰρ] γοῦν P. [a] ἡτοίμαστο] προήτοιμαστο P.

Jesum qui Christus est Dei, quique in Bethleem, sicut prophetiæ prædixerant, natus est. Nullum enim alium quispiam unquam ostendet, qui inde cum gloria post ipsius prophetiæ tempora prodierit: nullus enim neque rex, neque propheta, neque alius quispiam eorum qui apud Hebræos Deo amici fuerint, præter unum Salvatorem ac Dominum nostrum qui Christus est Dei, utrunque habuisse demonstratur, et quod de semine David, et quod in eo loco sit natus. Tempus igitur jam est ut illum ipsum esse non alium quempiam fateamur, qui in his propheticis verbis significatur, evidenterque in iis quæ sequuntur eundem Psalmum, dum nominatim Christum appellat, hoc ipsum ostendere, ubi ait, *Propter David servum tuum, ne avertas faciem Christi tui.* Et rursus, *Illuc producam cornu David: paravi lucernam Christo meo. Inimicos ejus induam confusione, super ipsum autem efflorebit sanctificatio mea.* Sed ubi tandem ait se producturum cornu David, nisi in Bethleem atque in Ephratha? Inde enim cornu David Christus quatenus ad naturam pertinet humanam quasi ingens lumen exortum est. Hic item Christi lucerna ab ipso

42 τῶν ὅλων ὁ τοῦ Χριστοῦ λύχνος. Εἴη δ' ἂν λύχνος αὐτοῦ, οἷα νοεροῦ φωτὸς, τὸ ἀνθρώπειον σκῆνος, δι' οὗ δίκην [b] ὀστρακίνου σκεύους, ὥσπερ διὰ λύχνου, τὰς τοῦ ἰδίου φωτὸς ἀκτῖνας πᾶσι τοῖς ἐν ἀγνοίᾳ Θεοῦ καὶ σκότῳ
43 βαθεῖ πιεζομένοις ἐξέλαμψεν. Ἀλλὰ γὰρ καὶ ἐν τούτοις ἀποδεδεῖχθαι σαφῶς ἡγοῦμαι Θεὸν Ἰακὼβ ἀπ' ἀρχῆς καὶ ἐξ ἡμερῶν τυγχάνοντα αἰῶνος ἀνθρώποις ἐπιδημήσειν, καὶ γεννηθήσεσθαι οὐκ ἀλλαχόθι γῆς ἀλλ' [c] ἢ ἐν τῷ κατὰ Βηθλεὲμ τόπῳ, πρὸς τοῖς Ἱεροσολύμοις εἰσέτι καὶ νῦν ἐπιδεικνυμένῳ χωρίῳ, ἔνθα οὐδ' ἄλλος μετὰ τοὺς τῶν προφητῶν χρόνους ἐπιφανὴς καὶ εἰς πάντας ἀνθρώπους ἐπίδοξος ἢ μόνος Ἰησοῦς ὁ Χριστὸς πρὸς τῶν [p. 349] ἐπιχωρίων ἁπάντων ἀκολούθως ταῖς εὐαγγελικαῖς φω-
44 ναῖς γεγονὼς μαρτυρεῖται. Ἑρμηνεύεται δὲ ἡ Βηθλεὲμ οἶκος ἄρτου, φερώνυμος οὖσα τοῦ προελθόντος ἐξ αὐτῆς Σωτῆρος ἡμῶν ὄντος Θεοῦ Λόγου, ψυχῶν λογικῶν θρεπτικοῦ. Ὃ καὶ παρίστησιν αὐτὸς λέγων, Ἐγώ εἰμι
45 ὁ ἄρτος ὁ ἐκ τοῦ οὐρανοῦ καταβάς. Ἀλλ' ἐπειδὴ καὶ τοῦ Δαβὶδ γέγονεν αὕτη πατρὶς, εἰκότως καὶ ὁ κατὰ σάρκα

[b] Vid. supra p. 188 b 10. [c] ἢ om. P.

Deo universi præparata est: fuerit autem hæc lucerna quasi intelligibilis lucis, humanum corpus, per quod instar testacei vasis, tanquam per lucernam, proprii luminis radios in omnes, quicunque ignorantia Dei et profundis tenebris premebantur, emisit. Etenim in his quoque demonstrari planissime arbitror Deum Jacob, qui ab initio et ex diebus sæculi existit, ad homines venturum, et oriturum non alibi terrarum quam in Bethleem loco, qui non procul ab Hierosolymis hodie quoque visitur, ubi sane non alius post prophetarum tempora illustris et apud omnes homines gloria celebris quam unus Jesus Christus ab omnibus ejus loci incolis, (qui quidem sic cum evangelicis vocibus concordant,) natus esse perhibetur. Est autem Bethleem ex interpretatione *domus panis*, quæ sic quidem ejusdem est nominis cum eo qui de ipsa profectus est, Salvatore nostro, qui quum sit Dei Verbum et ratio, animalium rationalium est alimentum: quam
Jo. 6, 41. rem ipse quoque demonstrat, ubi ait, *Ego sum panis qui de cælo descendi.* Verum quoniam hæc eadem ipsius David patria fuit, merito qui ratione humanæ naturæ David filius fuit, ex hoc ipso loco

γενόμενος υἱὸς Δαβὶδ τὴν πρόοδον ἐξ αὐτῆς ἐποιήσατο, b
ἀκολούθως ταῖς προφητικαῖς προρρήσεσιν, ὥστε οὐκ
ἄδηλον εἶναι καὶ τὴν αἰτίαν δι' ἣν πατρίδα τὴν Βηθλεὲμ
46 ἐπεγράψατο. Ἀλλὰ καὶ ἐν Ναζάροις ἀνατραφεὶς λέγε-
ται, καὶ πάλιν [d] Ναζωραῖος κληθήσεσθαι. Ἰστέον οὖν
ὅτι καὶ τὸ [e] ναζιραῖον ὄνομα Ἑβραϊκὸν τυγχάνει ἐν Λευι-
τικῷ ἐπὶ τοῦ χρίσματος τοῦ παρ' αὐτοῖς χριστοῦ. Ἦν
δὲ οὗτος ὁ ἄρχων κατ' εἰκόνα τοῦ μεγάλου καὶ ἀληθῶς
ἀρχιερέως τοῦ Χριστοῦ τοῦ Θεοῦ, σκιώδη τινὰ καὶ
47 τυπικὸν Χριστὸν ἐπιφερόμενος. Ἐν οἷς γοῦν εἴρηται c
κατὰ τοὺς Ἑβδομήκοντα περὶ τοῦ ἀρχιερέως, καὶ οὐ
βεβηλώσει τὸν ἡγιασμένον τοῦ Θεοῦ αὐτοῦ, ὅτι τὸ ἅγιον
ἔλαιον [f] χριστὸν τοῦ Θεοῦ αὐτοῦ· τὸ μὲν Ἑβραϊκὸν ὅτι
ναζὲρ ἔλαιον περιέχει· ὁ δὲ Ἀκύλας, ὅτι ἀφόρισμα,
ἔλαιον [g] ἀλείμματος Θεοῦ αὐτοῦ ἐπ' αὐτῷ· ὁ δὲ Σύμ-
μαχος, ὅτι ἄθικτον ἔλαιον τοῦ χρίσματος τοῦ Θεοῦ αὐτοῦ
ἐπ' αὐτῷ· ὁ δὲ Θεοδοτίων, ὅτι τὸ ναζὲρ ἔλαιον [h] τὸ χρι-
48 στὸν παρὰ Θεοῦ αὐτοῦ ἐπ' αὐτῷ. Ὥστε εἶναι τὸ ναζὲρ
κατὰ μὲν τοὺς Ἑβδομήκοντα, ἅγιον· κατὰ δὲ τὸν Ἀκύ-
λαν, ἀφόρισμα· κατὰ δὲ τὸν Σύμμαχον, ἄθικτον, ὥστε

[d] Ναζαραῖος] ναζωραῖος P. [e] ναζαραῖον] ναζιραῖον P. [f] χριστοῦ] χριστὸν P. [g] ἀλίμματος P. [h] τὸν P. τὸ χ̄ῡ S.

profectus est, in eo sane cum propheticis concordans oraculis: itaque obscura esse amplius causa non potest, cur sibi Bethleem patriam adscripserit. Cæterum etiam in Nazaris educatus esse dicitur, et sic Nazaræus vocandus. Scire igitur oportet quod nomen est Hebraicum nazirœum in Levitico, in ejus christi unctione quem ipsi habebant. Porro hic erat principatum obtinens secundum imaginem magni et veri pontificis Christi Dei, adumbratum videlicet quendam et figuratum Christum repræsentans. Ubi vero LXX de pontifice ita interpretati sunt, *et non polluet quod sanctificatum est Dei sui :* Levit. 21, 12.
quoniam sanctum oleum unctionis Dei sui, in Hebraico legitur, *quoniam nazer oleum :* Aquila autem sic convertit, *quoniam segregatio, oleum unctionis Dei sui super ipsum :* Symmachus autem, *quoniam intactum oleum unctionis Dei sui super ipsum :* Theodotion vero, *quoniam nazer oleum unctionis a Deo suo super ipsum.* Quare *nazer* ipsos quidem LXX sequentibus *sanctum* erit, ipsum vero Aquilam, *separatio,*

ἐκ τούτου τὸ ναζιραῖον ὄνομα σημαίνειν ἤτοι τὸ ἅγιον, ἢ
τὸν ἀφωρισμένον, ἢ τὸν ἄθικτον. Ἀλλ' οἱ μὲν πάλαι d
ἱερεῖς δι' ἐλαίου σκευαστοῦ, τοῦ παρὰ Μωσεῖ ναζὲρ
καλουμένου, χριόμενοι, παραγώγως ἀπὸ τοῦ ναζὲρ ἐκα-
49 λοῦντο ναζιραῖοι. Ὁ δὲ Σωτὴρ καὶ Κύριος ἡμῶν κατὰ
φύσιν ἔχων τὸ ἅγιον καὶ τὸ ἄθικτον καὶ τὸ ἀφωρισμέ-
νον, οὐ δεόμενός [i] τε χρίσματος ἀνθρωπίνου, ὅμως τῆς
τοῦ ναζιραίου προσηγορίας παρ' ἀνθρώποις ἔτυχεν, οὐκ
ἀπὸ τοῦ καλουμένου ναζὲρ ἐλαίου ναζιραῖος γεγονὼς, ἀλλ'
ὢν μὲν τῇ φύσει τοιοῦτος, κληθεὶς δὲ καὶ παρ' ἀνθρώ-
ποις Ναζιραῖος ἀπὸ τῆς Ναζαρὲθ, ἔνθα παρὰ τοῖς κατὰ
50 σάρκα γονεῦσι τὴν ἐν παισὶν ἀνατροφὴν ἔσχηκε. Διὸ
λέλεκται παρὰ τῷ Ματθαίῳ, Χρηματισθεὶς δὲ κατ' ὄναρ, p. 350
δῆλον δὲ ὅτι ὁ Ἰωσὴφ, ἀνεχώρησεν εἰς τὰ μέρη τῆς Γαλι-
λαίας, καὶ ἐλθὼν κατῴκησεν εἰς πόλιν λεγομένην Ναζαρὰ,
ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ τῶν προφητῶν, ὅτι [k] Ναζωραῖος
51 κληθήσεται. Ἔδει μὲν γὰρ αὐτὸν ἐξ ἅπαντος φύσει
καὶ ἀληθείᾳ ναζιραῖον ὄντα, τοῦτ' ἔστιν ἅγιον καὶ
ἄθικτον καὶ ἀφωρισμένον ἐξ ἀνθρώπων κληθῆναι ταύτῃ
τῇ προσηγορίᾳ· ἀλλ' ἐπεὶ μὴ ἐκ τοῦ ναζὲρ ἐλαίου ταύτης

[i] γε] τε P. [k] Ναζαραῖος] ναζωραῖος P.

Symmachum autem, *intactum:* itaque ex his naziræum nomen significabit aut *sanctum*, aut *segregatum*, aut *intactum*. At vero prisci quidem sacerdotes, quum oleo comparato, quod apud Mosem *nazer* appellatur, ungerentur, ex derivatione a *nazer* vocabantur *naziræi*. Sed Salvator et Dominus noster suapte natura in se habens et sanctum, et intactum, et separatum, neque alicujus indigens humanæ unctionis, tamen *Naziræi* appellationem apud homines obtinuit, non quod ab oleo, quod *nazer* vocaretur, *Naziræus* extiterit, sed quod quamvis natura quidem talis esset, tamen a civitate Nazareth apud homines Naziræus vocatus sit, ubi apud suos, qua homo erat, parentes puerilem educationem obtinuit. Ex quo apud Matthæum
Matth. 2, 22. dictum est: *Responso autem in somnis accepto,* (ipse videlicet Joseph,) *secessit in partes Galilææ: et veniens habitavit in civitate quæ dicitur Nazara, ut impleretur quod dictum est per prophetam, quod Nazaræus vocabitur.* Oportebat enim usquequaque quum ipse suapte natura et revera Naziræus esset, hoc est sanctus, intactus, segregatus, illum ab

ἔτυχε τῆς προσηγορίας, μὴ δεηθεὶς ἀνθρωπίνου χρίσμα-
τος, ἐκ τοῦ τόπου τῆς Ναζαρὲθ τὴν ἐπωνυμίαν ἐκτή- b
σατο.

52 Τούτων οὕτως ἀποδεδειγμένων, καιρὸς ἐπισκέψασθαι
καὶ ἐξ ὁποίου γένους, ἐξ ὁποίας τε Ἑβραίων φυλῆς ὁ
Σωτὴρ τῶν ψυχῶν ἡμῶν, ὁ Χριστὸς τοῦ Θεοῦ, προ-
ελεύσεσθαι ἐκηρύττετο. Πρώτας δὲ τὰς εὐαγγελικὰς
καὶ περὶ τούτου παραθήσομαι λέξεις, εἶθ' ὥσπερ ἁρμο-
νίους σφραγῖδας τὰς προφητικὰς αὐταῖς ἐπιθήσω μαρ-
τυρίας. Ὁ μὲν οὖν Ματθαῖος ὧδε τὸν Χριστὸν κατὰ
σάρκα γενεαλογεῖ·

Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀ-
βραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαὰκ, Ἰσαὰκ δὲ ἐγέννησε c
τὸν Ἰακὼβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν·

53 καὶ τὰ ἑξῆς. Συνᾴδει δὲ αὐτῷ καὶ ὁ ἀπόστολος λέγων,
ἀφωρίσθαι εἰς εὐαγγέλιον Θεοῦ ὃ προεπηγγείλατο διὰ τῶν
προφητῶν αὐτοῦ ἐν γραφαῖς ἁγίαις περὶ τοῦ υἱοῦ αὐτοῦ
τοῦ γενομένου ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα. [1]Γένοιντο
δ' ἂν σύμφωνα ταῦτα ταῖς οὕτως ἐχούσαις προρρήσεσιν.

[1] γένοιτο] γένοιντο P.

hominibus hac appellatione vocari: sed quoniam non a nazer oleo hanc obtinuit appellationem, quippe qui humanæ nullius unctionis indigeret, a loco Nazareth denominationem accepit.

Quum igitur hæc in hunc modum ostensa sint, tempus jam esse videtur inspicere, et ex quo genere, et ex qua Hebræorum tribu, animarum nostrarum Salvator Christus Dei prodituras nunciaretur. Cæterum hac de re primum verba citabo evangelica, deinde tanquam notas atque impressiones maxime accommodatas, prophetica illis adjungam testimonia. Matthæus ergo Christi genus (quatenus ad humanam ejus naturam pertinet) in hunc modum describit: *Liber* Matth. 1, 1.
generationis Jesu Christi, filii David, filii Abraham. Abraham genuit Isaac, Isaac autem genuit Jacob, Jacob autem genuit Judam, et quæ sequuntur. Huic vero apostolus quoque concordat, qui dicit, *segre-* Rom. 1, 1.
gatum se esse in evangelium Dei, quod ante promiserat per prophetas suos in scripturis sanctis de filio suo, qui factus est ex semine David secundum carnem. Fuerint vero hæc consentanea iis, quæ ita se habent, oraculis.

ἈΠῸ ΤΗ͂Σ ΔΕΥΤΈΡΑΣ ΤΩ͂Ν [m]ΠΑΡΑΛΕΙΠΟΜΈΝΩΝ. d

3 Ὁ Κύριος διὰ Νάθαν τοῦ προφήτου ταῦτα τῷ Δαβὶδ θεσπίζει ἐν δευτέρᾳ [m]Παραλειπομένων·

Ἀπὸ ποίου γένους καὶ ἀπὸ ποίας Ἑβραίων φυλῆς προελεύσεσθαι ὁ Χριστὸς προεφητεύετο.

Καὶ ἔσται, ἐὰν πληρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα σου μετὰ σε, ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ. Αὐτὸς οἰκοδομήσει [n]μοι οἶκον τῷ ὀνόματι μου, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοὶ εἰς υἱόν. p. 351

2 [o]Καὶ ἐν ὀγδόῳ δὲ καὶ ὀγδοηκοστῷ Ψαλμῷ περὶ τοῦ αὐτοῦ, ὡς περὶ Δαβὶδ, τάδε εἴρηται,

Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, Θεός μου, καὶ ἀντιλήπτωρ τῆς σωτηρίας μου, κἀγὼ πρωτότοκον θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς· εἰς τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ [p]ἔλεός μου, καὶ ἡ διαθήκη μου πιστὴ αὐτῷ.

3 Καὶ αὖθις,

Ὤμοσα Δαβὶδ τῷ δούλῳ μου, ἕως αἰῶνος ἑτοιμάσω τὸ σπέρμα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γενεὰν τὸν θρόνον σου.

4 Καὶ πάλιν,

Ἅπαξ ὤμοσα ἐν τῷ ἁγίῳ μου, εἰ τῷ Δαβὶδ ψεύσομαι, b

[m] *βασιλειῶν* S. [n] *μοι* add. P. et mox *τὸν* ante *θρόνον*. [o] Καὶ om. S. [p] *ἔλαιος* S.

A SECUNDO PARALIPOMENON. VI.

3 Dominus per Nathan prophetam hæc David prædicit in secundo Paralipomenon. *Et erit, quum completi fuerint dies tui, et dormieris cum patribus tuis, suscitabo semen tuum post te, quod erit ex ventre tuo, et parabo regnum ejus. Ipse ædificabit mihi domum in nomine meo, et erigam sedem ejus usque in sempiternum. Ego ero illi in patrem, et ipse erit mihi in filium.* In octavo autem et octogesimo Psalmo de eodem tanquam de David dicta hæc sunt: *Ipse invocabit me, pater meus es tu, Deus meus et susceptor salutis meæ. Et ego primogenitum ponam illum, excelsum præ regibus terræ: in æternum servabo illi misericordiam meam, et testamentum meum fidele ipsi.* Et rursus, *Juravi David servo meo, in sæculum parabo semen tuum, et ædificabo in generationem et generationem sedem tuam.* Et rursus, *Semel juravi in sancto meo, si David mentiar, semen ejus in æternum*

1 Par. 17, 11. Ex qua gente et ex qua Judæorum tribu progressurus Christus prædicebatur. Ps. 88. 26. Ps. 88, 4. Ps. 88, 35.

τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς [q]ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν αἰῶνα.

5 Καὶ αὖθις,

Καὶ θήσομαι εἰς τὸν αἰῶνα τοῦ αἰῶνος τὸ σπέρμα αὐτοῦ.

Ὅμοια δ' ἂν εἴη τούτοις καὶ τὰ δι' ὧν εἴρηται,

Ὤμοσε Κύριος τῷ Δαβὶδ ἀλήθειαν, καὶ οὐ μὴ ἀθετήσῃ αὐτόν· ἐκ καρποῦ τῆς κοιλίας σου θήσομαι ἐπὶ τὸν θρόνον σου.

6 Σολομὼν παῖς μὲν ὢν τοῦ Δαβὶδ καὶ τῆς βασι-
λείας διάδοχος πέφηνεν ὁμολογουμένως. Οὗτος δὲ
καὶ τὸν ἐν Ἱεροσολύμοις νεὼν τῷ Θεῷ πρῶτος ἐδεί- c
ματο, καὶ τοῦτον εἰκὸς ὑπολήψεσθαι τοὺς ἐκ περιτο-
μῆς τὸν προφητευόμενον εἶναι· οὓς ἐπιστῆσαι καλὸν
εἰ [qq]οἷοί τε εἶεν ἐπὶ Σολομῶνα ἀνάγειν τὸν χρησμὸν
φάσκοντα, καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ εἰς τὸν αἰῶνα,
καὶ αὖθις μεθ' ὅρκου διατάσεως ὀμωμοκέναι τὸν Θεὸν
ἐν τῷ ἁγίῳ αὐτοῦ, ὡς ἄρα ἔσται ὁ θρόνος τοῦ προφητευο-
7 μένου, ὡς ὁ ἥλιος, καὶ αἱ ἡμέραι τοῦ οὐρανοῦ. Εἰ γὰρ δή
[r]τις τοὺς χρόνους ἐξετάσειε τῆς τοῦ Σολομῶνος βασι-
λείας, τεσσαράκοντα ἔτη, [s]οὐ πλείονα, εὑρήσει· εἰ δὲ d

[q] ὁ add. P. [qq] οἷοί] οἷόν vulg. [r] τις om. P. [s] σημ S. in marg.

manebit, et thronus ejus sicut sol in conspectu meo, et sicut luna perfecta in æternum. Et rursus, *Et ponam in sæculum sæculi semen ejus.* Ps. 88, 29. Fuerint vero his similia etiam illa in quibus dictum est, *Juravit Dominus David veritatem, et non frustrabitur eum: de fructu ventris tui ponam super sedem tuam.* Ps. 131, 11. Solomon quidem quum esset filius David, eidem palam in regno successit: hic etiam Hierosolymis primus Deo templum ædificavit. Hunc itaque suspicari Judæos illum esse, de quo prophetiæ loquuntur, verisimile est. Sed videant quæso Judæi num ad Solomonem referre oraculum possint, quod ita ait, *et erigam sedem ejus usque in sempiternum,* et rursus quod cum jurisjurandi affirmatione pollicitum esse Deum in sancto suo inducit, *futuram sedem ejus, quem venturum prophetæ canunt, sicut solem, et sicut dies cœli:* nam si quis regni Solomonis tempus inquirat, quadraginta non amplius annos inveniet. Quod si eorum qui illi succes-

καὶ [t]τῶν διαδόχων αὐτοῦ συνάξοι, οὐδ' ἐφ' ὅλοις πεντα-
8 κοσίοις ἔτεσιν εὕροι ἂν τοὺς πάντας διαγενομένους. Ἀλλὰ
ἔστω τοὺς αὐτοὺς καὶ μέχρι τῆς ὑστάτης ὑπὸ Ῥωμαίων
πολιορκίας τοῦ Ἰουδαίων ἔθνους διαρκέσαι νομίζεσθαι·
τί οὖν τοῦτο πρὸς τὴν προφητείαν, εἰς τὸν αἰῶνα, καὶ ὡς
τὸν ἥλιον, καὶ ὡς τὰς ἡμέρας τοῦ οὐρανοῦ [u]διαμενεῖν τὸν
θρόνον αὐτοῦ θεσπίζουσαν; Τὸ δὲ καὶ ἐγὼ ἔσομαι αὐτῷ
εἰς πατέρα καὶ αὐτὸς ἔσται μοὶ εἰς υἱὸν, πῶς ἂν τῷ
Σολομῶνι [x]ἁρμόσειεν, ὅτε διαρρήδην ἡ κατὰ αὐτὸν
ἱστορία ἀλλότρια καὶ ἀπῳκισμένα τῆς τοῦ Θεοῦ εἰσ-
9 ποιήσεως περὶ αὐτοῦ διδάσκει; Ἄκουε δ' οὖν οἵαν κατη-
γορίαν αὐτοῦ καταλέγει· καὶ Σολομὼν ἦν [y]φιλογύναιος,
καὶ ἔλαβε γυναῖκας ἀλλοτρίας πολλὰς, καὶ τὴν θυγατέρα
Φαραὼ, Μωαβίτιδας, Ἀμμανίτιδας, καὶ Ἰδουμαίας, Σύρας
[z]καὶ Χετταίας, καὶ Ἀμορραίας, ἐκ τῶν ἐθνῶν, ὧν ἀπεῖπε p. 332
Κύριος ὁ Θεὸς τοῖς υἱοῖς Ἰσραὴλ, οὐκ εἰσελεύσεσθαι εἰς αὐτάς.
10 Καὶ ἐπιφέρει τούτοις, Καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ εὐθεῖα
μετὰ Κυρίου τοῦ Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ τοῦ
πατρὸς αὐτοῦ, καὶ ἐπορεύθη Σολομὼν ὀπίσω τῆς Ἀστάρτης,
βδελύγματος Σιδωνίων, καὶ ὀπίσω τοῦ βασιλέως αὐτῶν

[t] τῶν] τὸν S. [u] διαμένειν P. [x] ἁρμόζοιεν] ἁρμόσειεν P.
[y] φιλογύναικος] φιλογύναιος P. [z] καὶ om. P.

serint in summam redigat, ne totos quidem quingentos annos illos omnes regnasse comperiet. Sed concedamus eos usque ad extremam Judaicæ gentis obsidionem, qua Romani illos expugnaverunt, regnum conservasse. Quid istud tandem ad prophetiam, quæ ait, *in æternum?* et quæ *ut solem atque ut dies cœli permansuram illam sedem* canit? Illud vero, *et ego ero illi in patrem, et ipse erit mihi in filium*, qui fieri potest ut Solomoni conveniat, quando palam in historia quæ de illo extat, abhorrentia longissimeque remota ab adoptione Dei de illo prodit? Audi igitur quam illius
3 Reg. 11, 1. accusationem complexa sit: *Et Solomon fuit mulierum amator, et accepit externas fœminas multas, et filiam Pharaonis, et Moabitidas, et Ammanitidas, et Idumæas, et Syras, et Chettæas, et Amorrhæas, ex gentibus quas interdixit Dominus Deus filiis Israel, non ingredi ad eas.* Et adjungit, *Et non erat cor ejus rectum cum Domino Deo suo, sicut cor David patris ejus: et abiit Solomon post Astartem, abominationem*

εἰδώλου υἱῶν Ἀμμών. Καὶ ἐποίησε Σολομὼν τὸ πονηρὸν
11 ἐνώπιον Κυρίου. Καὶ αὖθις ἑξῆς [a]ἐπάγει, Καὶ ἤγειρε
Κύριος σατὰν [b]τῷ Σολόμωνι, τὸν Ἄδερ τὸν Ἰδουμαῖον. b
Τὸν [c]δὴ ἐπὶ τοσούτοις καὶ τοιούτοις διαβεβλημένον τίς
ἂν αἱρεῖ λόγος πατέρα τὸν Θεὸν τολμᾶν ἐπιγράφεσθαι,
καὶ τὸν ἐπὶ πάντων Θεὸν υἱὸν ἑαυτοῦ πρωτότοκον ἀνα-
γορεύειν αὐτόν; Πῶς δὲ ταῦτα τοτὲ μὲν ὡς περὶ αὐτοῦ
λέγεται τοῦ Δαβὶδ, τοτὲ δὲ ὡς περὶ σπέρματος αὐτοῦ;
Ἀλλ' οὐδὲ τῷ Δαβὶδ ἐφαρμόζοι ἄν, ὡς ἐπιστήσαντί σοι
12 δῆλον ἔσται· οὐκοῦν τὸν ἐκ σπέρματος Δαβὶδ ἀνα-
στήσεσθαι ἐν τούτοις δηλούμενον ἕτερον ζητητέον. Ἀλλ'
οὐδεὶς ἄλλος τοιοῦτος ἐξ αὐτοῦ γέγονεν, ὡς ἱστορεῖται, c
ἢ ὅτι γε εἷς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χρι-
στὸς τοῦ Θεοῦ, ὃς μόνος τῶν πώποτε ἐκ σπέρματος
Δαβὶδ βεβασιλευκότων καθ' ὅλης ἀνηγόρευται τῆς οἰ-
κουμένης υἱὸς Δαβὶδ, κατὰ τὴν ἔνσαρκον αὐτοῦ γένεσιν
ὁμολογούμενος, καὶ τούτου γε μένει καὶ διαμενεῖ ἡ βα-
σιλεία εἰς τὸν ἄπειρον αἰῶνα παρατείνουσα, καίτοι μυρία

[a] ἐπιλέγει] ἐπάγει P. [b] τὸ S. [c] δὴ] δὲ P. qui mox ἐρεῖ pro αἱρεῖ.

Sidoniorum, et post regem eorum, simulachrum filiorum Ammon, et fecit Solomon malum in conspectu Domini. Et rursus addit in iis quæ sequuntur, *Et suscitavit Dominus satan Solomoni, Ader Idumæum.* Eum igitur, qui in talibus et tantis accusetur, quæ unquam ratio dictabit patrem sibi audere Deum adscribere, ipsumque supremum Deum filium hunc suum primogenitum appellare? Quam autem ob causam hæc alias quidem quasi de ipso dicuntur David, alias vero quasi de illius semine? Atqui ipsa hæc ipsi quidem David nunquam accommodari poterunt, quemadmodum tibi diligenter observanti fiet manifestum: igitur alium ex semine David surrecturum, de quo hæc oracula loquantur, quærere oportet. At enim ex illo quatenus aut monumenta literarum prodiderint, aut in memoria hominum resideat, nullus alius talis extitit, nisi unus Salvator et Dominus noster Jesus qui Christus est Dei, qui quidem unus ex omnibus, qui unquam de semine David regnaverint, in toto orbe terrarum filius David appellatur, hocque secundum illius ortum qui ad humanam naturam pertinet omnes confitentur: atque hujus regnum et manet nunc et permansurum est posthac in infinitum

μὲν ἐπιβεβουλευμένη, θείᾳ δὲ καὶ ὑπὲρ ἄνθρωπον δυνά-
μει τὸ ἔνθεον καὶ ἀήττητον τῆς περὶ αὐτοῦ προφητείας d
13 ἀκολούθως ἐπιδεικνυμένη. Εἰ δὲ ὀμνύντα τὸν Θεὸν
ἀκούεις κατὰ τοῦ ἁγίου αὐτοῦ, ὡς πατρὸς ἄκουε ὀμνύντος
κατὰ τοῦ Θεοῦ Λόγου, τοῦ πάντων αἰώνων προϋφεστῶ-
τος, ἁγίου καὶ μονογενοῦς αὐτοῦ παιδὸς, ὃν ποικίλως
ἐθεολόγησαν αἱ πρόσθεν ἡμῖν παρατεθεῖσαι φωναὶ, καθ'
οὗ ὄμνυσιν ὁ Θεὸς καὶ πατὴρ αὐτοῦ, ὡς κατὰ ἠγαπη-
μένου, τὸν ἐκ σπέρματος Δαβὶδ τὸν ἄπειρον αἰῶνα
δοξάσειν· ὃ καὶ γέγονεν ὅτε ὁ Λόγος σὰρξ γενόμενος
τὸν ἐκ σπέρματος Δαβὶδ ἀνείληφέ τε καὶ ἐθεοποίησε.
Διὸ καὶ υἱὸν αὐτὸν ἀναγορεύει λέγων, *Ἐγὼ ἔσομαι αὐτῷ*
14 *εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοὶ εἰς υἱόν.* Καὶ πάλιν,
Κἀγὼ πρωτότοκον θήσομαι αὐτόν. Σαφῶς τοιγαροῦν ἐκ
τούτων ὁ υἱὸς τοῦ Θεοῦ ὁ πρωτότοκος ἐκ σπέρματος p. 353
ἔσεσθαι Δαβὶδ ἀνείρηται, ὥστε ἕνα καὶ τὸν αὐτὸν εἶναι
τὸν υἱὸν τοῦ Δαβὶδ τῷ Θεοῦ υἱῷ, καὶ τὸν υἱὸν τοῦ Θεοῦ
τῷ υἱῷ Δαβίδ. Δι' ὧν ἐναργῶς ὁ *πρωτότοκος πάσης*
κτίσεως, αὐτὸς ὁ υἱὸς τοῦ Θεοῦ, υἱὸς ἀνθρώπου γενή-
15 σεσθαι προεφητεύετο. Καὶ τοῦτο δὲ τὸ λόγιον ἡ τοῦ

ævum perseverans, neque innumerabiles adversus illud insidiæ proficient, sed divina sua et plus quam humana virtute quod divinitus afflatum atque insuperabile habuit prophetia, quæ de ipso extat, palam omni tempore demonstrabit. Ubi vero Deum per sanctum suum jurantem audis, patrem accipe jurantem per Deum Verbum, qui omnia sæcula antecedit, sanctum utique atque unicum suum filium, quem varie ut Deum ante a nobis expositi sermones celebraverunt, per quem jurat Deus et pater ipsius, tanquam per dilectum, se eum qui de semine David oriatur in infinitum sæculum glorificaturum: quod ipsum etiam est factum quo tempore Verbum caro effectum est, et eum, qui de semine David oriebatur, assumpsit Deumque effecit.
2 Reg. 7, 14. Quocirca filium quoque eundem appellat, dicens: *Ego ero illi in*
Ps. 89, 27. *patrem, et ipse erit mihi in filium.* Et rursus, *Et ego primogenitum ponam illum.* Planissime igitur in his verbis filius Dei primogenitus de semine David futurus dictus est, adeo quidem, ut unus atque idem sit filius David cum filio Dei, et filius Dei cum filio David, in
Col. 1, 15. quibus evidentissime *primogenitus omnis creaturæ* ipse filius Dei, filius hominis futurus canebatur. Hoc autem oraculum scriptura evange-

εὐαγγελίου γραφὴ ἐπισφραγίζεται, δι' [d] ὧν φησιν ἐπι-
στάντα τὸν Γαβριὴλ τῇ ἁγίᾳ παρθένῳ φάναι περὶ τοῦ
Σωτῆρος ἡμῶν, οὗτος ἔσται μέγας, καὶ υἱὸς ὑψίστου κλη-
θήσεται, καὶ δώσει αὐτῷ Κύριος ὁ Θεὸς τὸν θρόνον Δαβὶδ
τοῦ πατρὸς αὐτοῦ, καὶ βασιλεύσει ἐπὶ τὸν οἶκον Ἰακὼβ εἰς b
τοὺς αἰῶνας, καὶ τῆς βασιλείας αὐτοῦ οὐκ ἔσται τέλος.
16 Καὶ μετὰ βραχέα δὲ ἐν τῷ αὐτῷ εὐαγγελίῳ Ζαχαρίας
ὁ τοῦ Ἰωάννου πατὴρ τάδε περὶ τοῦ Χριστοῦ θεσπίζει,
Εὐλογητὸς Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ, ὅτι ἐπεσκέψατο καὶ
ἐποίησε λύτρωσιν τῷ λαῷ αὐτοῦ, καὶ ἤγειρε κέρας σωτηρίας
ἡμῖν ἐν οἴκῳ Δαβὶδ τοῦ παιδὸς αὐτοῦ καθὼς ἐλάλησε διὰ
17 στόματος τῶν ἁγίων ἀπ' αἰῶνος αὐτοῦ προφητῶν. Ἀλλ'
ὅτι μὲν τὸν ἐπηγγελμένον τῷ Δαβὶδ αἰώνιον θρόνον ὁ
Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ c
καὶ οὐδὲ ἄλλος ἀνθρώπων ἀπείληφεν, ἱκαναὶ πιστώ-
σασθαι αἱ προπαρατεθεῖσαι μαρτυρίαι, ἥ τε τοῦ Γαβριὴλ,
καὶ ἡ τοῦ Ζαχαρίου, δι' ὧν καὶ συνίσταται ἐκ σπέρ-
18 ματος γεγονὼς Δαβὶδ κατὰ σάρκα. Τίνι δὲ λόγῳ τὸν
Ἰωσὴφ γενεαλογοῦσιν οἱ ἱεροὶ εὐαγγελισταὶ, καίπερ μὴ
ὄντος τοῦ Σωτῆρος ἡμῶν ἐξ αὐτοῦ ἀλλ' ἐξ ἁγίου Πνεύ-

[d] ὧν] ὃν P. ut vulg. S.

lica quasi signo impresso confirmat, ubi ait, Gabriel cum adstitisset, virgini dixisse de Salvatore nostro, *Hic erit magnus et filius altissimi* (Luc. 1, 32.) *vocabitur, et dabit ei Dominus Deus sedem David patris ejus, et regnabit in domo Jacob in æternum, et regni ejus non erit finis.* Et post pauca in eodem evangelio, Zacharias Joannis pater hæc de Christo divinat, *Benedictus Dominus Deus Israel, quia visitavit et fecit redemptionem* (Luc. 1, 68.) *populo suo, et erexit cornu salutis nobis in domo David pueri sui, sicut locutus est per os sanctorum, qui a sæculo sunt prophetarum ejus.* Quod vero promissam ipsi David æternam sedem Salvator et Dominus noster Jesus, qui Christus est Dei, neque alius ex hominum genere quispiam acceperit, satis ea quæ superius posita sunt testimonia comprobaverint, necnon ipsius Gabriel et Zachariæ, in quibus etiam illud confirmatur, quod, quatenus ad humanam ejus naturam pertinet, de semine David natus est. Cæterum, qua ratione ipsius Joseph genus sancti evangelistæ describant, quamvis Salvator noster ex eo natus non sit, sed de Spiritu sancto et sancta virgine,

ματος καὶ τῆς ἁγίας παρθένου, ὅπως τε καὶ αὔτη ἡ τοῦ Κυρίου μήτηρ ἀπὸ γένους καὶ σπέρματος ἀποδείκνυται εἶναι Δαβὶδ, ἐν τῷ πρώτῳ τῶν εἰς τὴν γενεαλογίαν τοῦ d Σωτῆρος ἡμῶν ζητημάτων καὶ λύσεων διειληφότες, ἐπ' ἐκεῖνα τοὺς φιλομαθεῖς ἀναπέμπομεν, ἐφ' ἑτέραν ἡμᾶς ὑπόθεσιν κατεπείγοντος τοῦ παρόντος καιροῦ.

ΑΠΟ ΨΑΛΜΟΥ οα'.

Περὶ [e] Σολόμωνος, καὶ τοῦ ἐκ σπέρματος αὐτοῦ προελευσομένου.

Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως.

19 Καὶ ἑξῆς ἐπιλέγει· p. 354

Καὶ συμπαραμενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης, γενεᾶς γενεῶν, καταβήσεται ὡς [f] ὑετὸς ἐπὶ πόκον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, καὶ κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.

20 Καὶ μετὰ βραχέα φησὶν,

Ὑπεραρθήσεται ὑπὲρ τὸν Λίβανον ὁ καρπὸς αὐτοῦ. b Ἔσται τὸ ὄνομα αὐτοῦ εὐλογημένον εἰς [g] τοὺς αἰῶνας, πρὸ τοῦ ἡλίου διαμενεῖ τὸ ὄνομα αὐτοῦ, καὶ ἐνευλογηθήσονται ἐν

[e] Σολόμωντος] σολόμωνος P.S. [f] ἱετὸς S. [g] τὸν αἰῶνα] τοὺς αἰῶνας P.

quoque modo hæc ipsius Domini mater de genere ex semine David fuisse ostendatur, in primo et quæstionum et solutionum, quæ ad generis Salvatoris nostri seriem atque enarrationem pertinent, explicavimus. Ad illa igitur eos, qui discere cupiunt, remittimus, quando ad aliud scribendi argumentum præsens nos tempus revocat atque impellit.

A PSALMO LXXI. VII.

Ps. 71, 1. De Solomone et eo qui ex semine ejus procedet.

Deus judicium tuum regi da, et justitiam tuam filio regis. Ac deinceps adjungit, *Et permanebit cum sole et ante lunam, generationes generationum, descendet sicut pluvia in vellus, et sicut stillicidia stillantia super terram, orietur in diebus ejus justitia, et abundantia pacis donec auferatur luna, et dominabitur a mari usque ad mare, et a flumine usque ad terminos orbis terræ.* Et post pauca sic ait, *Superextolletur super Libanum fructus ejus, erit nomen ejus benedictum in sæcula, ante solem permanebit nomen ejus, et benedicentur in ipso*

αὐτῷ πᾶσαι αἱ φυλαὶ τῆς γῆς, πάντα τὰ ἔθνη μακαριοῦσιν αὐτόν.

21 Ἐπειδὴ γέγραπται εἰς [h]Σολόμωνα ὁ Ψαλμὸς, ὁ πρῶ-
τος τοῦ Ψαλμοῦ στίχος εἰς αὐτὸν ἀναφέροιτο, τὰ δὲ
ἑπόμενα πάντα εἰς τὸν υἱὸν Σολόμωνος, οὐ τὸν Ῥοβοὰμ,
ὃς μετ' αὐτὸν ἐβασίλευσε [i]τοῦ Ἰσραὴλ, ἀλλὰ τὸν ἐκ
σπέρματος αὐτοῦ κατὰ σάρκα γενόμενον τὸν Χριστὸν
22 τοῦ Θεοῦ. Ὅτι γὰρ οὐκ ἐπὶ τὸν Σολόμωνα, οὐδὲ ἐπὶ
τὸν τούτου διάδοχον ἀναφέρειν δυνατὸν τὰ ἐν τῷ Ψαλμῷ
διὰ τὰ περὶ αὐτοῦ δεδηλωμένα πᾶς ὁ μὴ ἀνεπιστήμων c
τῶν θείων ὁμολογήσει γραφῶν. Ἀλλὰ καὶ πῶς οἷόν τε
ἐπὶ Σολόμωνα ἢ ἐπὶ τὸν τούτου υἱὸν Ῥοβοὰμ ἐκλαμ-
βάνειν τὰ ἐμφερόμενα δι' ὅλου τοῦ Ψαλμοῦ; οἷον τὸ,
*Κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ
ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.* Καὶ τὸ, *Συμπαρα-
μενεῖ τῷ ἡλίῳ, καὶ πρὸ τῆς σελήνης γενεᾶς γενεῶν*, καὶ ὅσα
23 ἄλλα τούτοις ὅμοια ἐπιλέγεται. Διόπερ ἀβασανίστως
ἀποδοθείη ἂν ὁ μὲν φάσκων ἐν ἀρχῇ τοῦ Ψαλμοῦ λόγος,
Ὁ Θεὸς τὸ κρίμα σου τῷ βασιλεῖ δὸς, ἐπ' αὐτὸν ἐκεῖνον
Σολόμωνα· ὁ ἐπιλέγων δὲ, *καὶ τὴν δικαιοσύνην σου τῷ*

[h] σολομῶνα S. qui mox σολόμῶνος et σολόμῶνα. [i] τὸ S.

omnes tribus terræ, omnes gentes beatificabunt eum. Quando ergo in Solomonem scriptus est Psalmus, primus Psalmi versiculus ad illum referatur, quæ vero sequuntur omnia ad filium Solomonis, non Rhoboam, qui post illum regnavit in Hierusalem, sed ad eum, qui de ejus semine ratione humanæ naturæ profectus est, Christum Dei. Quod enim neque ad Solomonem, neque ad ejus successorem referri possint ea, quæ in Psalmo continentur, propter ea, quæ de illo cognita habentur, quicunque divinarum scripturarum imperitus non est, facile confitebitur. Etenim qui fieri potest, ut de Solomone, aut de ejus filio Rhoboam accipiantur, quæ per totum Psalmum feruntur? quale est illud: *Dominabitur a mari usque ad mare, et a flumine usque ad terminos orbis terræ.* Et illud, *Permanebit cum sole, et ante lunam generationes generationum*, et quæcunque alia his ipsis similia adjunguntur. Quapropter sine multa admodum exploratione, quæ quidem verba initio Psalmi habentur, *Deus judicium tuum regi da*, sane ad illum ipsum Solomonem referantur, quæ vero sequuntur, *Et justitiam*

υἱῷ τοῦ βασιλέως, ἐπὶ τὸν Σολόμωνος υἱὸν, οὐ τὸν πρωτότοκον ἐκεῖνον τὸν διάδοχον αὐτοῦ τῆς βασιλείας γενόμενον, (οὐδ' [k]ὅλοις γὰρ ἐκεῖνος ἑπτακαίδεκα ἔτεσι μόνου τοῦ Ἰουδαίων ἔθνους προστὰς κάκιστα κέχρητο τῇ ἀρχῇ,) ἀλλ' οὐδ' ἐφ' ἕτερον τῶν Ῥοβοὰμ τὸν θρόνον τῆς τοῦ Σολόμωνος βασιλείας διαδεξαμένων, ἐπὶ μόνον δὲ τὸν ἐκ σπέρματος Δαβὶδ, οὕτω καὶ τοῦ Σολόμωνος d
24 υἱὸν ὡς καὶ τοῦ Δαβὶδ χρηματίσαντα. Οὗτος δ' ἦν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστός. Τούτου γὰρ μόνου καὶ οὐδ' ἑτέρου τῶν πώποτε ὁ τῆς ἐνθέου βασιλείας θρόνος συμπαραμενεῖ τῷ ἡλίῳ. Καὶ οὗτός γε, ἀλλ' οὐδεὶς ἕτερος ἀνθρώπων, πρὸ τῆς σελήνης καὶ πρὸ τῆς τοῦ κόσμου συστάσεως, ἅτε λόγος ὢν Θεοῦ, p. 355
προϋπῆρχεν, ἔσταξέ τε μόνος οὗτος οὐρανόθεν δρόσου δίκην ἐπὶ πᾶσαν τὴν γῆν· εἴρηταί [l]τε αὐτὸν καὶ εἰς πάντας ἀνθρώπους ἀνατεταλκέναι κατὰ [m]τὰ μικρῷ πρόσθεν [n]ἡμῖν ἀποδεδομένα, καὶ δικαιοσύνη παραμένουσα μέχρι τῆς τοῦ βίου συντελείας, ἥτις ἀνταναίρεσις
25 ὠνόμασται τῆς σελήνης. Ἐναργῶς τε ἡ τοῦ Σωτῆρος ἡμῶν δύναμις κρατεῖ καὶ κυριεύει τῶν ἐξ Ἑώας θαλάσ-

[k] ὅλης S. [l] δὲ] τε αὐτὸν P. [m] τὰ om. S. [n] ὑμῖν S.

tuam filio regis, ad Solomonis filium, non illum primogenitum, qui illi in regno successit (nam ille, quum soli Judaicæ genti ne totos quidem X et VII annos præfuisset, pessime usus est imperio) sed nec ad alium præterea quempiam eorum, qui post Rhoboam in regno Solomonis successerint, sed ad solum a David oriundum, qui ita Solomonis filius ut ipsius David dictus est. Hic autem fuit Salvator et Dominus noster Jesus Christus. Hujus enim unius, nec alterius cujuspiam eorum qui unquam fuerint, divini regni atque imperii sedes permansura est cum sole, et hic idem nec alius quispiam ex hominum genere ante lunam et ante mundi constitutionem, tanquam is qui Dei sit Verbum, ab initio fuit, atque hic solus cœlitus in omnem terram roris instar stillavit: dictum quoque est illum ad omnes homines exortum esse, in iis quæ paulo ante a nobis exposita sunt, et justitiam permanentem usque ad vitæ consummationem, quæ lunæ sublatio nominata est. Evidenter vero Salvatoris nostri virtus dominatur atque imperat ab Eoo mari usque ad solem occidentem, quæ

σης καὶ ἐπὶ δύοντα ἥλιον, ἐνεργεῖν μὲν ἀρξαμένη ἀπὸ b
ποταμοῦ, ἤτοι τοῦ κατὰ λουτρὸν μυστηρίου, ἢ καὶ ἀφ'
οὗπερ κατὰ τὸν Ἰορδάνην πρῶτον φανεὶς ἤρξατο τῆς εἰς
26 ἀνθρώπους εὐεργεσίας. Παρεκταθεῖσα γοῦν ἐξ ἐκείνου
ἡ ἐν ἀνθρώποις βασιλεία αὐτοῦ διῆλθε καθ' ὅλης τῆς
οὐκουμένης. Λιβάνου δὲ ἐπινοουμένης τῆς Ἱερουσαλὴμ,
ὡς ἀπὸ πλείστων ὅσων προφητειῶν ἀποδείκνυται, διὰ
τὸ πάλαι ἐν αὐτῇ ἁγίασμα, καὶ τὸ θυσιαστήριον, τά τε
ἐπὶ τούτῳ εἰς τιμὴν ἀναφερόμενα λιβάνου δίκην τῷ
Θεῷ, ὁ τοῦ Χριστοῦ καρπὸς ἡ ἐξ ἐθνῶν ἐκκλησία ὑπὲρ
27 τὸν Λίβανον ἀρθήσεσθαι θεσπίζεται. Ἐπὶ σχολῆς δ' c
ἂν ὁ [o]φιλομαθὴς ἑαυτῷ τὸν Ψαλμὸν πρὸς λέξιν βασα-
νίσας, μόνῳ τῷ ἡμετέρῳ Κυρίῳ τὰ ἐν αὐτῷ προσήκειν
ὁμολογήσειεν ἂν, ἀλλὰ οὔτε τῷ παλαιῷ Σολόμωνι, οὔτε
ἑτέρῳ τῶν μετ' αὐτὸν βασιλέων ἑνὸς ἔθνους τῶν Ἰου-
δαίων ἀρξάντων, καὶ οὐ πλεῖον ὀλιγοστῶν [p]ἐτῶν, καὶ
οὐδ' ἐφ' ἑτέρας ἢ μόνης τῆς Ἰουδαίας γῆς.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

28 Καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης Ἰεσσαὶ, καὶ ἄνθος d Περὶ Ἰεσσαὶ,

[o] φιλομαθεὶς S. [p] ἐθνῶν] ἐτῶν P.

quidem virtus actionum suarum initium fecit a flumine, quod est aut a lavacri mysterio aut a Jordane, ubi quum primum se videndum præbuerit, hominibus cœpit esse beneficus. Ex illo ergo profectum illius inter homines regnum universam terram peragravit. Quum vero per Libanum Hierusalem intelligatur, ut ex quam plurimis prophetiis apparet, propter antiquum in illa sanctuarium, et altare, et quæ in eo ad honorem Deo turis instar offerebantur, Christi fructus, quæ est ex gentibus ecclesia, super Libanum extollendus canitur. Cæterum, studiosior quispiam discendi ubi per otium apud seipsum per singula verba eundem Psalmum exploraverit, uni Domino nostro convenire quæ in eo continentur facile confitebitur. Solomoni autem, aut alii cuipiam eorum regum, qui post Solomonem paucis annis non amplius uni Judaicæ genti non alibi quam in una Judæa terra imperaverint, nequaquam.

AB ESAIA. VIII.

Et egredietur virga de radice Jesse, et flos de radice ejus ascendet, et Es. 11, 1. De Jesso,

καὶ τοῦ ἐκ σπέρματος αὐτοῦ γενησομένου.

ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπαναπαύσεται ἐπὶ αὐτὸν πνεῦμα
Θεοῦ, πνεῦμα σοφίας καὶ συνέσεως, πνεῦμα βουλῆς καὶ ἰσχύος,
πνεῦμα γνώσεως καὶ εὐσεβείας, ἐμπλήσει αὐτὸν πνεῦμα φό-
βου Θεοῦ. Οὐ κατὰ τὴν δόξαν κρινεῖ, οὐδὲ κατὰ τὴν λαλιὰν
ἐλέγξει, ἀλλὰ κρινεῖ ταπεινῷ κρίσιν, καὶ ἐλέγξει τοὺς ταπει-
29 νοὺς τῆς γῆς. Καὶ ἔσται δικαιοσύνῃ ἐζωσμένος τὴν ὀσφὺν
αὐτοῦ, καὶ ἀληθείᾳ [q]εἱλημένος τὰς πλευρὰς αὐτοῦ, καὶ συμ-
βοσκηθήσεται λύκος μετὰ ἀρνὸς, καὶ παρδαλὶς συναναπαύ-
σεται ἐρίφῳ, καὶ μοσχάριον καὶ λέων ἅμα βοσκηθήσονται, p. 356
καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν
ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ ἔσται ἡ ἀνάπαυσις αὐτοῦ
τιμή.

30 Ὁ δηλούμενος ἐνταῦθα Ἰεσσαὶ πατὴρ ἦν τοῦ Δαβίδ.
Ὥσπερ οὖν ἐν ταῖς πρὸ ταύτης προφητείαις ἐκ καρποῦ
καὶ σπέρματος Δαβὶδ προελεύσεσθαι ἐλέγετο, καὶ πάλιν
ἐκ σπέρματος [r]Σολόμωνος, τὸν αὐτὸν τρόπον κἀνταῦθα,
πλείστοις [s]ἔτεσιν ὕστερον τῆς τοῦ Δαβὶδ οὐ μόνον
ἀλλὰ καὶ τῆς τοῦ Σολόμωνος τελευτῆς, ἐκ ῥίζης Ἰεσσαὶ,
δῆλον δ' ὅτι καὶ ἐκ τῆς τοῦ Δαβὶδ, προελεύσεσθαί τις
31 θεσπίζεται. Λύσει δὲ ὁ παρὼν λόγος τὴν ἐν τοῖς b
πρόσθεν νομιζομένην [t]παρὰ Ἰουδαίοις περὶ τοῦ Σολό-

[q] εἱλημένος] εἱλημμένος S. [r] σολομὼν S. [s] ἔτεσιν hic add. S. om. post τελευτῆς. [t] παρὰ] περὶ S.

et eo qui ex semine ejus nascetur.

requiescet super eum spiritus Dei, spiritus sapientiæ et intellectus, spiritus consilii et fortitudinis, spiritus scientiæ et pietatis: replebit eum spiritus timoris Dei, non secundum opinionem judicabit, neque secundum loquelam redarguet, sed judicabit humili judicium, et redarguet humiles terræ, et erit justitia cingulum lumborum ejus, et veritas indumentum laterum ejus, et pascetur simul lupus cum agno, et pardus simul quiescet cum hœdo, et vitulus et leo simul pascentur, et erit radix Jesse, et qui surgit imperare gentibus, in eo gentes sperabunt, et erit requies ejus honor. Hic Jesse, qui hoc in loco indicatur, pater fuit David. Quemadmodum enim in iis prophetiis, quæ ipsam hanc antecesserunt, de fructu et semine David proditurus dicebatur, atque item de semine Solomonis, eodem modo etiam hic plurimis annis post mortem non solum David, sed etiam Solomonis, de radice Jesse, hoc est de radice David, proditurus quidam prædicitur. Præsens autem ratio ea dissolvet, quæ in superioribus apud Judæos de Solomone credebantur,

μωνος [u] ἀμφιβολίαν. Μετὰ πλεῖστον γοῦν τῆς τοῦ
Σολόμωνος τελευτῆς χρόνον ταῦτα Ἡσαΐας περί τινος
ἑτέρου προφητεύει, μέλλοντος ἐκ ῥίζης Ἰεσσαὶ καὶ ἐκ
32 σπέρματος Δαβὶδ ἀναφανήσεσθαι. Ὅτι [x] δὲ οὐδ' ἐφ'
ἕτερον ἢ ἐπὶ τὸν ἡμέτερον Σωτῆρα τὸν Χριστὸν τοῦ
Θεοῦ ἀνάγεται τὰ δηλούμενα, ἐκ ῥίζης γενόμενον Δαβὶδ
τε καὶ Ἰεσσαὶ, οὐκ οἶμαί τινα ἀμφιβάλλειν, ἐπιστή-
σαντα τῇτε ἐπαγγελίᾳ τῆς προρρήσεως φασκούσῃ, Καὶ c
ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν,
ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι, καὶ τοῖς ἐπὶ τοῦ Σωτῆρος ἡμῶν
33 δεικνυμένοις ἀποτελέσμασι. Μόνος γοῦν οὗτος μετὰ
τὴν ἐκ νεκρῶν ἀνάστασιν, δι' ἣν καὶ οἶμαι αὐτὸν ἀνιστά-
μενον ἐπικεκλῆσθαι, οὐ τοῦ Ἰουδαίων λαοῦ ἀλλὰ τῶν
ἐθνῶν ἁπάντων ἦρξεν, ὡς μὴ [y] δεδεῆσθαι τὸ λόγιον
ἑρμηνείας, σαφῶς προδήλου καθεστῶτος, ὅπως εἰς αὐτὸν
τέλος εἴληφε μετὰ τῶν ἄλλων καὶ τὸ, ἐπ' αὐτῷ ἔθνη ἐλ-
34 πιοῦσιν. Τὰ δ' ὡς περὶ ζῴων καὶ θηρίων ἡμερουμένων
[z] καὶ τὸ ἄγριον ἦθος καὶ ἀτίθασον ἀποθησομένων ἐπὶ
τῇ τοῦ προφητευομένου ἐπιδημίᾳ λεγόμενα ἀλληγοροῖτ'

[u] ἀμφιβολίαν—χρόνον] Sic P. περὶ τοῦ σολόμωνος τελευτῆς χρόνον vulg. S. [x] δὲ om. S. [y] δεδῆσθαι S. [z] καὶ τὸ—προφητευομένου add. P.

quum illius mortis tempus constet, et hæc eadem Esaias de quodam alio vaticinetur, qui sit de radice Jesse et de semine David proditurus. Quod vero non ad alium quam ad nostrum Salvatorem Christum Dei, qui de radice David et Jesse ortus est, referenda sint quæ proxime citavimus, dubitaturum arbitror neminem, qui et promissum oraculi attenderit, quod ait, *Et erit radix Jesse, et qui surgit ut imperet gentibus, in eo gentes sperabunt,* et rerum eventa quæ de Salvatore nostro demonstrantur. Solus enim hic ubi a morte surrexit, propter quod etiam illum *surgentem* vocatum esse arbitror, non Judaico populo sed universis gentibus imperavit, adeo quidem ut ne ulla quidem interpretatione indigere videatur oraculum, quum planissime constet in illo finem accepisse una cum aliis illud quoque, *In eo gentes sperabunt.* Quæ vero tanquam de animalibus et feris mansuefaciendis, et agrestes mores atque indomitos deposituris, in ejus adventu de quo loquitur prophetia dicuntur, per figuram referri

ἂν ἐπὶ τρόπους ἀπηνεῖς καὶ ἀγρίους καὶ ἤθη ἀνδρῶν d
θηριώδη διὰ τῆς τοῦ Χριστοῦ διδασκαλίας τῆς ἀλογίας
35 καὶ θηριωδίας μεταθησόμενα. [a] Ἀλληγοροῖντο δ' ἂν
ταῦτα σαφῶς οὕτως, ἂν καὶ τὴν δηλουμένην διὰ τῆς
προφητείας ῥίζαν Ἰεσσαὶ, καὶ τὴν ῥάβδον, καὶ τὸ ἄνθος
τροπολογῶν [b] τις ἔτι ἑρμηνεύσειε, καὶ ὡς ἂν ἐπινοηθείη
δικαιοσύνῃ μὲν τὰς πλευρὰς ζωννύμενος, ἀληθείᾳ δὲ τὴν
36 ὀσφὺν εἰλημμένος. Ὡς γὰρ οὐ δυνατὸν ἑτέρως ταῦτα ἢ
διὰ μόνης ἀλληγορικῆς ἀποδόσεως ἑρμηνεύειν, τὸν αὐτὸν
τρόπον ἕπεται καὶ τὰ περὶ τῶν κατὰ τοὺς τόπους ὀνομαζομένων ζῴων χρῆναι δεῖν ἐκλαμβάνειν.

ΑΠΟ ΤΟΥ ΙΕΡΕΜΙΟΥ. p. 357

Ἀνατολὴ δικαία ἐκ σπέρματος Δαβὶδ ἀνισταμένη, καὶ ἀνθρώπων ὁ αὐτὸς βασιλεὺς, καινή τε

37 Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει Κύριος, καὶ ἀναστήσω τῷ b
Δαβὶδ ἀνατολὴν δικαίαν, καὶ βασιλεύσει βασιλεὺς, καὶ συνήσει, καὶ ποιήσει κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Ἐν ταῖς ἡμέραις αὐτοῦ σωθήσεται Ἰούδας, καὶ Ἰσραὴλ κατασκηνώσει πεποιθὼς, καὶ τοῦτο τὸ ὄνομα ᾧ καλέσει αὐτὸν Κύριος, Ἰωσεδεκεὶμ ἐν τοῖς προφήταις. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, εἶπε Κύριος, συντρίψω τὸν ζυγὸν ἀπὸ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς αὐτῶν διαρρήξω, καὶ οὐκ ἐργῶνται ἔτι θεοῖς

[a] ἀλληγοροῖτο] ἀλληγοροῖντο P. [b] τις ἔτι om. P.

poterunt ad mores immites atque agrestes, et ad victus hominum feros, qui per Christi doctrinam immanitatem priorem ac feritatem abjecerint. Planissime autem horum figuratus sensus aperietur, si quis radicem Jesse, quæ in prophetia continetur, et virgam, et florem ad sensum convertens interpretetur, exponatque qua ratione intelligatur *justitia latera cinxisse, et veritate lumbos induisse.* Sicut enim hæc non aliter possumus quam per figuratam expositionem interpretari, ita sequitur, ut ea quoque accipere oporteat, quæ variis in locis sub animalium nominibus proferuntur.

AB HIEREMIA. IX.

Jer. 23, 6. Ortus justus ex semine David exurgens, et hominum idem rex, nova-

Ecce dies veniunt, dicit Dominus, et suscitabo ipsi David ortum justum, et regnabit rex, et intelliget, et faciet judicium, et justitiam in terra, in diebus ejus servabitur Judas, et Israel habitabit confidens, et hoc nomen quo vocabit ipsum Dominus, Josedecim inter prophetas, [Jer. 30, 8.] *in die illa, dixit Dominus, conteram jugum de collo eorum, et vincula*

ἑτέροις, ἀλλὰ ἐργῶνται Κυρίῳ τῷ Θεῷ αὐτῶν, καὶ τὸν Δαβὶδ
βασιλέα αὐτῶν ἀναστήσω αὐτοῖς. c
38 Μετὰ πλεῖστον τῆς τελευτῆς τοῦ Δαβὶδ ἀλλὰ καὶ
τοῦ Σολόμωνος χρόνον ταῦτα καὶ Ἱερεμίας περὶ τοῦ
μέλλοντος ἐκ σπέρματος ἀναστήσεσθαι Δαβὶδ βασι-
λέως θεσπίζει, ὃν πρῶτον μὲν ἀνατολὴν καλεῖ, καὶ οὐχ
ἁπλῶς ἀλλὰ δικαίαν, ὡς ἂν ἐξ ἡλίου δικαιοσύνης συ-
στησόμενον, περὶ οὗ διειλήφαμεν ἐν ταῖς περὶ τοῦ δευ-
τέρου αἰτίου ἀποδείξεσιν, ἐν αἷς τὸν προόντα τοῦ Θεοῦ
Λόγον μυρίαις κεχρημένον ἐπωνυμίαις καὶ ἥλιον δικαιο- d
σύνης ὀνομάζεσθαι ἀπεδείκνυμεν, τὴν φάσκουσαν προ-
φητείαν, τοῖς δὲ φοβουμένοις με ἀνατελεῖ ἥλιος δικαιοσύνης,
39 παραθέμενοι. Ὥσπερ οὖν ἥλιον δικαιοσύνης, οὕτως καὶ
ἀνατολὴν δικαίαν ὁ λόγος ἐπὶ τοῦ παρόντος ἀναστήσειν
τῷ Δαβὶδ προφητεύει. Τὸν αὐτὸν δὲ τοῦτον βασιλέα
συνιέντα, καὶ ποιοῦντα κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς
προαγορεύει. Εἶτα καὶ ὁμωνύμως τὸν αὐτὸν καλεῖ τῷ
40 πάλαι πρότερον τετελευτηκότι Δαβίδ. Πρόσχες γὰρ
ἐπιμελῶς τῷ ἀνωτέρω μὲν καὶ ἀναστήσω τῷ Δαβὶδ ἀνα-
τολὴν δικαίαν, ἐπὶ τέλει δὲ ἐπιφερομένῳ τῷ, καὶ τὸν

προσηγορία τεθησομένη τοῖς ὑπ' αὐτῷ βασιλευθησομένοις, καὶ τῶν προτέρων ἁμαρτημάτων λύσις.

eorum frangam, et non operabuntur amplius diis alienis, sed operabuntur Domino Deo ipsorum, et regem David suscitabo eis. Longo admodum tempore post mortem non solum David, sed etiam Solomonis, hæc Hieremias de eo rege, qui de semine David esset oriturus, divinat: quem primo quidem *ortum* vocat, neque simpliciter *ortum*, sed *ortum justum*, tanquam eum, qui de sole justitiæ sit constituendus, de quo sane disseruimus, in iis, quæ antea de Deo Verbo demonstravimus, in quibus Dei Verbum, quod antea erat innumerabilibus appellatum nominibus, etiam *justitiæ solem* nominari planum fecimus, ubi prophetiam quæ ita ait, *Iis autem qui me timent, orietur sol justitiæ*, citavimus. Sicut ergo *solem justitiæ*, ita etiam *ortum justum* præsens oraculum surrecturum ipsi David vaticinatur. Porro eundem *regem intelligentem et facientem judicium et justitiam in terra* appellat. Deinde eundem vocat uno et eodem nomine cum eo, qui multo ante decessit, David. Attende enim diligenter quum illud superius, *Et suscitabo ipsi David ortum justum*, tum illud quod ad extremum additum est, *Et David regem suum suscitabo ei.* Cui vero ei, nisi ipsi

que constituenda appellatio iis, qui sub eo regnabunt, itemque priorum peccatorum solutio.

Δαβὶδ βασιλέα αὐτοῦ ἀναστήσω αὐτῷ. Τίνι δὲ αὐτῷ, ἢ
τῷ Δαβίδ; τούτῳ γὰρ ἔφησεν ἀναστήσειν τὴν ἀνατο-
41 λὴν τὴν δικαίαν. Καὶ ὁ Ζαχαρίας δὲ περὶ τοῦ αὐτοῦ p. 358
προφητεύων ὁμοίως ἀνατολὴν αὐτὸν καλεῖ, λέγων, Ἰδοὺ
ἀνὴρ, ἀνατολὴ ὄνομα αὐτῷ, καὶ ὑποκάτωθεν αὐτοῦ ἀνατελεῖ
δικαιοσύνη. Καὶ πάλιν, καλέσω τὸν δοῦλόν μου ἀνατολήν.
Ἀλλ᾽ οὐδείς γε μετὰ τοὺς Ἱερεμίου χρόνους, ἀλλ᾽ οὐδὲ
μετὰ τοὺς τοῦ Ζαχαρίου, τοιοῦτος ἀνέστη τοῖς ἐκ περι-
τομῆς, ὡς ἀνατολὴ δικαία κληθῆναι, καὶ [c] συνιεὶς βασι-
42 λεὺς καὶ ποιῶν κρίμα καὶ δικαιοσύνην ἐπὶ τῆς γῆς. Εἰ δὲ
λέγοι τις διὰ τούτων Ἰησοῦν τὸν τοῦ Ἰωσεδὲκ δηλοῦ-
σθαι, λεκτέον ὅτι οὐ συνέστηκεν ὁ λόγος αὐτῷ. Οὔτε
γὰρ ἀπὸ γένους Δαβὶδ οὗτος ἦν, οὔτε ὡς βασιλεὺς ἐβα- b
43 σίλευσεν. Πῶς δὲ ἐπ᾽ ἐκεῖνον δύναται ἁρμόττειν τὸ,
καὶ τὸν Δαβὶδ βασιλέα ἀναστήσω αὐτῷ, ὁπότε φυλῆς
μὲν ἦν Λευὶ, τάξεως δ᾽ ἀρχιερατικῆς, καὶ γένους ἑτέρου
παρὰ τὸν Δαβὶδ, βασιλεὺς δ᾽ οὐδαμῶς γεγονὼς ἱστο-
ρεῖται; Ὥστε εἰ μηδεὶς ἕτερος εὑρίσκοιτο τοιοῦτος, ὥρα
τὸν προφητευόμενον καὶ διὰ τούτων ὁμολογεῖν μόνον
εἶναι τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν, τὸν καὶ ἐν ἑτέροις
φῶς τοῦ κόσμου καὶ φῶς τῶν ἐθνῶν ἀνηγορευμένον.

[c] συνιῶν P.

David? huic enim dixit se suscitaturum ortum justum. Zacharias
Zach. 6, 12. item de eodem vaticinans, ortum illum similiter vocat, *Ecce vir, ortus*
Zach. 3, 8. *nomen ei, et subter eum orietur justitia.* Et rursus, *Vocabo servum*
meum, ortum. Sed enim nullus post Hieremiæ tempora, ac ne post Zachariæ quidem apud Judæos talis extitit, ut *oriens justus* vocaretur et *intelligens rex, et faciens judicium et justitiam in terra.* Quod si quis dicat in his Jesum filium Josedec significari, dicendum erit quod ratio hæc illi constare non potest. Nam hic neque de genere David fuit, neque tanquam rex regnavit. Quomodo autem illi potest accommodari illud, *Et David regem suscitabo ei*, quum et ex tribu Levi et ex ordine pontificio fuerit, et genere a David alienus, neque rex ullo modo extitisse memoretur? Quare si nullus alius invenitur talis, tempus jam fuerit eum de quo in his oraculis mentio facta est, et de quo illa præcipue loquuntur, fateri unum esse Salvatorem ac Dominum nostrum, qui alibi et lux mundi et lumen gentium vocatur.

44 Αὐτὸς τοιγαροῦν εἴη ἂν κἀνταῦθα ὁ προφητευόμενος, καὶ συνέστηκεν ἀψευδὴς ἡ πρόρρησις. Μόνος γὰρ ἐκ c σπέρματος Δαβὶδ ὁμωνύμως τῷ προπάτορι κατὰ διάνοιαν, ἐπεὶ ἑρμηνεύεται δυνατὸς χειρὶ, χρηματίσας, κρίμα καὶ δικαιοσύνην διὰ τῆς αὐτοῦ διδασκαλίας τοῖς ἐπὶ γῆς ἅπασιν ἐκήρυξε, καὶ μόνος τῶν πώποτε οὐκ ἐπὶ μέρους ἐβασίλευσε τῆς οἰκουμένης, ἀλλὰ ἐπὶ πᾶσαν τὴν γῆν καὶ μόνος ἀνέτειλε δικαιοσύνην, ἀκολούθως καὶ τῷ ἐν Ψαλμῷ περὶ αὐτοῦ λεγομένῳ, *ἀνατελεῖ ἐν ταῖς ἡμέραις*
45 *αὐτοῦ δικαιοσύνη καὶ πλῆθος εἰρήνης.* Ἰούδας δὲ σωθησόμενος καὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ, πάντες εἰσὶν d οἱ τῇ δι' αὐτοῦ θεοσεβείᾳ προσεληλυθότες τοῦ ἐκ περιτομῆς λαοῦ, ἀπόστολοί τε αὐτοῦ καὶ μαθηταὶ καὶ εὐαγγελισταὶ, ἢ καὶ πάντες οἱ τὸν ἐν κρυπτῷ Ἰουδαῖον καὶ τὸν ἀληθινὸν Ἰσραὴλ τὸν κατὰ διάνοιαν ὁρῶντα Θεὸν
46 ἀποσώζοντες. *Οὐ γὰρ ὁ ἐν* [d] *τῷ φανερῷ Ἰουδαῖός ἐστι,* φησὶν ὁ ἀπόστολος, *οὐδὲ ἡ ἐν τῷ φανερῷ ἐν σαρκὶ περιτομὴ, ἀλλ' ὁ ἐν τῷ κρυπτῷ Ἰουδαῖος, καὶ περιτομὴ καρδίας ἐν πνεύματι, οὐ γράμματι, οὗ ὁ ἔπαινος οὐκ ἐξ ἀνθρώπων,*

[d] τῷ add. P. om. S.

Ipse igitur etiam hoc loco fuerit de quo prophetia loquitur, et sane absque mendacio constitit vaticinium. Solus enim de semine David qui eodem nomine cum prisco suo parente ad sensum sit dictus, quando ex interpretatione ille est manu potens, judicium et justitiam per suam ipsius doctrinam omnibus qui essent in terra nunciavit, et solus omnium eorum qui unquam fuerint non in parte aliqua orbis regnavit, sed in omni prorsus terra et solus ut exoriretur justitia author fuit, quemadmodum de ipso in Psalmo dictum est, *Orietur in diebus ejus justitia et abundantia pacis.* Judas autem atque Israel, qui in diebus illius servandi sunt, omnes sunt qui illius pietatem ac cultum ex Judaico populo acceperint, apostoli ejusdem et discipuli et evangelistæ, aut etiam omnes qui in occulto Judæum verumque Israel conservent, eum utique qui secundum sententiam Deum videat. *Non enim qui in aperto Judæus est,* inquit apostolus, *neque quæ in* Rom. 2, 28. *aperto in carne est circuncisio, sed qui in occulto Judæus, et circuncisio cordis in spiritu non in litera, cujus laus non ex hominibus, sed ex Deo est.* Hos igitur ex Christi vocatione Judæum in occulto et verum

ἀλλὰ ἐκ τοῦ Θεοῦ. Τούτους οὖν διὰ τῆς τοῦ Χριστοῦ
κλήσεως τὸν ἐν κρυπτῷ Ἰουδαῖον καὶ τὸν ἀληθῶς
Ἰσραὴλ φέροντας ἑτέρῳ φησὶ κληθήσεσθαι ὀνόματι,
οὐχὶ δὲ τῷ τοῦ Ἰουδαίου, οὐδὲ τῷ τοῦ Ἰσραὴλ, ἀλλὰ
47 ξένῳ τινὶ παρὰ ταῦτα. Τοῦτο γάρ φησι τὸ ὄνομα, ὃ p. 359
καλέσει αὐτοὺς Κύριος Ἰωσεδεκεὶμ, ὅπερ ἑρμηνεύεται,
οἱ τοῦ Θεοῦ δίκαιοι. Ἐφίστημι δὲ μήποτε πεποιημένον
ἐστὶ τοὔνομα ἀπὸ τοῦ [e] Ἰοσουὲ Ἰωσεδεκεὶμ, [f] ὃ παρὰ τῷ
Θεῷ οἱ τοῦ Ἰησοῦ μαθηταὶ κέκληνται, παρ' ἀνθρώποις
μὲν Ἑλληνικώτερον προσαγορευόμενοι ἀπὸ τῆς τοῦ
Χριστοῦ παρωνυμίας, κατὰ δὲ τὴν Ἑβραίων φωνὴν καὶ
παρὰ αὐτοῖς [g] τοῖς προφήταις, ἀπὸ τοῦ Ἰησοῦ, ὡς ἂν δι'
48 αὐτοῦ σεσωσμένοι, Ἰωσεδεκείμ. Διὸ λέλεκται, καὶ τοῦτο
τὸ ὄνομα ὃ καλέσει αὐτοὺς Κύριος, Ἰωσεδεκεὶμ ἐν τοῖς b
προφήταις. Ὁ δὴ οὖν μέλλων φησὶ διὰ τοῦ προφη-
τευομένου λαὸς κατὰ διάνοιαν Ἰούδας ὄντες καὶ Ἰσραὴλ,
ὀνομασθήσονται ἀπὸ τοῦ [h] Ἰοσουὲ Ἰωσεδεκεὶμ, καὶ τούτῳ
γε, φησὶ, κληθήσονται τῷ προσρήματι οὐ παρ' ἀνθρώ-
ποις, ἀλλὰ παρ' αὐτῷ τῷ Θεῷ, καὶ παρὰ τοῖς προφήταις
49 αὐτοῦ. Ἐπιμελῶς γὰρ πρόσχες τῷ λόγῳ φήσαντι, καὶ
τοῦτο τὸ ὄνομα, ὃ καλέσει αὐτοὺς Κύριος, Ἰωσεδεκεὶμ ἐν

[e] Ἰουσουὲ P. [f] ὃ om. P. [g] τοῖς] καὶ τοῖς S. [h] ἰωσουὲ P.

Israel referentes alio nomine esse vocandos dicit, non utique Judæos aut Israel, sed novo quodam præter hæc. Hoc enim, inquit, nomen, quo vocabit eos Dominus *Josedecim*, quod ex interprctatione est, *qui justi sunt Dei.* Considera autem num forsitan a Josue factum sit nomen, et Josedecim discipuli Jesu appellentur apud Deum, qui apud homines quidem Græco quodam more a Christo denominentur, Hebraica autem lingua tam apud ipsos quam apud prophetas ab ipso Jesu tanquam per illum servati *Josedecim.* Ex quo illud dictum est, *Et hoc nomen quo vocabit eos Dominus Josedecim inter prophetas.* Nam qui ejus de quo prophetia loquitur, inquit, populus futurus est, quum ad sensum acceptus Judas sit atque Israel, ab Josue nominabitur Josedecim, atque hac, inquit, appellatione vocabuntur non apud homines, sed apud Deum, et apud prophetas ejus. Attende enim diligenter ipsum oraculum, dum ait, *Et hoc nomen, quo vocabit eos*

τοῖς προφήταις. Μεταλαμβάνεται δὲ, ὡς ἔφην, τοὔνομα
50 εἰς τὴν Ἑλλήνων φωνὴν, οἱ τοῦ Θεοῦ δίκαιοι. Τούτων c
δὲ οὕτως σωθησομένων, τὸν παλαιὸν καὶ βαρὺν τῶν
πικρῶν δαιμόνων ζυγὸν συντρίψειν καὶ τοὺς οἷς τὸ πρὶν
συνείχοντο [i] δεσμοὺς τῶν ἀσεβημάτων διαρρήξειν ὁ Θεὸς
ἐπαγγέλλεται, ὡς μηκέτι [k] θεοῖς ἀλλοτρίοις δουλεύειν
51 αὐτοὺς, μόνῳ δὲ αὐτῷ καρποφορεῖν ἀρεσκόντως. Παρά-
θες δὲ τούτοις τὸ ἐν δευτέρῳ Ψαλμῷ ἐπὶ τῇ τοῦ Χριστοῦ
παρουσίᾳ καὶ τῇ τῶν ἐθνῶν κλήσει φάσκον λόγιον,
*Διαρρήξωμεν τοὺς δεσμοὺς αὐτῶν, καὶ ἀπορρίψωμεν ἀφ'
ἡμῶν τὸν ζυγὸν αὐτῶν.* Ὧι συγγενὲς ἡγοῦμαι [l] τυγχάνειν
τὸ μετὰ χεῖρας λέγον, [m] *ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἶπε Κύριος,
συντρίψω ζυγὸν ἀπὸ τραχήλου αὐτῶν, καὶ τοὺς δεσμοὺς
αὐτῶν διαρρήξω, καὶ οὐκ ἐργῶνται ἔτι θεοῖς ἀλλοτρίοις, ἀλλ'* d
52 *ἐργῶνται Κυρίῳ τῷ Θεῷ αὐτῶν.* Ἀλλ' ὅτι μὲν ἐκ καρποῦ
τῆς κοιλίας Δαβὶδ καὶ ἐκ σπέρματος Σολόμωνος καὶ ἐκ
ῥίζης Ἰεσσαὶ ὁ Χριστὸς τοῦ Θεοῦ γεννηθήσεσθαι προ-
είρηται, ὅπερ καὶ γέγονεν, ὅτι μετὰ μυρίων ἄλλων
προσηγοριῶν καὶ Δαβὶδ αὐτὸν ὀνομάζουσιν οἱ θεῖοι

[i] δεσμοὺς] δεσμοῖς P. [k] θεοῖς om. P. neque habuit interpres.
[l] τυγχάνει] τυγχάνειν P. [m] ἐν om. S.

Dominus, Josedecim inter prophetas, quod nomen, ut dixi, in nostram linguam conversum *justos Dei* significat. Quum autem hi sic servandi sint, antiquum et grave acerbissimorum dæmonum se contriturum jugum, et quibus antea tenebantur impietatis vinculis, ea se perfracturum pollicetur Deus. Quocirca non amplius alienis inservient, sed uni ipsi fructum gratissimum afferent. Huc adde illud quod in secundo Psalmo in adventu Christi vocationeque gentium dicit oraculum, *Disrumpamus vincula eorum, et projiciamus a nobis jugum ipsorum,* cui cognatum et simile esse arbitror quod nunc in manibus est, dicens, *In die illa,* dixit Dominus, *conteram jugum de* Ps. 2, 3.
collo eorum, et vincula eorum confringam, neque operabuntur amplius diis alienis, sed operabuntur Domino Deo suo. Cæterum, quod de fructu quidem ventris David, et de semine Solomonis, deque radice Jesse Christus Dei oriturus sit dictus, quod etiam ipsum factum est, quando cum innumerabilibus aliis appellationibus, etiam David ipsum divina vocant oracula, satis abunde probaverint ea, quæ jam dicta

λόγοι, αὐτάρκη πιστώσασθαι τὰ εἰρημένα· ὅτι δὲ καὶ ἐκ φυλῆς Ἰούδα λέγεται προελεύσεσθαι οὐδ' ἂν ζητηθείη, τῷ μὴ δ' ἑτέρας ἢ τῆς δηλωθείσεις φυλῆς καὶ αὐτὸν εἶναι τὸν Δαβίδ. Γένοιτο δ' ἂν ἐκ περιουσίας καὶ τούτου παραστατικὸν τὸ [n] παρὰ [o] Μωσεῖ λόγιον, τοῦτον ἔχον τὸν τρόπον·

ἈΠῸ ΤΗ͂Σ ΓΕΝΈΣΕΩΣ. p. 360

Ὡς ἐκ φυλῆς Ἰούδα γεννηθήσεται, καὶ τῶν ἐθνῶν προσδοκία ὁ Χριστὸς τοῦ Θεοῦ κατασταθήσεται.

53 Ἰούδα, σὲ [p] αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, προσκυνήσουσί σοι οἱ υἱοὶ τοῦ πατρός σου. Σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ [q] μου υἱὲ ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνον. Τίς b
ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ ᾧ ἀπόκειται· καὶ αὐτὸς ἔσται προσδοκία ἐθνῶν.

54 Δώδεκα φυλῶν παρ' Ἑβραίοις οὐσῶν δι' ὧν τὸ πᾶν ἔθνος συνεστήκει, μιᾶς τούτων προπάτωρ γέγονε καὶ ἀρχίφυλος ὁ Ἰούδας, πρὸς ὃν τεθέσπισται τὰ προκείμενα, ἐξ αὐτοῦ τὸν Χριστὸν προελεύσεσθαι σημαίνοντα. Εἰ γοῦν συναγάγοις ἐπὶ ταυτὸ καὶ παραθείης τῇ μετὰ χεῖρας τὰς ἐν τοῖς πρόσθεν τεθείσας προφητείας, εὕροις c

[n] περὶ S. [o] μωυσεῖ P. [p] αἰνέσουσιν] αἰνέσαισαν P.
[q] μου] μοι P.

sunt. Quod vero etiam de tribu Juda dicatur proditurus, ne quærendum quidem fuerit, quum ex alia nulla tribu, quam ex hac ipsa ortus sit ipse David. Porro idem hoc plenioris cujusdam fidei gratia oraculum quoque illud ostenderit, quod apud Mosem in hunc modum se habet:

A GENESI. X.

Gen. 49, 8. Quemadmodum ex tribu Juda nascetur qui Christus est Dei, idemque gentium expectatio constituetur.

Juda, te laudabunt fratres tui, manus tuæ in tergo inimicorum tuorum, adorabunt te filii patris tui. Catulus leonis Juda, de germine mihi fili ascendisti, recumbens dormivisti ut leo, et ut catulus, quis excitabit eum? non deficiet princeps de Juda, neque dux de femoribus ejus, donec veniat cui repositum est, et ipse erit expectatio gentium. Quum XII apud Hebræos tribus essent, ex quibus gens universa constabat, unius harum primus parens ac princeps extitit Judas, ad quem ea, quæ modo citavimus, ab oraculo directa sunt, quæ de illo ipso Christum proditurum significent. Quod si eodem congesseris, et huic quam nunc tractamus eas item, quæ in superioribus positæ

ἂν ὁμοίως κατά τι κοινὸν σημεῖον τὸν αὐτὸν κηρυττό-
55 μενον. Ἡ μὲν γὰρ ἔλεγε περὶ τοῦ ἐκ ῥίζης Ἰεσσαὶ
ἀναστησομένου, τὸ, καὶ ἔσται [r] ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν,
ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσιν· ἡ δὲ περὶ τοῦ υἱοῦ Σολόμωνος
τὸ, κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ
ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης, καὶ ἐνευλογηθήσονται
ἐν αὐτῷ πάντα τὰ ἔθνη· ἡ δὲ μετὰ χεῖρας παραπλησίως,
ἕως ἂν ἔλθῃ, φησὶν, ᾧ ἀπόκειται, καὶ αὐτὸς ἔσται προσ-
56 δοκία ἐθνῶν. Εἰ δὴ οὖν συνᾴδουσιν αἱ περὶ τῶν ἐθνῶν d
προρρήσεις, ἀπεδείχθησαν δὲ αἱ πρὸ τούτων ὁρῶσαι τὸν
ἡμέτερον Σωτῆρα, οὐδὲν ἂν εἴη ἐμποδὼν μὴ οὐχὶ τὸν
αὐτὸν βλέπειν καὶ τὴν παροῦσαν, εἴπερ σύμφωνα ἀλλή-
λαις ὁμολογοῦνται θεσπίζειν, μάλιστα [s] ὅτε μέχρι μὲν
τῶν χρόνων τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας οἱ τοῦ
Ἰουδαίων ἔθνους ἄρχοντες καὶ ἡγούμενοι αὐτῶν ἐκ προ-
γόνων διαδοχῆς συνεστήκεσαν, ἅμα δὲ τῇ αὐτοῦ παρου-
σίᾳ διαλελοίπεσαν, ὁμοῦ τε ἡ τῶν ἐθνῶν προσδοκία
τέλος ἐπῆγε τῇ τοῦ Ἰακὼβ προρρήσει. Οὐκοῦν κἀν-
57 ταῦθα ὁ Χριστὸς δηλούμενος, καὶ οὐδὲ ἄλλος, ἐκ φυλῆς

[r] ὁ add. P. [s] ὅτε P. in marg.

sunt, prophetias apposueris, invenies simili ratione ad quoddam signum commune unum atque eundem nunciari. Illa quidem de eo dicebat, qui de radice Jesse esset surrecturus, *Et erit qui surgit impe-* Es. 11, 10.
rare gentibus, in ipso gentes sperabunt. Alia vero de filio Solomonis,
Et dominabitur a mari usque ad mare, et a flumine usque ad fines orbis Ps. 72, 8.
terræ, et benedicentur in eo omnes gentes. Ea vero quam nunc tractandam assumpsimus, itidem, *Donec veniat*, inquit, *cui repositum est, et ipse erit expectatio gentium.* Quod si hæc de gentibus oracula concordant, et ostensum est quemadmodum ea quoque, quæ hæc ipsa antecesserunt, ad Salvatorem nostrum spectant, nihil amplius fuerit impedimento, quin hoc ipsum quoque quod nunc tractamus, eundem illum respiciat: quandoquidem jam concessum est, consentanea inter se ab omnibus illis divinari: præsertim quum usque ad tempora adventus Salvatoris nostri, Judaicæ gentis principes, ejusdemque duces, ex majorum suorum successione permanserint, una vero cum ejus adventu defecerint, gentiumque pariter expectatio finem ipsius Jacob vaticinio imposuerit. Igitur hoc etiam in loco Christus, qui

Ἰούδα προελεύσεσθαι, καὶ ὅτε δὲ ἐκ Δαβὶδ καὶ Σολόμωνος ἔκ τε τῆς ῥίζης Ἰεσσαὶ γεγονὼς ἐδηλοῦτο, ἐκ τῆς p. 361
58 αὐτῆς φυλῆς ὢν ἐδείκνυτο. Παῖς μὲν γὰρ ἦν τοῦ Ἰεσσαὶ Δαβὶδ, τοῦ δὲ Δαβὶδ Σολόμων, συστάντες ἐκ φυλῆς Ἰούδα. Εἴη ἂν τοιγαροῦν ἐξ αὐτῆς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ὥσπερ οὖν ὁ θαυμάσιος εὐαγγελιστὴς γενεαλογεῖ Ματθαῖος λέγων, Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβὶδ, υἱοῦ Ἀβραάμ. Ἀβραὰμ ἐγέννησε τὸν Ἰσαάκ, Ἰσαὰκ δὲ ἐγέννησε τὸν Ἰακώβ, Ἰακὼβ δὲ ἐγέννησε τὸν Ἰούδαν, καὶ τὰ ἑξῆς.

Ἀλλὰ γὰρ καὶ τούτων τὴν οἰκείαν ἀπόδειξιν ἀπειληφότων, καιρὸς καὶ τοὺς χρόνους συνιδεῖν τῆς τῶν προηγορευμένων ἀποπληρώσεως.

ΤΟΜΟΣ Η. p. 362

ἈΠΟΔΕΙΞΑΝΤΕΣ δι' ὅσων ὁ τοῦ Θεοῦ Λόγος εἰς ἀνθρώπους ἥξειν ἐθεσπίζετο, ὅθεν [t] τε καὶ ὅπη καὶ ὅπως ὀφθήσεσθαι τοῖς ἐπὶ γῆς ἐν ταῖς παρ' Ἑβραίοις προφητικαῖς φωναῖς ἐκηρύττετο, ὅτι τε αὐτὸς ἐκεῖνος ἦν, b

[t] τε add. P.

ipse non alius de tribu Juda proditurus significatur, quique ex David et Solomone, atque ex radice Jesse exiturus ferebatur, ex eadem tribu profectus ostenditur. Nam Jesse quidem filius fuit David: ipsius autem David Solomon, qui de tribu Juda oriundi sunt. Erit ergo ex eadem Salvator ac Dominus noster: sicut etiam divinus evangelista Matthæus in ejus genere narrando testificatur dicens: *Liber generationis Jesu Christi filii David, filii Abraham. Abraham genuit Isaac: Isaac autem, genuit Jacob: Jacob autem, genuit Judam,* et cætera.

Sed quando harum rerum propriam demonstrationem explicavimus, tempus jam fuerit intueri, quibus temporibus ea quæ prophetæ prædixerant completa sint.

LIB. VIII.

Quum antea demonstraverimus in quam multis scripturæ divinæ locis Dei Verbum ad homines venturum caneretur, undeque et ubi, et quomodo iis, qui in terra versarentur videndum propheticis apud

καὶ οὐδ᾽ ἄλλος, ὁ τῶν αἰώνων προϋφεστὼς υἱὸς τοῦ Θεοῦ, ὃν διὰ τῶν ἑτέρων Θεόν τε καὶ Κύριον [u] καὶ ἀρχιστράτηγον καὶ μεγάλης βουλῆς ἄγγελον Θεοῦ τε ἀρχιερέα τυγχάνειν προμεμαθήκαμεν, ἀκολούθως μετὰ τὰ προδιεξωδευμένα τοὺς χρόνους τῆς ἐπιφανείας αὐτοῦ πάλιν ἐξ αὐτῶν τῶν προφητικῶν προρρήσεων [x] ἐπιμαρτυρώμεθα, ἐνθένδε ἀρξάμενοι. p. 363

2 Τῶν χρόνων τῆς τοῦ Χριστοῦ παρουσίας ἐκφανῆ
σημεῖα τάδε ἔσεσθαι προκηρύττουσιν αἱ ἱεραὶ γραφαί.
[y] Τριῶν τὸ πρὶν ἐπιφανῶν ἀξιωμάτων παρὰ Ἑβραίοις
διαπρεπόντων δι᾽ ὧν τὸ ἔθνος συνεκροτεῖτο, ἑνὸς μὲν
τοῦ βασιλικοῦ, ἑτέρου δὲ τοῦ προφητικοῦ, καὶ ἐπὶ τού-
τοις τοῦ ἀρχιερατικοῦ, τούτων ὁμοῦ τὴν κατάλυσιν καὶ
τὴν παντελῆ καθαίρεσιν σημεῖα τῆς τοῦ Χριστοῦ παρ-
3 ουσίας ἔσεσθαι θεσπίζουσι. Δείγματα δὲ τῶν αὐτῶν
εἶναι χρόνων καὶ τῆς κατὰ Μωσέα θρησκείας τὴν περι- b
γραφὴν, τῆς τε Ἱερουσαλὴμ καὶ τοῦ πρὸς αὐτῇ ἱεροῦ
τὴν ἐρήμωσιν, οὐ μὴν ἀλλὰ καὶ τοῦ παντὸς Ἰουδαίων
ἔθνους τὴν ὑπὸ τοῖς ἐχθροῖς καὶ πολεμίοις δουλείαν, καὶ

[u] καὶ add. P. [x] ἐπιμαρτυρόμεθα P. [y] ὄντων τριῶν] ὄντων om. P.

Hebræos vocibus nunciaretur, et quod idem non alius, sed ipse ille esset Dei filius, qui omnia sæcula antecedit, quemque in aliis, et Deum, et Dominum, et primum imperatorem, et magni consilii angelum, et Dei pontificem esse, antea didicimus: sequitur ut post illa omnia quæ superius explicata sunt, ejusdem adventus tempora ex ipsis rursus propheticis prædictionibus ac testimoniis demonstremus, indeque initium hujusce rei capiamus.

Temporum enim, quibus Christi adventus futurus esset, signa evidentia hæc fore sacræ literæ nunciant. Quum tria insigniora vigerent apud Hebræos magistratuum genera, a quibus gens ipsa nomen et decus obtinebat, unum regium, alterum propheticum, tertium pontificium, horum simul omnium dissipationem atque extremam eversionem significare adventum Christi adesse vaticinantur: argumenta vero atque indicia eorumdem esse temporum, quum Mosaico ritui finem injectum tum ipsius Hierusalem templique, quod in ipsa erat solitudine, tum etiam universæ Judaicæ genti ab inimicis atque hostibus jugum servitutis impositum. Sed alia præterea eorumdem

ἄλλα δὲ τῶν αὐτῶν [z] ὑποβάλλουσι σημεῖα χρόνων, πλῆ-
θος εἰρήνης, ἐθνῶν τῆς ἐξ αἰῶνος κατ' ἔθνος καὶ κατὰ
πόλιν τοπαρχίας καὶ [a] πολυαρχίας ἀναίρεσιν, τῆς πολυ-
θέου καὶ δαιμονικῆς εἰδωλολατρείας ἀποστροφὴν, ἐπί-
γνωσιν εὐσεβείας ἑνὸς τοῦ ἐπὶ πάντων δημιουργοῦ Θεοῦ.
4 Ταῦτα οὖν ἅπαντα, μὴ ὄντα πάλαι κατὰ τοὺς τῶν προ- c
φητῶν χρόνους, ἐπὶ τῆς Χριστοῦ παρουσίας γενήσεσθαι
οἱ θεῖοι χρησμοὶ προηγόρευον, ἃ καὶ ταῖς προρρήσεσιν
ἀκολούθως εἰς πέρας ἐλθόντα [b] ὅσον οὔπω παραστήσε-
5 ται. Τά γε μὴν αἴτια τοῦ μὴ πρότερον ἀλλὰ νῦν ἐπ'
ἐσχάτων καιρῶν μετὰ τὸν μακρὸν καὶ πολὺν αἰῶνα τὸν
Χριστὸν ἐμφανῆ γενέσθαι τῷ βίῳ λέλεκται μὲν ἤδη
καὶ πρόσθεν, οὐ μὴν ἀλλὰ καὶ νῦν ἐκ βραχέσιν εἰρή-
6 σεται. Πολὺς ἦν πάλαι πρότερον τὰς τῶν ἀνθρώπων
ψυχὰς ἐπισκοπῶν ἀφροσύνης καὶ ἀσεβείας αὐχμὸς, δεινή d
τε ἀθεότης κατακρατοῦσα τοῦ παντὸς ἀνθρώπων βίου,
ὡς μηδὲν τῶν ἀγρίων καὶ [c] ἀτιθάσων θηρίων διαφέρειν
δοκεῖν· μήτε γοῦν πόλεις, μήτε πολιτείας, μήτε νόμους,

[z] ὑπὸ βαλλοῦ (σ supra) S. [a] πολιαρχίας] πολυαρχίας P. Vid. Præp. p. 10 B. Vulg. habet S. [b] γρ. ὅσων οὔπω ED. PARIS. Sic S. [c] ἀτιθάσσων] ἀτιθάσων P.

subjiciunt signa temporum, abundantiam pacis, principatuum rerumque publicarum, quæ a condito ævo fuissent, per singulas gentes atque urbes interitum, a simulachrorum cultu, quo plures sive dii sive dæmones colebantur, aversionem, unius supremi opificis Dei cognitionem ac venerationem. Hæc igitur universa, quorum nihil quondam temporibus prophetarum erat, sub ipsius Christi adventum futura divina oracula prædicabant, quæ etiam cum ipsis oraculis concordantia suum finem attigisse haud ita multo post demonstrabuntur. Cæterum cur non prius, sed nunc dumtaxat hisce extremis temporibus post longum multumque ævum Christus videndum seipsum in vita præbuerit, causæ quidem antea quoque dictæ sunt, verum tamen etiam nunc paucis atque in summa repetentur. Quum multus esset quondam qui humanas animas obtenebraret impietatis et amentiæ squallor, et gravis quædam a Deo alienatio omnem vitam hominum subegisset atque occupasset, adeo ut ab agrestibus et immitibus feris nihil differre homines viderentur, tum illi neque civitates, neque respublicas, neque leges, neque honestum quidquam aut vitæ

μήτε τι σεμνὸν καὶ βιωφελὲς εἰδότες, μὴ δὲ μὴν ἐπιστήμας καὶ τέχνας ἐν νῷ τιθέμενοι, ἀρετῆς τε καὶ φιλοσοφίας οὐδ᾽ εἰς ἔννοιαν ἰόντες, μόναις ἐπ᾽ ἐρημίαις ἔν τε ὄρεσι καὶ σπηλαίοις καὶ κώμαις τὰς διατριβὰς ἐποιοῦντο, λῃστρικώτερον ἐπιτιθέμενοι τοῖς πλησιάζουσι, πορίζοντες τὰ πρὸς τὸ ζῆν οὐκ ἄλλοθεν ἀλλ᾽ ἢ ἐκ τῆς τῶν
7 καταδεεστέρων καταδυναστείας. Ἀλλὰ μὴν οὐδὲ Θεὸν τὸν ἐπὶ πάντων ᾔδεσαν, οὐδέ γε εὐσεβείας ἀληθοῦς τρόπον, φυσικαῖς δὲ ἐννοίαις ἀνακινούμενοι τὸ μὲν ὑπάρχειν ἐν τοῖς οὖσι θείαν τινα δύναμιν καὶ Θεὸν εἶναι p. 364
καὶ ὀνομάζεσθαι σωτήριόν τε καὶ εὐεργετικὴν τυγχάνειν τὴν προσηγορίαν αὐτοφυεῖ διδασκαλίᾳ συνωμολόγουν, τὸ δὲ μὴ ἄλλο τι νομίζειν ἢ τὸν ἐπέκεινα ἁπάσης τῆς ὁρωμένης οὐσίας οὐκ ἔθ᾽ οἷοί τε ἦσαν ἀποδέχεσθαι.
8 Διόπερ οἱ μὲν αὐτῶν ἐσεβάσθησαν, καὶ ἐλάτρευσαν τῇ κτίσει παρὰ τὸν κτίσαντα· οἱ δὲ ἐματαιώθησαν ἐν τοῖς διαλογισμοῖς αὐτῶν, καὶ ἐσκοτίσθη ἡ ἀσύνετος αὐτῶν καρδία, ὡς ἐναλλάξαι τὴν δόξαν τοῦ ἀφθάρτου Θεοῦ ἐν ὁμοιώματι b
εἰκόνος φθαρτοῦ ἀνθρώπου καὶ [d] πετεινῶν καὶ τετραπόδων

[d] πετηνῶν P. ut vulg. S.

conducibile noverant, neque vero scientias ullas aut artes animo complectebantur, virtutis autem ac philosophiæ ne minimam quidem notionem tenebant, sed in solis desertis locis in montibus ac speluncis et vicis degentes versabantur, et latronum instar eos qui propius accessissent invadebant, nec aliunde sibi victum quærebant, quam ex eorum oppressione quos imbecilliores nacti essent. Iidem porro neque supremum Deum neque ullum religionis veræ modum noverant, sed solis quibusdam naturalibus notionibus instincti, existere quidem in rebus divinam quandam vim, Deumque esse ac nominari, et eam salutarem ac beneficam sentire appellationem, naturali quadam doctrina fatebantur: ut vero non aliud quidquam putarent, quam eum qui est supra omnem quæ cernitur naturam, nequaquam adduci poterant. Proinde nonnulli quidem eorum *cultum suum tribuerunt,* Rom. 1, 25.
ac servierunt creaturæ potius quam creatori: alii vero evanuerunt in Rom. 1, 21.
cogitationibus suis, et obscuratum est insipiens cor eorum, adeo quidem ut mutaverint gloriam incorruptibilis Dei in similitudinem imaginis corruptibilis hominis, et volucrum, et quadrupedum, et serpentium.

καὶ ἑρπετῶν. Νεκρῶν δὲ οὖν [e]οἵδε ἀνδρῶν δυναστῶν
τινων ἢ καὶ τυράννων πάλαι γενομένων εἰκόνας ἀνειδω-
λοποιήσαντες, καὶ ταύταις τὸ θεῖον περιάψαντες σέβας,
τάς τε ἐκτόπους καὶ ἀκολάστους τῶν αὐτῶν πράξεις ὡς
9 θεῶν κατορθώματα σεμνύνειν ἐθεολόγησαν. Πῶς οὖν
τοῖς τυγχάνουσιν ἐν τοιαύτῃ βίου καταστάσει [f]τὸν πάν-
σοφον καὶ πανάρετον τοῦ Χριστοῦ λόγον τὴν εἰς ἄκρον
καταγγέλλοντα φιλοσοφίαν τοῖς τε ἐν τοσούτῳ βάθει c
κακίας καλινδουμένοις δύνασθαι ἁρμόττειν; Διὸ δὴ ἐκεί-
νους ἡ θεία καὶ πάντων ἔφορος δίκη ὡς ἀγρίαν καὶ
βλαβερωτάτην ὕλην περικόπτουσα, τοτὲ μὲν κατακλυ-
σμοῖς τοτὲ δὲ [g]πυρπολήσεσι μετῄει, τοτὲ δὲ αὐτοὺς τοῖς
κατ' ἀλλήλων πολέμοις ἀνδροκτασίαις τε καὶ πολιορ-
κίαις [h]ἐπαλλήλοις παρεδίδου, πρὸς αὐτῶν τῶν δαιμόνων,
τῶν δὴ θεῶν αὐτοῖς νενομισμένων, ἐπὶ [i]τὸν κατ' ἀλλή-
λων πόλεμον ἐξοιστρουμένους, ὥστε ἄβατον εἶναι τοῖς d
πλησιοχώροις ἀνεπίμικτόν τε καὶ ἀκοινώνητον τὸν τότε
τῶν ἀνθρώπων βίον· βραχεῖς δέ τινας, ὡς ἐν τοιαύτῃ

[e] οἶδε P. [f] ὁ πάνσοφος—πανάρετος—λόγος—καταγγέλλων—δύναται vulg. Dedi cum P. [g] πῦρ πολήσεσι S. [h] ἐπ' ἀλλήλους] ἐπαλλήλοις P. [i] τῶν P.

Itaque mortuorum virorum quorundam potentium, aut etiam tyrannorum qui antiquitus fuissent, quum imagines pro simulachris erexissent, hisque divinum tribuissent cultum, tum deformia atque impudica eorundem facta quasi Deorum gesta pulcherrima venerari, theologicis quibusdam ritibus instituerunt. Qui igitur fieri potuisset, ut in tali statu vitæ degentibus, atque in tanta profunditate malitiæ versantibus, sapientissimum atque omnem virtutem in se continens Christi Verbum, dum summam perfectamque nunciat philosophiam, accommodaretur? Quapropter illos divina omniaque curans justitia, quasi agrestem et nocentissimam sylvam attondens atque amputans, nunc quidem diluviis, nunc autem incendiis castigabat: interdum vero eosdem mutuis bellis et cædibus et obsidionibus assiduis tradebat, quippe quos ipsi dæmones, ipsi inquam illi quos deos suos censebant, in furores bellorum, quibus contra se invicem grassarentur, inflammarent. Ex quo fiebat ut nullos inter se aditus haberent finitimi, sed impermixta incommunicabilisque hominum esset illis temporibus vita: paucos autem quosdam, ut in ejusmodi

10 καταστάσει, καὶ ἀριθμῷ ληπτοὺς, ὧν τὰ παρ' Ἑβραίοις μνημονεύει λόγια, θεοφιλεῖς εὑροῦσα, τούτοις διὰ χρησμῶν καὶ θειοτέρας ἐπιφανείας ὡμίλει, δεξιουμένη τοὺς ἄνδρας καὶ θεραπεύουσα νόμοις τοῖς παρὰ Μωσέως
11 εἰσαγωγικοῖς καὶ βιωφελέσιν. Ἀλλ' ὅτε δὴ ἔκ τῆς τούτοις διαταγείσης νομοθεσίας ἔκ τε τῶν μετὰ ταῦτα προφητικῶν μαθημάτων εἰς πάντας ἀνθρώπους εὐωδίας δίκην [k] προχεομένων ἤδη λοιπὸν ἡμέρωτο τῶν πολλῶν τὰ φρονήματα, τοῖς τε πολλοῖς ἔθνεσι πολιτεῖαι καὶ p. 365
νομοθεσίαι συνίσταντο, ἀρετῆς τε καὶ φιλοσοφίας ὄνομα παρὰ τοῖς πολλοῖς ἐβοᾶτο, ὡς ἂν [l] πεπαυμένης τῆς παλαιᾶς θηριωδίας μετατιθεμένης δὲ τῆς ἀγρίας καὶ ἀπηνοῦς διαίτης ἐπὶ τὸ πρᾳότερον, αὐτὸς ἤδη λοιπὸν κατὰ καιρὸν τὸν προσήκοντα ὁ τῶν τελείων τε καὶ οὐρανίων δογμάτων τε καὶ μαθημάτων τέλειος καὶ οὐράνιος διδάσκαλος, ὁ τῆς ἀληθοῦς θεογνωσίας εἰσαγωγεὺς, ὁ Θεὸς Λόγος ἐπέφανεν ἑαυτὸν κατὰ τὸν ὑπογραφέντα τῆς b
ἐνανθρωπήσεως αὐτοῦ χρόνον, μίαν τοῖς πᾶσιν ἔθνεσιν, Ἕλλησί τε καὶ βαρβάροις, τῷ τε παντὶ ἔθνει τῶν ἀν-

[k] προχεομένης P. ut vulg. S. [l] πεπαυμένοις ed. Steph.

statu, et facile numerabiles, quornm sacra apud Hebræos oracula meminerunt, Dei studiosos amicosque nacta, hos ipsos et responsis alloquebatur, et ad divinas visiones admittebat, eosdemque interim quasi manu captans curabat, et legibus, quas Moses fixerat, cultiores reddebat. Sed ubi jam ex legibus quæ his ipsis datæ fuerant, atque ex propheticis posthac disciplinis, in omnes homines fragrantiæ cujusdam instar profusis, quod supererat, multorum animi mansuetiores evaserant, multisque gentibus et civiles mores et legum institutiones constabant, virtutisque ac philosophiæ nomen apud multos audiebatur, quasi prisca illa feritate desinente, et agresti immanique victu in mitiorem jam commutato, ipse jam tum temporis opportunitatem nactus, ipse inquam perfectorum cœlestiumque institutorum disciplinarumque perfectus cœlestisque magister, veræque Dei notitiæ introductor Deus Verbum seipsum exhibuit ad præscriptum humanæ a se assumendæ naturæ tempus, unamque gentibus universis tam Græcis quam barbaris, omni utique humano generi, patris sui clementiam pietatemque nunciare tum cœpit, et ad unam cunctos ho-

θρώπων τὴν τοῦ πατρὸς φιλανθρωπίαν εὐαγγελιζόμενος,
ἐπὶ μίαν τε τοὺς πάντας παρορμῶν ἐν Θεῷ σωτηρίαν,
ἀλήθειάν τε αὐτὴν καὶ φῶς ἀληθοῦς εὐσεβείας, βασι-
λείαν τε οὐρανῶν, καὶ αἰωνίου ζωῆς ἐπαγγελίαν τοῖς
πᾶσι προμνώμενος.

12 Ταῦτα μὲν οὖν περὶ τῶν χρόνων εἰρήσθω, δι' ἣν
αἰτίαν νῦν ἀλλ' οὐ πάλαι πρότερον ὁ Χριστὸς τοῦ Θεοῦ
εἰς πάντας ἐξέλαμψεν ἀνθρώπους. Φέρε δὲ ἐπανελ- c
θόντες τῶν χρόνων τῆς ἀφίξεως αὐτοῦ τὰ σημεῖα κατὰ
μέρος ἐπισκεψώμεθα, τὰς εὐαγγελικὰς περὶ τῆς γενέ-
13 σεως αὐτοῦ φωνὰς [m] ἐν πρώτοις ἐπισημειωσάμενοι. Ὁ
μὲν οὖν Ματθαῖος τὸν χρόνον τῆς ἐνσάρκου αὐτοῦ ἐπι-
φανείας ὧδέ πως ἱστορεῖ, λέγων, Τοῦ δὲ Ἰησοῦ γεννηθέντος
ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασι-
λέως. Καὶ μετ' ὀλίγα φησὶν, Ἀκούσας δὲ ὅτι Ἀρχέλαος
βασιλεύει τῆς Ἰουδαίας, ἀντὶ Ἡρώδου τοῦ πατρὸς αὐτοῦ.
14 Ὁ δὲ Λουκᾶς τὸν τῆς διδασκαλίας αὐτοῦ καὶ ἀναδείξεως
χρόνον [n] παρέστησε λέγων, Ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς d
ἡγεμονίας Τιβερίου Καίσαρος, ἐπιτροπεύοντος Ποντίου Πι-
λάτου τῆς Ἰουδαίας, τετραρχοῦντος δὲ τῆς Γαλιλαίας
Ἡρώδου, Φιλίππου δὲ τοῦ ἀδελφοῦ αὐτοῦ τετραρχοῦντος

[m] ἐνμπρώτοις S. [n] παρίστασε S.

mines in Deo adhortari salutem, ipsamque veritatem, veræque religionis lumen, nec non cœleste regnum ac sempiternæ vitæ promissionem, omnibus ipse prior spondere ac parare.

Hactenus igitur hæc dicta sint de temporibus, quam utique ob causam non jam diu, sed nunc demum, Christus Dei in omnes homines suum lumen emiserit. Cæterum ad superiora redeuntes, temporum adventus illius particulatim quæ signa extiterint consideremus, evangelicasque in primis de ortu ejus voces adnotemus. Matthæus igitur tempus quo ille in corpore humano videri cœpit, in hunc modum
Matth. 2, 1. narrat: *Quum esset*, inquit, *natus Jesus in Bethleem Judææ in diebus Herodis regis.* Et paulo post, *Audiens,* inquit, *quod Archelaus regnaret in Judæa pro Herode patre suo.* Lucas autem quo tempore ille et
Luc. 3, 1. docere et seipsum ostendere cœperit demonstrat, ubi ait, *Anno XV imperii Tiberii Cæsaris, procurante Pontio Pilato Judæam, tetrarcha autem Galilææ Herode, Philippo autem fratre ejus tetrarcha Ituriæ*

τῆς Ἰτουραίας καὶ Τραχωνίτιδος χώρας, καὶ Λυσανίου τῆς Ἀβιληνῆς τετραρχοῦντος, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καιάφα. Τούτοις δὴ οὖν καλῶς ἔχει παραθέσθαι τὴν παρὰ Μωσεῖ τοῦ Ἰακὼβ προφητείαν τοῦτον ἔχουσαν τὸν τρόπον·

ΠΕΡΙ ΤΩΝ ΧΡΟΝΩΝ ΤΗΣ ΕΙΣ ΑΝΘΡΩΠΟΥΣ ΕΠΙΦΑΝΕΙΑΣ ΑΥΤΟΥ. p. 366

ΑΠΟ ΤΗΣ ΓΕΝΕΣΕΩΣ.

1 Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ καὶ εἶπε, συνάχθητε b ἵνα ἐπαγγείλω ὑμῖν τί ἀπαντήσεται ὑμῖν ἐπ' ἐσχάτου τῶν ἡμερῶν. Ἀθροίσθητε καὶ ἀκούσατε, υἱοὶ Ἰακὼβ, ἀκούσατε, Ἰσραὴλ, τοῦ πατρὸς ὑμῶν.

2 Εἶτα τούτοις ἑξῆς ἐπιμεμψάμενός τινά τισι τοῖς προτέροις υἱοῖς, ὡς διά τινα αὐτῶν πλημμελήματα γενομένοις c ἀναξίοις τῆς μελλούσης ἐπιλέγεσθαι προρρήσεως, τῷ τετάρτῳ ὡς τὸν βίον κρείττονα τῶν λοιπῶν ἀδελφῶν ἐπιδεδειγμένῳ τάδε θεσπίζει,

Ἰούδα, σε °αἰνέσαισαν οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου, προσκυνήσουσί σε οἱ υἱοὶ τοῦ πατρός σου· σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων καὶ ὡς σκύμνος. Τίς ἐγερεῖ αὐτόν; οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν d

Ὡς καθ' οὓς χρόνους τὸ παρ' Ἑβραίοις ἐπιλείψει βασίλειαν τοτηνικαῦτα ἡ τῶν ἐθνῶν ἐπιστήσεται προσδοκία, ὃ καὶ γέγονεν ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείας.

° αἰνέσουσιν] αἰνέσαισαν P.

et Trachonitidis regionis, et Lysania Abilinæ tetrarcha, sub principibus sacerdotum Anna et Caiapha. His igitur si Jacob prophetiam quæ est apud Mosem apponamus operæ pretium fecerimus, quæ in hunc modum se habet:

QUIBUS TEMPORIBUS CHRISTUS AD HOMINES ADVENERIT.

A GENESI.

1 *Vocavit autem Jacob filios suos et dixit, Congregamini ut annuntiem vobis quid eventurum sit vobis in diebus novissimis: congregamini et audite filii Jacob, audite Israel patrem vestrum.* Deinde ubi prioribus filiis alia aliis crimina objecit, tanquam iis qui ob suam ipsorum culpam, eo, quod nunc dicendum est, oraculo indigni evasissent, quarto eorum tanquam ei qui reliquos fratres probitate vitæ anteiret, hæc futura prædicit: *Juda te laudabunt fratres tui: manus tuæ in tergo inimicorum tuorum: adorabunt te filii patris tui. Catulus leonis Juda, de germine fili mi ascendisti, recumbens dormivisti ut leo et ut*

Gen. 49, 1.

Quemadmodum quibus temporibus regnum apud Hebræos defecerit, iisdem gentium instabit expectatio: quod sane etiam factum est sub ipsum Salvatoris nostri adventum.

μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ αὐτὸς
προσδοκία ἐθνῶν.

3 Σκόπει δὴ πρῶτον τίνα ἄρα φησὶν εἶναι τὰ ἀποκεί-
μενα αὐτῷ· καὶ ὅρα εἰ μὴ αὐτὰ ἦν, ἃ τοῖς ἀμφὶ τὸν
Ἀβραὰμ προπάτορσι περὶ τῆς τῶν ἐθνῶν κλήσεως ὁ
Θεὸς [P]ἀνείρηται θεσπίσας. Γέγραπται γοῦν, ὡς ἄρα
εἶπεν ὁ Θεὸς τῷ Ἀβραὰμ, Καὶ ἔσῃ εὐλογητὸς, καὶ εὐλο-
γήσω τοὺς εὐλογοῦντάς σε, καὶ τοὺς καταρωμένους σε
καταράσομαι· καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ
4 τῆς γῆς. Καὶ αὖθις, Ἀβραὰμ δὲ, φησὶ, γινόμενος ἔσται
εἰς ἔθνος μέγα καὶ πολὺ, καὶ ἐνευλογηθήσονται ἐν αὐτῷ
πάντα τὰ ἔθνη τῆς γῆς. Τὰ ὅμοια δὲ καὶ τῷ Ἰσαὰκ
ὁ χρησμὸς τοῦτον ἐκφωνεῖ τὸν τρόπον, καὶ πληθυνῶ τὸ
σπέρμα σου ὡς τοὺς ἀστέρας τοῦ οὐρανοῦ, καὶ ἐνευλογηθή- p. 367
σονται ἐν τῷ σπέρματί σου πάντα τὰ ἔθνη τῆς γῆς. Ἔτι
δὲ καὶ τῷ Ἰακὼβ τοιαῦτα δὴ εἴρηται, Ἐγὼ Κύριος ὁ Θεὸς
Ἀβραὰμ σοῦ πατρός σου, καὶ ὁ Θεὸς Ἰσαὰκ, μὴ φοβοῦ.
Καὶ ἑξῆς, καὶ ἐνευλογηθήσονται ἐν σοὶ πᾶσαι αἱ φυλαὶ
5 τῆς γῆς. Καὶ ἄλλοτε εἶπεν αὐτῷ ὁ Θεὸς, Ἐγὼ ὁ Θεός
σου, αὐξάνου καὶ πληθύνου· ἔθνη καὶ συναγωγαὶ ἐθνῶν ἐξ-

[P] ἀνείρηκε] ἀνείρηται P. ἀείρηται S.

catulus. Quis excitabit ipsum? Non deficiet princeps de Juda, neque dux de femoribus ejus, donec veniant, quæ ipsi reposita sunt: et ipse expectatio gentium. Considera quæso primum, quænam ea esse dicat, *quæ ipsi reposita sunt:* et vide num ea sint, quæ ad Abraham et ad veteres eidem similes patres de vocatione gentium Deus olim canens responderit. Scriptum igitur est, quemadmodum ad Abraham Deus
Gen. 12, 2. dixerit, *Et eris benedictus, et benedicam benedicentibus tibi et maledicentibus tibi maledicam, et benedicentur in te omnes tribus terræ.* Et
Gen. 18, 18. rursus, *Abraham vero,* inquit, *futurus est in gentem magnam et multam, et benedicentur in ipso omnes gentes terræ.* Sed etiam ipsi Isaac
Gen. 26, 4. similia in hunc modum respondet oraculum, *Et multiplicabo semen tuum sicut stellas cœli, et benedicentur in semine tuo omnes gentes*
Gen. 28, 13. *terræ.* Ipsi item Jacob olim talia dicta sunt, *Ego Dominus Deus Abraham patris tui, et Deus Isaac: ne timeas,* et cætera, *Et benedi-*
Gen. 35, 11. *centur in te omnes tribus terræ.* Et alias dixit ad ipsum Deus, *Ego Deus tuus, cresce et multiplicare, gentes et congregationes gentium*

ελεύσονται ἐκ σου, καὶ βασιλεῖς ἐκ τῆς ὀσφύος σου ἐξελεύ-
6 σονται. Τοσαύτας περὶ τῆς τῶν ἐθνῶν κλήσεως προρ-
ρήσεις τοῦ Θεοῦ προμεμαθηκὼς ὁ Ἰακὼβ, παίδων αὐτῷ
τὸν ἀριθμὸν γεγεννημένων δεκαδύο, πρὸς τῇ τελευτῇ
συγκαλέσας τοὺς πάντας περιεσκόπει ἐξ ὁποίου ἄρα αὐ- b
τῶν τῆς διαδοχῆς τὰ τῶν τοῦ Θεοῦ προρρήσεων [q]ἐπὶ τέλος
ἥξει· εἶτ' ἐπιθεὶς τρισὶ μὲν τοῖς πρώτοις αὐτῷ γενο-
μένοις παισὶν ἐλέγχους ὧν ἐπλημμέλησαν, ἐπιφέρει δι-
δάσκων, ὅτι τῶν τετολμημένων αὐτοῖς ἕνεκα οὐ δι' αὐτῶν
ἐκπληρωθήσεται τὰ τῶν προρρήσεων ἀποτελέσματα.
7 Ἐπὶ δὲ τὸν τέταρτον ἐλθὼν τὸν Ἰούδαν, ὁμοῦ τὸν φή-
σαντα αὐτῷ χρησμὸν, βασιλεῖς ἐκ τῆς ὀσφύος αὐτοῦ
ἐξελεύσονται, διὰ τῆς τούτου διαδοχῆς τέλος λήψεσθαι
θεσπίζει. Πρόδηλον γὰρ ὡς ἐκ τῆς Ἰούδα φυλῆς τὸ
βασιλικὸν συνέστη γένος· ὁμοῦ καὶ τὰς τοῦ Θεοῦ προρ- c
ρήσεις καὶ τὰς τῶν ἐθνῶν ὑποσχέσεις καθ' ὁποίους
ἐνστήσονται χρόνους παρίστησιν, ἐξ αὐτοῦ τε προελεύ-
σεσθαι διδάσκει τὸν μέλλοντα αἴτιον καταστήσεσθαι
πᾶσι τοῖς ἔθνεσι καὶ πάσαις ταῖς φυλαῖς τῆς γῆς τῆς
8 παραπλησίας τῷ Ἀβραὰμ εὐλογίας. Ταῦτα οὖν ἅπαντα

q ἐπὶ τέλος] γρ. ἐπὶ τέλους ED. PARIS. et sic P.S.

egredientur de te, et reges de lumbis tuis egredientur. Quum tam multa de vocatione gentium oracula Jacob antea percepisset, et liberos mares duodecim numero genuisset, omnibus illis extremo suo tempore convocatis, circumspiciebat de cujus illorum propagatione divina oracula finem suum essent acceptura: deinde quum tribus primis crimina propria objecisset, docuit deinceps quemadmodum propter scelera, quæ ipsi ausi fuerant, non in ipsis complenda essent, quæ in prioribus oraculis eventa continebantur. Quum autem venisset ad quartum qui Judas fuit, tum vero oraculum quod ipsi olim responsum fuerat, *Reges de lumbis tuis egredientur*, ex hujus posteritate suum finem accepturum planissime cecinit: constat enim quemadmodum de tribu Juda regium genus extiterit, et simul Dei responsa gentiumque promissa quibus instarent temporibus ostendit. Atque ex eo proditurum esse docuit eum, qui esset omnibus gentibus cunctisque tribubus terræ similis ipsi Abraham benedictionis author futurus.

ἣν τὰ ἀποκείμενα τῷ Ἰούδα, δηλαδὴ τὰ πάλαι προ-
θεσπισθέντα περὶ τῶν ἐθνῶν, καὶ τὸ, βασιλεῖς ἐκ τῆς
ὀσφύος σου ἐξελεύσονται, διὸ καὶ τῶν λοιπῶν ἀδελφῶν
προκριθεὶς [r] βασιλικῆς φυλῆς καὶ διαπρεπεστέρας παρὰ
9 τὰς λοιπὰς ἠξιώθη. Αὐτίκα ἐπὶ τῆς διατάξεως τοῦ d
παντὸς λαοῦ κατὰ τοὺς Μωσέως χρόνους ἡγεῖσθαι ταύ-
την ὁ Θεὸς τῶν λοιπῶν φυλῶν προστάττει. Γέγραπται
γάρ, καὶ [s] ἐλάλησε Κύριος πρὸς [t] Μωσῆν καὶ Ἀαρὼν, λέγων,
ἄνθρωπος ἐχόμενος κατὰ τάγματα αὐτοῦ, κατὰ σημαίας,
κατ᾽ οἴκους πατριῶν αὐτῶν παρεμβαλέτωσαν οἱ υἱοὶ Ἰσραὴλ
ἔναντι Κυρίου, κύκλῳ τῆς σκηνῆς τοῦ μαρτυρίου, καὶ οἱ
παρεμβάλλοντες πρῶτοι κατὰ ἀνατολὰς, τάγμα παρεμ-
10 βολῆς υἱῶν Ἰούδα, σὺν δυνάμει αὐτῶν. Καὶ ἑξῆς ἐπὶ τῶν
εἰς τὸν ἐγκαινισμὸν τῆς σκηνῆς ἀναφερομένων, Εἶπε
Κύριος πρὸς Μωσῆν, ἄρχων εἷς καθ᾽ ἡμέραν προσοίσουσιν
τὰ δῶρα αὐτῶν. Καὶ ἦν ὁ προσφέρων τῇ ἡμέρᾳ τῇ πρώτῃ
τὸ δῶρον αὐτοῦ Ναασσὼν υἱὸς Ἀμιναδὰβ, ἄρχων τῆς φυ-
11 λῆς Ἰούδα. Καὶ ἐν τῇ βίβλῳ δὲ τοῦ Ἰησοῦ τοῦ Ναυὴ p. 368
[u] τῆς γῆς τῆς ἐπαγγελίας κλήρῳ κατὰ τῶν λοιπῶν

[r] βασιλικῆς φυλῆς] Vide Casaubon. adv. Baron. p. 16. seqq. [s] ἐλάλησε κύριος πρὸς Μωσῆν καὶ Ἀαρὼν] Μωσῆς καὶ Ἀαρὼν P. ut vulg. S. [t] μωϋσῆν S. [u] τῆς γῆς—κατὰ τῶν—διανεμηθείσης] τὴν γῆν—καὶ τῶν—διανεμηθεισῶν P.S.

Hæc igitur universa fuerunt quæ ipsi Juda *reposita* erant, ea videlicet quæ de ipsis gentibus olim responsa fuerant: et illud, *Reges de lumbis tuis egredientur,* quare etiam reliquis fratribus antepositus regiam ipsam cæterisque illustriorem tribum sortitus est. Continuo enim in totius populi ordinatione ipsius Mosis temporibus reliquis
Num. 2, 1. tribubus hanc præesse imperat Deus. Scriptum est enim, *Et locutus est Dominus ad Mosem et Aaron dicens, Singuli per turmas, signa, atque vexilla et domus cognationum suarum, castrametentur filii Israel in conspectu Domini per gyrum tabernaculi testimonii, et castrametantes primi ad orientem, acies castrorum filiorum Juda, cum copiis suis.* Ac
Num. 7, 11. deinceps in iis quæ ad innovationem tabernaculi referuntur, *Dixit Dominus ad Mosem, Princeps unus per singulos dies offeret munera sua: et fuit offerens primo die munus suum Naasson filius Aminadab,*
Jos. 15. *princeps tribu Juda.* Et in libro Jesu Nave quum terra promissionis

φυλῶν διανεμηθείσης, ἀκληρωτὶ καὶ πασῶν πρώτη ἡ
τοῦ Ἰούδα φυλὴ τὸ οἰκεῖον μέρος τῆς γῆς ἀπολαμβάνει.
12 Ἀλλὰ καὶ μετὰ τὴν τελευτὴν Ἰησοῦ ἐπηρώτων οἱ υἱοὶ Ἰσραὴλ
ἐν Κυρίῳ, λέγοντες, Τίς ἀναβήσεται ἡμῖν πρὸς τὸν Χανα-
ναῖον, ἀφηγούμενος τοῦ πολεμῆσαι ἐν αὐτῷ; καὶ εἶπε
Κύριος, Ἰούδας ἀναβήσεται. Ἰδοὺ δέδωκα τὴν γῆν εἰς χεῖ-
ρας αὐτοῦ. Σαφῶς οὖν τοῦ παντὸς Ἰσραὴλ ἡγεῖσθαι
τὴν τοῦ Ἰούδα φυλὴν ὁ Θεὸς διὰ τούτων προστάττει, b
ὅθεν ἑξῆς γέγραπται, καὶ ἀνέβη Ἰούδας, καὶ παρέδωκε
Κύριος τὸν Χαναναῖον, καὶ τὸν Φερεζαῖον ἐν χειρὶ αὐτοῦ.
13 Καὶ πάλιν, καὶ ἐπολέμησαν οἱ υἱοὶ Ἰούδα ἐν Ἱερουσαλὴμ,
καὶ κατελάβοντο αὐτὴν, καὶ κατέβησαν υἱοὶ Ἰούδα πολε-
μῆσαι ἐν τῷ Χαναναίῳ. Καὶ αὖθις, καὶ ἐπορεύθη Ἰούδας
μετὰ Συμεὼν τοῦ ἀδελφοῦ αὐτοῦ. Καὶ ἑξῆς, καὶ ἦν Κύ-
ριος μετὰ Ἰούδα, καὶ ἐκληρονόμησε τὸ ὄρος. Καὶ μετὰ
ταῦτα, καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ, καί γε αὐτοὶ ἐν [y] Βαι-
14 θὴλ, καὶ Ἰούδας μετ' αὐτῶν. Καὶ ἐν τῇ βίβλῳ δὲ τῶν
Κριτῶν [z] διαφόρως κατὰ χρόνους προϊσταμένων τοῦ c
λαοῦ, εἰ καὶ ἐκ διαφόρων ἐδόκουν εἶναι φυλῶν οἱ Κριταὶ,
ὅμως δὲ καθόλου ἡ τοῦ Ἰούδα φυλὴ τοῦ παντὸς ἔθνους

[y] Βαιθὴλ] Βεθὴλ P. [z] διαφόρων] διαφόρως P.

sorte cæteris tribubus distributa esset, sine sorte omniumque prima tribus Juda propriam terræ partem accepit. Sed etiam *post mortem* Jud. 1, 1. *Jesu rogaverunt filii Israel in Domino dicentes: Quis ascendet ante nos contra Chananæum, et erit dux belli in eum? Et dixit Dominus, Judas ascendet: ecce dedi terram in manus ejus.* Plane igitur omni Israel præesse tribum Juda Deus in his verbis jubet. Quocirca deinceps scriptum est, *Et ascendit Judas, et tradidit Dominus Chananæum et Pherezæum in manum ejus.* Et rursus, *Et bellaverunt filii Juda in Hierusalem, et comprehenderunt eam, et descenderunt filii Juda in Chananæum.* Et rursus, *Et abiit Judas cum Symeon fratre suo.* Et deinceps, *Et fuit Dominus cum Juda, et possedit montem.* Et post hæc, *Et ascenderunt filii Joseph ipsi quoque in Bæthel et Judas cum ipsis.* Itaque quum in libro Judicum diversis temporibus (tametsi diversarum tribuum esse videbantur,) judices populo præessent, tribus tamen Juda in universum totius gentis dux erat: id ipsum vero temporibus David successorumque ejus multo magis, quippe

ἡγεῖτο, πολλῷ δὲ πλέον ἐπὶ τῶν χρόνων τοῦ Δαβὶδ καὶ τῶν τούτου διαδόχων ἐκ φυλῆς μὲν τοῦ Ἰούδα γεγονότων, μέχρι δὲ τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας τὴν βασιλείαν διενεγκάντων, μεθ' ἣν τῶν ἐκ τῆς αἰχμαλωσίας ἐπὶ τὴν οἰκείαν γῆν ἐπανιόντων αὖθις ἡγεῖται Ζοροβάβελ, ὁ τοῦ Σαλαθιὴλ ἐκ φυλῆς Ἰούδα, ὁ καὶ τὸν νεὼν ἐγείρας.
15 Ἔνθεν καὶ ἡ τῶν Παραλειπομένων γραφὴ τὰς δώδεκα φυλὰς τοῦ Ἰσραὴλ γενεαλογοῦσα ἀπὸ τῆς τοῦ Ἰούδα d τὴν καταρχὴν ἐποιήσατο. Ἕπεται δὴ οὖν τούτοις ἀκολούθως καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις τὴν αὐτὴν φυλὴν τῶν λοιπῶν ὁμολογεῖν ἡγεῖσθαι, εἰ καὶ ἐν μέρει διάφοροι προειστήκεισαν τοῦ λαοῦ, ὧν [a] οὐκ ἔθ' ἡμῖν δυνατὸν ἐξακριβάζεσθαι τὰ γένη, τῷ μὴ δὲ φέρεσθαι θείαν [b] βίβλον ἐξ ἐκείνου καὶ μέχρι τῶν τοῦ Σωτῆρος χρόνων.
16 Πλὴν εἰς τοσοῦτον διαρκέσαι λόγος [c] αἱρεῖ φάναι τὴν τοῦ Ἰούδα φυλήν, εἰς ὅσον τὸ πᾶν ἔθνος ἐλευθερίᾳ καὶ αὐτονομίᾳ χρώμενον ὑπὸ οἰκείοις ἄρχουσιν καὶ ἡγουμένοις ἐπολιτεύετο. Τοῦτο δὲ αὐτοῖς ἐξ ἀρχῆς ὑπῆρξε καὶ μέχρι τῶν Αὐγούστου χρόνων, καθ' [d] οὓς Ἰησοῦ τοῦ

[a] οὐ καθ'] οὐκ ἔθ' P. [b] βίβλων S. [c] φανερὸς αἱρεῖ] ἐρεῖ φάναι P. [f] οὓς] ὧν P.

quum plane de tribu Juda illi existerent, et regnum usque ad Babylonicam ipsorum cladem produxerint, post quam cladem iis qui de illa servitute in patriam terram reversi sunt rursus præfuit Zorobabel, Salathiel filius de tribu Juda. Inde etiam scriptura quæ Paralipomenon dicitur, duodecim tribuum Israel seriem generis enarrans, ab ea quæ est ipsius Juda fecit initium: ergo ipso ordine sequitur ut etiam posterioribus temporibus fateamur eandem tribum reliquis præfuisse, quamvis in parte aliqua varii diversique populo præficerentur, quorum singillatim genus solita diligentia enarrare nequaquam nos possumus, propterea quod nullus amplius fertur divinus liber, qui ex illo usque ad tempora Salvatoris nostri narrationem continuaverit. Veruntamen et fama et ratio dictabit durasse tam diu tribum Juda, quamdiu tota gens libertate et suis legibus utens sub domesticis principibus ducibusque vitam egerit. Porro hoc illis contigit ab initio usque ad tempora Augusti, in quibus quum Salvator noster Jesus hominibus se videndum præbuerit, tum vero in servitutem

Σωτῆρος ἡμῶν φανέντος ἐν ἀνθρώποις τὸ πᾶν ἔθνος
δοῦλον Ῥωμαίοις καθίσταται· καὶ ἀντὶ τῶν πατρόθεν p. 369
αὐτοῖς καὶ κατὰ νόμους ἡγουμένων πρῶτος Ἡρώδης
ἀλλόφυλος αὐτῶν ἡγεῖται [e] καὶ βασιλεὺς Αὔγουστος.
17 Ἕως μὲν οὖν οὐδέ πω διαλελοίπει ἄρχων ἐξ Ἰούδα, οὐδὲ
ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, τῶν προφητειῶν οἱ χρόνοι
ἐκ τῆς τῶν ἀρχόντων τοῦ ἔθνους παραθέσεως ἀνεγρά-
φοντο. Οὕτως οὖν Ἠσαΐας ἐν βασιλείᾳ Ὀζίου καὶ
Ἰωάθαν καὶ Ἄχαζ καὶ Ἐζεκίου, οἳ ἐβασίλευσαν τῆς
18 Ἰουδαίας, προφητεύει. Ὁμοίως δὲ καὶ Ὠσηέ. Ὁ δὲ
Ἀμὼς ἐν ἡμέραις Ὀζίου βασιλέως Ἰούδα, καὶ ἐν ἡμέ-
ραις [f] Ἱεροβοὰμ υἱοῦ Ἰωὰς, βασιλέως Ἰσραὴλ, καὶ Σο- b
φονίας ἐν ἡμέραις Ἰωσίου, υἱοῦ [g] Ἀμὼς, βασιλέως Ἰούδα.
Ὁμοίως δὲ καὶ Ἱερεμίας. Ἀλλ' ὅτε ἐκλέλοιπεν ἄρχων
ἐξ Ἰούδα καὶ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, τῆς διὰ τοῦ
Χριστοῦ προφητευομένης προσδοκίας τῶν ἐθνῶν ὅσον
οὔπω μελλούσης ἐπιλάμπειν τῷ βίῳ, οὐκέτι μὲν βασι-
19 λεῖς ἐχρημάτισαν Ἰούδα, οὐδὲ ἡγούμενοι Ἰσραήλ. Τού-
των δὲ ταῖς προφητείαις ἀκολούθως κατὰ τοὺς ὡρισμέ-
νους χρόνους διαλελοιπότων, πρῶτος μὲν Αὔγουστος,
δεύτερος δὲ Τιβέριος, μετὰ τῶν ἄλλων καὶ τοῦ Ἰουδαίων

[e] καὶ om. P.S. [f] ἰκοῦ P.S. [g] ἀμὼν S.

Romanis universa gens cessit: et pro patriis ac legitimis ducibus primus Herodes externus illis præfuit et rex Augustus. Quamdiu igitur non defecit *princeps de Juda, neque dux de femoribus ejus,* prophetiarum tempora appositis principum gentis nominibus notabantur: sic enim Esaias sub regibus Ozia, Joathan, Achaz, et Ezechia, qui in Judæa regnarunt, prophetiam suam contexit: similiter Osee. Amos vero in diebus Oziæ regis Juda, et in diebus Jesu filii Joas regis Israel: et Sophonias in diebus Josiæ filii Amon regis Juda: similiter Hieremias. Sed ubi defecit *princeps de Juda et dux de femoribus ejus,* quum expectatio gentium, de qua prophetæ locuti fuerant, jam jam per Christum vitam esset illustratura, non amplius reges Juda censeri neque duces Israel cœpere, sed his ipsis, quemadmodum prophetiæ significaverant, suo certo et finito tempore deficientibus, primus quidem Augustus, secundus autem Tiberius, et aliarum et

ἔθνους ἀνηγορεύθησαν βασιλεῖς, οἵτε κατὰ τούτους τῆς c
Ἰουδαίας ἐπίτροποι καὶ τετράρχαι, οὐ μὴν ἀλλὰ καὶ
Ἡρώδης, ὡς ἔφην ἤδη καὶ πρότερον, οὐ προσήκων Ἰου-
δαίοις τὸ γένος, ὃς καὶ αὐτὸς παρὰ Ῥωμαίων τὴν ἀρχὴν
τὴν κατὰ Ἰουδαίων ἐγχειρίζεται.

20 Τούτων ἡμῖν προτετηρημένων, καιρὸς ἤδη καλεῖ τῆς
εἰς τὴν προφητείαν θεωρίας ἐφάψασθαι, *Ἰούδα σε* [h] *αἰνέ-
σαισαν οἱ ἀδελφοί σου.* Δώδεκα τῶν ὅλων ὑπαρχόντων
παίδων τῷ Ἰακὼβ, τέταρτος Ἰούδας ἦν, ὡς καὶ φθάσαν-
τες εἰρήκαμεν, εἷς καὶ αὐτὸς ἀρχίφυλος τοῦ Ἑβραίων
21 ἔθνους. Ἀλλ' ὅτι γε οὐκ αὐτὸν ἐκεῖνον ἑώρα τὸν ἄνδρα d
τὰ ὡς πρὸς αὐτὸν ὑπὸ τοῦ πατρὸς εἰρημένα, σαφὲς ἂν
γένοιτο τοῖς ἐπιστήσασι ταῖς λέξεσι τῆς θείας γραφῆς,
πρῶτον τοῦ Ἰακὼβ πρὸς τοὺς υἱοὺς φωνῆς λεγούσης,
*Ἐκάλεσε δὲ Ἰακὼβ τοὺς υἱοὺς αὐτοῦ, καὶ εἶπε, συνάχθητε
καὶ ἀναγγελῶ ὑμῖν, τί ὑμῖν ἀπαντήσεται ἐπ' ἐσχάτων τῶν
ἡμερῶν· ἀθροίσθητε καὶ ἀκούσατε υἱοὶ Ἰακὼβ, ἀκούσατε
22 Ἰσραὴλ τοῦ πατρὸς ὑμῶν.* Σαφῶς γὰρ ἐπαγγέλλεται
προφητεύειν αὐτοῖς τὰ μέλλοντα αὐτοῖς ἀπαντήσεσθαι
μακροῖς ὕστερον χρόνοις, καὶ ὡς αὐτός φησιν, ἐπ' ἐσχά-

[h] αἰνέσουσιν] αἰνέσαισαν P.

Judaicæ gentis nuncupati sunt reges, nec non alii secundum hos ipsos Judææ procuratores atque tetrarchæ, quibus adnumeretur Herodes, a Judæorum genere, ut jam antea dixi, alienus, qui etiam ipse a Romanis Judæorum principatum accepit.

Quum hactenus hæc observaverimus, tempus jam fuerit ipsius prophetiæ contemplationem attingere, *Juda te laudabunt fratres tui.* Quum duodecim omnino essent filii Jacob, eorum quartus fuit Juda, quemadmodum antea diximus, unus etiam ipse de principibus tribuum gentis Hebraicæ: sed quod non ipsum illum respicerent ea, quæ quasi ad ipsum a patre dicta sunt, ii planissime intellexerint, qui verba divinæ scripturæ diligenter attenderint, et in primis ea quæ in sermone Jacob continentur ad filios dicentis: *Vocavit autem Jacob filios suos et dixit, congregamini, et annunciabo vobis quid eventurum sit vobis in diebus novissimis: congregamini et audite filii Jacob, audite Israel patrem vestrum.* Plane enim in his pollicetur se prædicturum eis quæ ipsis eventura sint longo post tempore, et, ut ipse ait, *in novis-*

του τῶν ἡμερῶν. Καὶ ἄλλως δὲ τὰ ὡς πρὸς τὸν Ἰούδαν
εἰρημένα οὐκ ἂν εὐλόγως ἐφαρμόσαιεν τῷ πρώτῳ ἐκείνῳ
23 ἀνδρί. Οὐ γὰρ ἐκεῖνον [i]τὸν Ἰούδαν ᾔνεσαν οἱ ἀδελφοί·
ἐπὶ ποίῳ γὰρ αὐτοῦ κατορθώματι τοῦτο ἐποίησαν ἄν;
οὐδὲ μὴν ἐκείνῳ προσεκύνησαν οἱ υἱοὶ τοῦ πατρός.
Μᾶλλον δ' ἂν ὁ λόγος ἥρμοσεν, εἰ τῷ Ἰωσὴφ εἴρητο, p. 370
ἐπειδὴ τοῦτον ἅμα τοῖς λοιποῖς ἀδελφοῖς καὶ αὐτὸς Ἰού-
δας προσκυνήσας φαίνεται, πλὴν ἀλλὰ πρὸ τῶν λόγων
τῆς προφητείας· μετὰ γὰρ [j]τούτους οὐδέν τι τοιοῦτον
οὐδὲ περὶ τὸν Ἰωσήφ, ἥπου γε περὶ [k]τὸν Ἰούδαν, γεγο-
24 νὸς ἡ ἱστορία παρίστησι. Καὶ τὸ, Ἀναπεσὼν δὲ ἐκοι-
μήθης ὡς λέων καὶ ὡς σκύμνος, μείζονος ἂν δέοιτο ἢ κατὰ
τὸν Ἰούδαν θεωρίας. Ἀλλὰ καὶ τὸ μετὰ ταῦτα εἰρη-
μένον, Οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ
τῶν μηρῶν αὐτοῦ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ, καὶ
αὐτὸς προσδοκία ἐθνῶν, τοὺς χρόνους αἰνίττεσθαί μοι b
δοκεῖ τῆς τοῦ προφητευομένου παρουσίας. Τόδε γάρ,
25 φησὶν, οὐκ ἔσται, ἔστ' ἂν γένοιτο τόδε. Οὐδὲ γὰρ
πρότερον παύσονται τοῦ Ἰουδαίων ἔθνους ἄρχοντες καὶ
ἡγούμενοι, ἢ τὴν τῶν ἐθνῶν προσδοκίαν ἐλθεῖν, καὶ τὰ

[i] τοῦ S. [j] τούτοις S. [k] τοῦ S.

simis diebus. Præterea illa ipsa, quæ quasi ad Judam dicta sunt, nullo modo illi primo viro accommodari possunt. Non enim fratres sui Judam illum laudaverunt: etenim pro quibus tandem præclare gestis debuerunt hoc facere? sed ne adorarunt quidem illum filii patris sui. Longe autem magis oraculum conveniret, si ipsi Joseph dictum esset, quandoquidem hunc ipse Judas una cum reliquis fratribus adorasse perhibetur, tametsi id ipsum ante hujus prophetiæ verba: posthac enim ne ipsi quidem Joseph tale quidquam contigisse, ac multo etiam ipsi Juda minus, historia significat. Et illud, *Recumbens autem dormivisti ut leo, et ut catulus,* majorem sane postulaverit contemplationem, quam ea sit quæ Judam respiciat. Quin etiam illud quod antea dictum est, *Non deficiet princeps de Juda, neque dux de femoribus ejus, donec veniant quæ ipsi reposita sunt, et ipse expectatio gentium,* tempora mihi significare videtur ejus, de quo prophetia loquitur, adventus. Hoc enim, inquit, non erit, donec illud eveniat: neque enim prius desinent in Judaica gente principes

ἀποκείμενα τῷ προφητευομένῳ. Ταῦτα δὲ ὁμοίως τοῖς Ἑβδομήκοντα καὶ ὁ Θεοδοτίων ἡρμήνευσεν· ὁ δὲ Ἀκύλας τοῦτον ἐξέδωκε [1]τὸν τρόπον, οὐκ ἀναστήσεται σκῆπτρον ἀπὸ Ἰούδα, καὶ ἀκριβαζόμενος ἀπὸ μεταξὺ ποδῶν
26 αὐτοῦ, ἕως ἂν ἔλθῃ καὶ αὐτῷ σύστημα λαῶν. Ἔνθα λεγομένου τοῦ, οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, πάλιν οὐ c περὶ τοῦ Ἰούδα, αὐτοῦ δὴ ἐκείνου τοῦ πρώτου ἀνδρὸς, ἀκούειν δεήσει, ὥσπερ οὐδὲ τὸ, Ἰούδα σε [m]αἰνέσαισαν οἱ ἀδελφοί σου, καὶ τὰ ἑξῆς, ἐπ' ἐκεῖνον [n]ἀνεφέρετο. Πλείστοις δ' οὖν χρόνοις ἄρχοντες καὶ ἡγούμενοι τοῦ Ἰουδαίων ἔθνους κατέστησαν, οὐκ ἐκ τῆς ἐκείνου τοῦ ἀνδρὸς
27 διαδοχῆς. Πρῶτος μὲν γὰρ Μωσῆς αὐτὸς ἡγήσατο τοῦ λαοῦ, μὴ ἐκ τοῦ Ἰούδα, ἀλλ' ἐκ τοῦ Λευὶ γεγονὼς, εἶτα Ἰησοῦς ἐκ φυλῆς Ἐφραὶμ, μεθ' ὃν ἦρξεν αὐτῶν Δεββώρα ἐκ φυλῆς Ἐφραὶμ, καὶ Βαρὰκ ἐκ φυλῆς Νεφθαλεὶμ, μεθ' οὓς Γεδεὼν ἐκ φυλῆς Μανασσῆ, ἔπ- d ειτα ὁ τοῦ Γεδεὼν παῖς, καὶ μετ' αὐτὸν Θωλὰ ἐκ φυλῆς τῆς αὐτῆς, ἔπειτα Ἐσεβὼν ἐκ Βηθλεὲμ, καὶ μετὰ τοῦτον Αἰλὼν ἐκ φυλῆς [o]Ζαβουλὼν, ἔπειτα Λαβδὼν ἐκ

[1] καὶ τὸν] καὶ om. P. [m] αἰνέσουσιν] αἰνέσαισαν P. αἰνέσεσαν S. [n] ἀναφέροιτο] ἀνεφέρετο P. ἀναφέρετο S. [o] Ζαβουλὼμ] Ζαβουλὼν S. ubi om. usque ad Δάν.

ac duces, quam gentium veniat expectatio, et quæ reposita sunt ei, de quo propheta loquitur. Hæc autem interpretans Theodotion, ab ipsis LXX non differt. Aquila vero in hunc modum exposuit, *non suscitabitur sceptrum de Juda, et qui exquisite cognoscat de medio pedum ejus, donec veniat et ipsi congregatio populorum.* Ubi quum dicatur, *non deficiet princeps de Juda,* hoc item non de ipso illo primo Juda oportet accipere, sicut nec illud, *Juda te laudabunt fratres tui,* nec quæ sequuntur ad eundem illum referri possunt: multis enim sæculis principes ac duces in Judaica gente extiterunt, qui de illius viri genere profecti non sunt. Primus namque ipse Moses dux populi fuit, qui non de Juda, sed de Levi natus est: deinde Jesus de tribu Ephræm, post quem præfuit Debbora de tribu item Ephræm, et Barac de tribu Nephthalim, post quem Gedeon de tribu Manasse, deinde filius Gedeon, et post hunc Thola de eadem tribu, postea Esebon ex Bethleem, et post hunc Ailon de tribu Zabulon, hunc secutus est Labdon de tribu Ephræm, deinde Sampson de tribu Dan,

φυλῆς Ἐφραὶμ, καὶ αὖθις Σαμψὼν ἐκ φυλῆς Δὰν,
ἔπειτα ἀναρχίας αὐτῶν γενομένης ἡγεῖτο αὐτῶν Ἠλεὶ
28 [p]ὁ ἱερεὺς ἐκ φυλῆς Λευί. Οὗτοι πάντες κριταὶ κρίναντες
τὸν Ἰσραὴλ, οὐκ ἐκ διαδοχῆς Ἰούδα, ἐκ διαφόρων δὲ
φυλῶν ἄλλοθεν ἄλλος γενόμενος· καὶ ὅγε μετὰ τούτους
πρῶτος αὐτῶν βασιλεύσας Σαοὺλ ἐκ φυλῆς ἦν Βενια-
29 μίν. Πῶς οὖν τὸ, *οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ
ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ* (ὡς ἂν [q]οἰηθείη τις,) ἐπὶ p. 371
τοὺς ἐκ φυλῆς Ἰούδα ἄρχοντας καὶ ἡγουμένους ἀνεν-
εχθήσεται, ὅτε φαίνονται ἀπὸ τῶν χρόνων τῆς τοῦ
Ἰακὼβ τελευτῆς ὅλοις ἔτεσιν ἐγγύς που χιλίοις οὐκ ἐκ
μόνης τῆς Ἰούδα φυλῆς [r]προαχθέντες, ἀλλ' ἄλλοτε ἐξ
ἄλλης, μέχρι τῶν Δαβὶδ χρόνων; Εἰ δὲ μετὰ τοὺς
τοσούτους ὁ Δαβὶδ οἵ τε ἐκ τῆς τούτου διαδοχῆς βασι-
λεύσαντες τοῦ Ἰουδαίων ἔθνους ἐκ φυλῆς γεγόνασιν
Ἰούδα, ἀλλὰ χρή σε εἰδέναι ὅτι οὐδὲ ὅλοις πεντακοσίοις
ἔτεσι διήρκεσαν οὗτοι [s]τοῦ παντὸς ἔθνους βασιλεύσαν-
τες, ἀλλὰ μόνων φυλῶν τριῶν, καὶ οὐδὲ ὅλων τούτων, b
καθ' οὓς ἕτεροί τινες ἐτύγχανον τοῦ πλείονος ἔθνους καὶ
30 ὅλων γε ἐννέα φυλῶν τὴν βασιλείαν διέποντες. Μετὰ

[p] ὁ suprasc. P. [q] τις οἰηθείη] οἰηθείη τις P. [r] πραχθέντες S. [s] οὗ] τοῦ P.

postea quum sine principe essent, præfuit ipsis Eli sacerdos de tribu Levi: hi cuncti judices qui judicabant Israel non de genere ipsius Juda, sed ex diversis tribubus ex alia alius oriundi, et qui post hos primus apud eos regiam dignitatem accepit Saul de tribu fuit Benjamin. Quomodo igitur illud, *Non deficiet princeps de Juda, neque dux de femoribus ejus*, (ut quispiam fortasse putaverit,) ad principes de tribu Juda ac duces referetur, quando videntur ex quo tempore mortuus est Jacob totis propemodum mille annis, non ex una tribu ipsius Juda profecti, sed ex alia alius usque ad tempora David? Quod si post tam multos et David, et qui ipsi David in regno apud Judaicam gentem successerunt, de tribu Juda nati sunt, sciendum tamen tibi est, quod hi ipsi ne totos quidem quingentos annos totius gentis regnum obtinere potuerunt, sed trium dumtaxat tribuum, ac ne harum quidem solidarum, quippe quum iisdem temporibus alii quidam in parte gentis ampliore et in totis novem tribubus regna-

γὰρ τὴν τοῦ Σολόμωνος τελευτὴν διαιρεθέντος τοῦ παντὸς ἔθνους ἐξ Ἰούδα, τοῦ Δαβὶδ διάδοχοι τριῶν, ὡς ἔφην, οὐδ' ὅλων φυλῶν ἐπὶ τῆς Ἱερουσαλὴμ ἐβασίλευον
31 μέχρι τῆς εἰς Βαβυλῶνα αἰχμαλωσίας. Κατ' αὐτοὺς δὲ [t]τούτους ἐπὶ τῆς Σαμαρείας οὕτω καλουμένης πόλεως τῶν ἐννέα φυλῶν ἡγούμενοι οὐκ ἐξ Ἰούδα ἀλλ' ἐξ ἑτέρων φυλῶν ἕτεροι διετέλεσαν, [u]ὧν πρῶτος ἦν Ἱεροβοὰμ c
ἐκ φυλῆς Ἐφραΐμ, καὶ οἱ καθεξῆς μετὰ τοῦτον, ὡς μὴ δ' ἐν τοῖς μεταξὺ χρόνοις τοῖς ἀπὸ Δαβὶδ ἐπὶ τὴν εἰς Βαβυλῶνα αἰχμαλωσίαν τοὺς ἐκ φυλῆς Ἰούδα τοῦ παντὸς
32 ἔθνους ἡγήσασθαι. Τί δεῖ λέγειν ὡς μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον αὖθις ὑπὲρ τὰ πεντακόσια ἔτη μέχρι τῆς τοῦ Χριστοῦ γενέσεως διετέλεσαν πολιτείᾳ χρώμενοι ἀριστοκρατικῇ, τῶν [x]μὲν κατὰ χρόνους ἀρχιερέων ἡγουμένων τοῦ ἔθνους, οὐδενὸς δὲ ἐκ τῆς τοῦ Ἰούδα φυλῆς; Ὥστε ἐξ ἁπάντων τούτων παρίστασθαι, μὴ ἐπὶ τὸν πρῶτον ἐκεῖνον ἄνδρα τὸν Ἰούδαν, μὴ δὲ ἐπὶ τοὺς διαδόχους αὐτοῦ ἀναφέρεσθαι τὸ φάσκον λόγιον, οὐκ d
ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος ἐκ τῶν μηρῶν αὐτοῦ, μόνως δ' ἂν συσταίη τὰ κατὰ τὸν τόπον, εἰ κατὰ

[t] ἐπὶ τούτοις] τούτους P. [u] ὧν om. P. [x] μὲν om. S.

verint. Nam post mortem Solomonis, quum tota gens ab Juda divisa fuerit, ipsius David successores trium, ut dicebam, tribuum, ac ne harum quidem solidarum in Hierusalem reges fuerunt usque ad Babylonicam cladem. Iisdem vero temporibus in civitate quæ vocatur Samaria novem tribuum duces non de tribu Juda, sed ex aliis alii extiterunt: quorum primus Hieroboam fuit, de tribu Ephræm, ac deinceps qui hunc secuti sunt, ut ne mediis quidem temporibus a David usque ad tempus quo in Babylonem captivi ducti sunt, ulli de tribu Juda universæ genti præfuerint. Porro autem quid dicendum est, quemadmodum post reditum de Babylone rursus quingentis annis amplius usque ad Christi ortum vixerint eo statu civitatis utentes, in quo soli optimates rem administraverint, pontificibus utique toti genti imperantibus, quorum nullus plane de tribu Juda oriebatur? ut jam ex his omnibus perspici possit, non ad primum illum Judam, neque ad illius successores referendum esse oraculum illud, dicens, *Non deficiet princeps de Juda, neque dux de femoribus*

τὰ πρόσθεν ἡμῖν ἀποδεδομένα περὶ τῆς φυλῆς ἁπάσης
33 λέγεσθαι ταῦτα νοήσαιμεν. Αὕτη γοῦν [y] ἐξαρχῆθεν, ἐξ
αὐτῶν τῶν κατὰ Μωσέα χρόνων, τοῦ παντὸς ἔθνους
ἡγήσατο· κατὰ γοῦν τὴν ταύτης ἐπικράτειαν, ὡς [z] ἂν
ἀρχῆθεν ἡγεῖσθαι προκεχειρισμένης ὑπὸ τοῦ Θεοῦ, Ἰου-
δαία τε εἰσέτι νῦν ἀπὸ τῆς φυλῆς [a] ἥ τε χώρα ἐπικέκλη-
ται, καὶ τὸ πᾶν αὐτῶν σύστημα Ἰουδαίων προσαγο-
ρεύεται. Οὕτω τοίνυν νοήσαιμεν τὸ λεγόμενον, ὡς εἰ
σαφέστερον ἔλεγεν, οὐκ ἐκλείψει τοῦ παντὸς ἔθνους
34 ἡγουμένη ἡ τοῦ Ἰούδα φυλή. Ὁ γοῦν Σύμμαχος, οὐ p. 372
περιαιρεθήσεται, φησὶν, ἐξουσία ἀπὸ Ἰούδα, τὸ ἐξουσια-
στικὸν δήπου καὶ ἀρχικὸν ἀξίωμα τῆς μετὰ ταῦτα
ὑποστάσης τοῦ Ἰούδα φυλῆς παριστάς. Ταύτης γοῦν
οὔτε τὸ σκῆπτρον, ὡς ὁ Ἀκύλας φησὶ, βασιλικῆς δὲ τοῦτο
σύμβολον ἦν ἀρχῆς, οὔτε τὴν ἐξουσίαν κατὰ τὸν Σύμ-
μαχον περιαιρεθήσεσθαι θεσπίζει, ἕως ἂν ἔλθῃ, φησὶν, ᾧ
ἀπόκειται, καὶ [b] αὐτὸν ἔσεσθαι τῶν ἐθνῶν προσδοκίαν.
35 Ποίαν ταύτην προσδοκίαν, ἢ τὴν πάλαι τῷ Ἀβραὰμ
καὶ τοῖς μετ᾽ αὐτὸν προπάτορσι κεχρηματισμένην; Πρῶ-

[y] ἀρχῆθεν] ἐξαρχῆθεν P. [z] ἂν om. S. [a] ἥγε] ἥ τε P. [b] αὐτῶν P.

ejus, sed ea quæ ad hunc locum pertinent uno dumtaxat modo constare posse, si secundum ea, quæ prius a nobis de tota tribu exposita sunt, hæc ipsa intelligenda esse dixerimus. Hæc enim tribus ab initio et ab ipsius usque Mosi temporibus universæ gentis dux fuit: itaque secundum hujus principatum, utpote quam Deus cæteris ab initio præfecerit, et ipsa regio etiam nunc ab ea ipsa tribu Judææ vocabulum obtinet, et omnis illorum conventus Judæorum appellatur. Sic igitur intelligamus quod dictum est, tanquam si manifestius dixisset, non desinet toti genti præesse tribus Juda, ex quo Symmachus, *Non auferetur,* inquit, *potestas de Juda,* sic utique juris cujusdam amplioris et principatus authoritatem ejus, quæ postea futura esset tribus Juda, nobis intelligendam proponens. *Hujus enim, neque sceptrum,* ut Aquila, inquit, (regii porro principatus signum hoc erat) *neque potestatem,* ut Symmachus, *sublatum iri* vaticinatur, *donec veniat,* inquit, *cui repositum est, atque ipsum fore expectationem gentium.* Sed quam tandem expectationem, nisi de qua olim et ipsi Abraham, et iis qui Abraham secuti sunt patribus, oracula reddita sunt? Primum

τον μὲν οὖν θαυμάζειν ἄξιον, ὅπως δώδεκα οὐσῶν τῶν b παρ' Ἑβραίοις φυλῶν, ἐξ οὐδεμίας ἄλλης ἢ ἀπὸ μόνης τῆς Ἰούδα ἡ τοῦ ἔθνους εἰσέτι νῦν [c]ἀνηγόρευται προσηγορία· οὐ δι' ἕτερον ἢ διὰ τὸ τῆς προφητείας λόγιον, τῇ τοῦ Ἰούδα φυλῇ τὸ ἀρχικὸν περιάψαν ἀξίωμα.

36 Ἀλλὰ καὶ τὴν πάτριον αὐτῶν χώραν Ἰουδαίαν διὰ τὴν αὐτὴν ἀποκαλεῖσθαι συμβαίνει αἰτίαν. Ἐπεὶ διατί μὴ ἀπὸ τοῦ πρώτου τῶν δώδεκα, λέγω δὲ ἀπὸ τοῦ [d]Ῥουβὶμ, τὸ ἔθνος αὐτῶν ἐχρημάτισε, καίτοι παρὰ τῷ θείῳ νόμῳ c τῶν πρωτοτόκων τετιμημένων; διατί δὲ μὴ ἀπὸ τῆς τοῦ Λευὶ, ὁμοῦ καὶ τῷ χρόνῳ καὶ τῷ τῆς ἱεροσύνης τιμήματι [e]τὸν Ἰούδαν παρεξάγοντος; τί δὲ οὐχὶ μᾶλλον ἀπὸ τοῦ Ἰωσὴφ χρηματίσαι συνέβη τὸ πᾶν ἔθνος καὶ τὴν χώραν, διὰ τὸ καὶ πάλαι πάσης οὐ μόνον Αἰγύπτου ἀλλὰ καὶ τῶν οἰκείων τὸ κράτος ἀνάψασθαι τοῦτον, τούς τε ἐξ [f]αὐτοῦ γενομένους μακροῖς ὕστερον χρόνοις ἐπὶ πλεῖστον ὅσον ὅλων ἐννέα φυλῶν τοῦ ἔθνους ἡγήσασθαι, δι' οὓς καὶ μᾶλλον εἰκὸς ἦν τὴν τοῦ προπάτορος ἐπωνυμίαν τὸ πᾶν ἔθνος καὶ τὴν χώραν ἐπιγράψασθαι;

[c] ἀναγορεύεται] ἀνηγόρευται P. [d] Ῥουβεὶμ P. [e] τὸν] τοῦ S.
[f] αὐτῶν] αὐτοῦ P.

igitur admirari operæ pretium fuerit, quid ita, quum XII Hebræorum tribus essent, a nulla alia nisi ab una ipsius Juda gentis etiam nunc appellatio usurpetur. Quod ego quidem non ob aliud contigisse arbitror, quam ob ipsius prophetiæ oraculum, quod uni tribui Juda principatus dignitatem attribuit. Quinetiam patria ipsorum terra eadem de causa Judææ appellationem sortita est. Cur enim quæso quum XII fuerint, non ab eorum primo Ruben gens eorumdem appellata est, quum præsertim natu maximi potiores in lege divina haberentur? Cur non item a Levi, qui et ætate et sacræ functionis honore Judam anteibat? Quum vero ipsi Joseph quondam non modo Ægypti universæ sed etiam suorum imperium obtigerit, quumque ab illo oriundi multis post sæculis diu admodum totis ejus gentis novem tribubus præfuerint, cur non ab eo potissimum tota gens ipsaque regio nomen accepit, quandoquidem ob eos ipsos, quos ab Joseph oriundos diximus, longe honestius probabiliusque erat totam gentem totamque regionem a primo illo ipsorum parente denomi-

τίς δ' οὐκ ἂν ὁμολογήσαι παρὰ τούτους ἅπαντας εὐλό- d
γως ἂν ἐκ τοῦ Βενιαμὶν τὴν ἐπωνυμίαν αὐτοὺς λαβεῖν,
ἐπειδήπερ τῇ τούτου φυλῇ ἡ περιβόητος αὐτῶν βασι-
λικὴ μητρόπολις, ὅ τε ἐπὶ ταύτης ἁγιώτατος τοῦ Θεοῦ
νεὼς κεκλήρωτο; Ἀλλ' ὅμως οὐδ' ἐκ τούτων, οὐδ' ἐξ
ἑτέρας ἢ μόνης ἐκ τῆς Ἰούδα φυλῆς, ἡ τῆς χώρας καὶ
τοῦ παντὸς ἔθνους προσηγορία διέπρεψε τῇ προφητείᾳ
37 ἀκολούθως. Οὕτω γέ τοι τὸ οὐκ ἐκλείψει ἄρχων ἐξ
Ἰούδα ἐπὶ τὴν φυλὴν ἡμῖν [g] ἀνενήνεκται, καὶ μόνως
οὕτως ἀληθῶς ἡ πρόρρησις ἀποδέδοται. Ἀπὸ γοῦν τῶν
Μωσέως χρόνων καθεξῆς οὐ [h] διέλιπον μερικοὶ μὲν αὐ-
τῶν ἄρχοντες, ἐκ διαφόρων, ὡς ἔφην, φυλῶν ἡγησάμενοι,
καθόλου δὲ ἡ τοῦ Ἰούδα φυλὴ παντὸς προεστῶσα τοῦ p. 373
38 ἔθνους. Παραδείγματι δὲ καταδέξῃ τὸ εἰρημένον. Ὡς
γὰρ ἐπὶ τῆς Ῥωμαίων ἀρχῆς οἱ μὲν κατ' ἔθνος ἐπίτρο-
ποί τε καὶ ἡγούμενοι, ἔπαρχοί τε καὶ στρατοπεδάρχαι,
οἵ τε πάντων ἀνωτάτω βασιλεῖς, οὐ πάντες ἐκ τῆς Ῥω-
μαίων [i] ὁρμῶνται πόλεως, οὐδ' ἀπὸ τῆς Ῥώμου καὶ
[k] Ῥωμύλου σπορᾶς, ἀλλ' ἐκ μυρίων ἄλλος ἄλλοθεν
ἐθνῶν, ὅμως δὲ οἱ πάντες βασιλεῖς τε καὶ οἱ μετ' αὐτοὺς

[g] ἀνενήκται S. [h] διέλιπεν S. [i] ὡρμῶνται S. [k] ῥωμύλλου P. ut vulg. S.

nari? Denique præter hos omnes quis non concedat merito illos a Benjamin fuisse denominandos, cujus posteritati ac tribui celeberrima ipsorum civitas, quæ regum apud ipsos domicilium fuit et quod in ea sanctissimum Dei templum erectum est, in sortem concessit? Attamen neque ab harum aliqua, neque a reliquarum, sed ab una ipsius Juda tribu totius gentis ac regionis appellatio ducta est, sicut prophetia prædixerat. Sic sane illud, *Non deficiet princeps de Juda,* ad ipsam tribum a nobis relatum est, et hoc uno duntaxat modo oraculi veritas locum habet. Namque a Mosis usque temporibus deinceps non defecerunt particulares quidem ipsorum principes qui ex diversis, ut dictum est, tribubus genti præfuerint, in universum autem tribus Juda, quæ totius gentis principatum tenuerit. Exemplo autem id, quod nunc dictum est, tibi apertius liquebit. Ut enim in Romano imperio singularum gentium procuratores, et præsides, prætoresque et castrorum præfecti, et, qui omnes dignitate anteeunt, reges, non

ἄρχοντες καὶ ἡγούμενοι τὴν Ῥωμαιων ἐπιγράφονται
προσηγορίαν, Ῥωμαίων τε τὸ κράτος ἐπωνόμασται, καὶ
ταύτης ἐξῆπται τῆς ἐπωνυμίας ἡ [l] καθόλου πάντων ἀρχή· b
τὸν αὐτὸν τρόπον καὶ ἐπὶ τῶν καθ' Ἑβραίους χρὴ νοεῖν
πραγμάτων, μιᾶς μὲν καθόλου τῆς τοῦ Ἰούδα φυλῆς
κατὰ τοῦ παντὸς ἔθνους ἐπιπεφημισμένης, τῶν δὲ κατὰ
μέρος ἡγουμένων τε καὶ βασιλέων ἐκ διαφόρων καθ-
ισταμένων φυλῶν, καθόλου δὲ τῇ τοῦ Ἰούδα τιμωμένων
προσηγορίᾳ. Λεγέσθω τοίνυν ὡς πρὸς τὴν ὅλην φυλὴν
ὑπὸ τοῦ προφήτου τὸ Ἰούδα σε [m] αἰνέσαισαν οἱ ἀδελφοί
39 σου. Οἶδε γὰρ αὐτὴν [n] ἅτε προνομίας ἠξιωμένην πρὸ
τῶν λοιπῶν φυλῶν τετιμῆσθαι, καὶ ἐπεὶ ἐξῆρχεν ἐν
πολέμοις, καὶ μόνη τοῦ παντὸς ἔθνους ἡγεῖτο ἐν ταῖς
πρὸς τοὺς ἐχθροὺς παρατάξεσιν, εἰκότως ἐπιλέγεται c
πρὸς αὐτὴν, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου. Εἶτα
διὰ τὸ ἀρχικὸν καὶ βασιλικὸν ἀξίωμα, σκύμνος λέοντος
40 εἶναι λέγεται. Σεμνυνόμενος δὲ ὁ προπάτωρ ὁμοῦ καὶ
προφήτης ἐπὶ τῷ τῆς φυλῆς ἀξιώματι προστίθησι λέ-

[l] καθόλου—ἐπὶ τῶν add. P. cum interprete. [m] αἰνέσουσιν] αἰνέσαισαν P. [n] ἅται S.

omnino omnes de ipsa Romana urbe capiuntur, neque de Remi sive Romuli genere, sed ex innumerabilibus, alius aliunde, nationibus, omnes tamen et reges et qui post ipsos secundo loco principes præsidesque habentur, Romanorum appellatione notantur, et Romanorum denominatur imperium, et eandem denominationem in universum omnes magistratus attingunt: sic etiam in rebus Hebræorum constituere intelligereque oportet, tanquam una quidem in universum tribus Juda totam gentem de suo nomine illustrem reddiderit, particulares vero duces ac reges ex diversis extiterint tribubus, qui tamen communi illa Judæ appellatione honorem acceperint. Non alio ergo quam ad totam tribum referatur illud, quod a propheta dictum est, *Juda te laudabunt fratres tui.* Noverat enim illam tanquam prærogativæ munus consecutam, honore cæteris tribubus esse anteponendam, et quoniam princeps fuit in bellis, et sola in apparatibus præliorum adversus hostes genti suæ universæ præfuit, merito deinceps ad eandem illud quoque dicitur, *Manus tuæ in tergo inimicorum tuorum.* Deinde propter principatum propterque regiam dignitatem, *catulus leonis* esse dicitur. Gloriæ igitur sibi tribuens

41 γων, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης. Τὸ δὲ, ἀναπεσὼν
ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τὸ γαῦρον
ὁμοῦ καὶ θαρσαλέον καὶ τὸ τῶν ἔξωθεν ἐπιόντων ἀκατά-
πληκτον τό τε ἄφοβον καὶ τῶν ἐχθρῶν καταφρονητικὸν
παρίστησι. Τοιοῦτον δὲ αὐτὸν ὄντα, μᾶλλον δὲ τοιαύ- d
την οὖσαν τὴν φυλὴν, τίς, φησὶν, ἀναστήσει; μέγαν
τινὰ καὶ θαυμαστὸν σπάνιόν τε καὶ δυσθεώρητον ἔσεσθαι
τὸν μέλλοντα ἀναστήσειν τοῦ θρόνου καὶ μεταστήσειν
τοῦ ἀρχικοῦ ἀξιώματος τὴν δηλωθεῖσαν φυλὴν αἰνιξά-
42 μενος. Τίς δὲ ἄρα οὗτος ἦν, ἑξῆς ἡμᾶς ἐφίστησι, τοῦτον
εἶναι διδάσκων τὸν μέλλοντα προσδοκίαν ἔσεσθαι τῶν
ἐθνῶν, ὃς οὐ πρότερον φανήσεσθαι ἐν ἀνθρώποις ἢ ἐκ-
λείπειν [o] καὶ ἄρχοντα, καὶ ἡγούμενον μετασταθήσεσθαι,
[p] καὶ ἀπαναστήσεσθαι τῆς ἀρχῆς τὴν τοῦ Ἰούδα φυλὴν
43 προφητεύεται. Τίς δ' οὗτος ἦν, ἢ ὁ Σωτὴρ καὶ Κύριος p. 374
ἡμῶν Ἰησοῦς [q] ὁ Χριστός; οὗ ἐπὶ τῆς [r] γενέσεως, ἀκο-
λούθως τῇ προκειμένῃ προρρήσει, ἐξέλιπον μὲν ἄρχοντες
καὶ ἡγούμενοι ἐξ αὐτῶν Ἰουδαίων ἐπὶ τὸ ἔθνος αὐτῶν

[o] καὶ add. P. [p] καὶ ἀπαναστήσεσθαι om. S. [q] ὁ om. S.
[r] γνώσεως ed. Steph.

hic tum generis princeps, tum etiam propheta hujusce tribus dignitatem, adjungit quod sequitur, *De germine fili mi ascendisti.* Illud autem, *Recumbens dormivisti ut leo, et ut catulus leonis,* ejusdem tribus magnificum animi ingenium et confidens ostendit, quodque nullis extrinsecus ingruentibus rebus concutiatur, et quod tum intrepidum se præbeat, tum contemptui habeat inimicos. Illum vero hoc modo se habentem, ac potius ipsam tribum quæ hujusmodi sit, quis, inquit, excitabit? ubi quum magnum quendam et admirabilem et rarum et spectatu difficilem fore significaverit eum, qui sit hujuscemodi tribum de sede excitaturus, deque principatus gradu ac dignitate exturbaturus, tum demum quisnam hic sit nos admonet, docetque hunc illum esse, qui expectatio gentium sit futurus, qui videlicet a propheta non prius inter homines videndus prædicitur, quam et princeps deficiat, et dux amoveatur, et de principatu exturbetur tribus Juda. Cæterum, quisnam quæso alius hic sit, quam Salvator et Dominus noster Jesus Christus? in cujus ortu, sicut proxime exposita prophetia volebat, ex Judæis quidem defecerunt principes ac

καθιστάμενοι, ἡ δὲ τοῦ Ἰούδα φυλὴ αὐτῷ ἔθνει παντὶ
τοῦ ἐξ αἰῶνος ἀρχικοῦ καὶ βασιλικοῦ ἀξιώματος καθαι-
ρεθεῖσα, τοῖς [s] εἰσέτι καὶ νῦν κρατοῦσιν ἐξ ἐκείνου καὶ
εἰς δεῦρο δουλεύει Ῥωμαίοις, μετὰ τῶν λοιπῶν καὶ τὸ
Ἰουδαίων ἔθνος [t] χειρωσαμένοις, παρ' ὧν Ἡρώδης, πρῶ-
τος ἐξ ἀλλοφύλου γένους ὑπάρχων ἰδίως τοῦ ἔθνους
αὐτῶν, ὑπό τε Αὐγούστου καὶ τῆς Ῥωμαίων συγκλήτου
44 βουλῆς [u] βασιλεὺς ἀναδέδεικται. Ἦν γοῦν ὁ Ἡρώδης b
Ἀντιπάτρου παῖς, ὁ δὲ Ἀντίπατρος Ἀσκαλωνίτης, ἔκ
τινος τῶν περὶ τὸν νεὼν τοῦ Ἀπόλλωνος ἱεροδούλων
καλουμένων, ὃς δὴ Κυπρίνην ὀνόματι, τὸ γένος τῶν ἐξ
Ἀραβίας, γυναῖκα πρὸς γάμον ἀγαγόμενος τὸν Ἡρώδην
45 [x] ποιεῖται. Οὗτος δὴ οὖν πρῶτος ἐκ τοιούτου γένους
ὁρμώμενος τὸν ἐκ διαδοχῆς τῶν ἀρχιερέων ὕστατον
ἡγησάμενον Ὑρκανὸν, ἐφ' ὃν τὰ τῆς οἰκείας ἀρχῆς τοῦ
Ἰουδαίων ἔθνους κατέληξεν, ἐκποδὼν μεθίστησιν ἀνελὼν,
πρῶτός τε αὐτὸς, ὡς ἔφην, ἐξ ἀλλοφύλου γένους Ἰου- c
δαίων ἀναγορεύεται βασιλεύς· καθ' ὃν γεννηθέντος
Ἰησοῦ τοῦ Χριστοῦ, καθῄρητο μὲν ὁμοῦ καὶ τῆς Ἰούδα

[s] ἔτι] εἰσέτι P. [t] χειρωσαμένων P. [u] βασιλῆς βασιλεὺς S.
[x] ποιῆται S.

duces, qui genti præsiderent, ipsa vero tribus Juda una cum tota gente principatu ac regno, quod ab initio obtinuerat, spoliata, Romanis etiam nunc dominantibus ex illo ad hunc usque diem famulatur, qui una cum reliquis gentibus etiam Judæos subegere, a quibus item Herodes primus externo genere ortus, et imperatoris Augusti et Romani senatus authoritate rex declaratus est. Fuit igitur Antipatri filius hic Herodes. Ipse vero Antipater Ascalonita ab eorum nescio quo ortus, qui in templo Apollinis versantes, sacri servi appellabantur. Qui quum uxorem duxisset quandam, cui nomen quidem Cyprinæ, genus vero ex Arabia, Herodem creavit. Hic igitur primus tali genere natus Hyrcanum, qui ultimus ex successione ac serie pontificum Judæis præfuit et in quo domesticus Judaicæ gentis principatus defecit, necatum tollit de medio. Isque primus, ut dicebam, externo genere ortus Judæorum rex est appellatus. Hujus ergo temporibus quum Jesus Christus esset natus, Judæ tribus dignitas sublata est: sublatum est Judæorum et impe-

φυλῆς τὸ ἀξίωμα, καθῄρητο δὲ καὶ ἡ τῶν Ἰουδαίων
ἀρχή τε καὶ βασιλεία, πεπλήρωτο δὲ καὶ ἡ προτεταγμένη
προφητεία, *οὐκ ἐκλείψει ἄρχων ἐξ Ἰούδα, οὐδὲ ἡγούμενος
ἐκ τῶν μηρῶν αὐτοῦ*, φήσασα, *ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα
αὐτῷ*, ὅν καί φησι γενήσεσθαι οὐ τοῦ Ἰουδαίων ἔθνους
46 ἀλλὰ *τῶν ἐθνῶν προσδοκίαν*. Ἐπειδὴ τοίνυν ἀπέκειτο ἡ
πρόπαλαι τῷ Ἀβραὰμ χρηματισθεῖσα [y]τῆς τῶν ἐθνῶν
κλήσεως προσδοκία, ὡς ἂν ἐκλελοιπότων τῶν ἐκ τοῦ
Ἰουδαίων ἔθνους ἀρχόντων τε καὶ ἡγουμένων, [z]μετα- d
στάσης τε τῆς κατ' αὐτοὺς ἀρχῆς ἐπὶ Ῥωμαίους καὶ τὸν
ἐξ ἐθνῶν δεδηλωμένον Ἡρώδην, εἰκότως ὁ μὲν εὐαγγε-
λιστὴς Λουκᾶς, ἐπισημαινόμενος τοὺς χρόνους τῆς ἐκ-
λείψεως τῶν Ἰουδαίων ἀρχόντων, τὴν καταρχὴν τῆς
Χριστοῦ διδασκαλίας ἱστορεῖ γεγονέναι ἐν ἔτει πεντε-
καιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύ-
οντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, καὶ Ματθαῖος δὲ
47 τοῦτο αὐτὸ αἰνιττόμενος σημαίνει. Ὑπογράψας [a]γοῦν
τὴν τοῦ Κυρίου καὶ Σωτῆρος ἡμῶν γένεσιν, ἐπιλέγει,
*Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέ-
ραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν
παρεγένοντο εἰς Ἱεροσόλυμα, λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς*

[y] τῆς τῶν—ἐκλελοιπότων P. add. cum interprete. [z] μετάστασις τῆς κατ' αὐτοὺς] μεταστάσης τε τῆς κατ' αὐτὸν P. [a] γοῦν] δ' οὖν P.S.

rium regnum, completa est proxime exposita prophetia, *Non deficiet princeps de Juda, neque dux de femoribus ejus, donec veniant quæ reposita sunt ei.* Hunc autem dicit futurum non Judaicæ gentis sed *gentium expectationem.* Quoniam igitur reposita erat illa gentium vocationis expectatio, quæ ex oraculo ipsi Abrahæ promissa est, quum ex Judaica gente jam defecissent et principes et duces, translatumque ab ea esset imperium in Romanos et in illum Herodem, de quo dictum est: merito tempora quibus Judæorum principes defecissent Lucas evangelista significans, initium doctrinæ Christi narrat factum esse in anno xv imperii Tiberii Cæsaris, procurante Pontio Pilato Judæam. Matthæus quoque eandem rem innuens notat: nam ortu Domini ac Salvatoris nostri descripto, deinceps adjungit, *Quum autem Jesus natus esset in Bethleem Judææ, in diebus Herodis regis, ecce magi ab oriente venerunt Hierosolymam, dicentes: Ubi est qui* Matth. 2, 1.

βασιλεὺς τῶν Ἰουδαίων; Δι᾽ ὧν σαφῶς παρίστησι καὶ p. 375 τοῦ ἀλλοφύλου τὴν κατ᾽ αὐτῶν ἀρχὴν, καὶ τῶν ἐξ ἀνατολῆς ἀλλοφύλων ἐθνῶν τὴν ὑπὸ τοῦ Θεοῦ κλῆσιν.

48 Ὁμοῦ τε γὰρ Ἰουδαίων ἀλλόφυλοι ἐκράτουν, καὶ τὸν πάλαι προφητευόμενον Χριστὸν τοῦ Θεοῦ ἐγίγνωσκόν τε καὶ προσεκύνουν ἀλλόφυλοι, ἐξ ἀνατολῶν ἐπιστάντες. Οὐκοῦν σαφῶς διὰ τούτων τέλος ἔχουσα τοῦ Ἰακὼβ ἡ προφητεία δείκνυται, ἐπ᾽ ἐσχάτου τῆς συστάσεως τοῦ Ἰουδαίων ἔθνους ἀποτελεσθεῖσα, ὥσπερ οὖν αὐτὸς τοῖς ἑαυτοῦ παισὶν ἐθέσπισεν, εἰπών· *Συνάχθητε ἵνα ἀπαγγείλω ὑμῖν, τί συμβήσεται ὑμῖν* [b]*ἐπ᾽ ἐσχάτου τῶν ἡμερῶν*· b ἐσχάτας ἡμέρας νοούντων ἡμῶν τὰ ἔσχατα τῆς συστάσεως τοῦ Ἰουδαίων ἔθνους.

49 Τί δῆτα [c]δεῖν αὐτοῖς ἀπαντᾶν ἔμελλεν; ἔκλειψις μὲν τῆς ἀρχῆς Ἰούδα, καὶ τοῦ παντὸς ἔθνους αὐτῶν καθαίρεσις, παῦλά τε καὶ λῆξις τῶν ἡγουμένων αὐτῶν, καὶ τῆς φυλῆς [d]αὐτοῦ τοῦ βασιλικοῦ καὶ ἀρχικοῦ ἀξιώματος κατάλυσις, Χριστοῦ δὲ ἀρχὴ καὶ βασιλεία, οὐ τοῦ Ἰσραὴλ ἀλλὰ τῶν ἐθνῶν ἁπάντων ἄρχουσα, κατὰ τὸ, *καὶ αὐτὸς προσδοκία ἐθνῶν*.

50 Τίς δ᾽ οὐκ ἂν ὁμολογήσειε ταῦτα οὕτως σαφῶς ἐπὶ τῇ

[b] ἀπ᾽] ἐπ᾽ P. [c] δεῖν add. P. [d] αὐτῆς S.

natus est rex Judæorum? In quo plane ostendit et externi hominis in illos imperium, et externarum ab oriente gentium a Deo vocationem. Eodem enim tempore et externi Judæis imperabant, et Christum Dei, de quo prophetæ locuti fuerant, externi ab orientis partibus profecti et cognoverunt et adoraverunt. Ergo plane in his finem suum contingens prophetia Jacob apparet quemadmodum completa sit, quum ad extremum sui status Judaica gens venisset, sicut ipse quoque ad suos filios cecinit quum dixit, *Congregamini ut annuntiem vobis quid eventurum sit vobis in extremo dierum:* nos enim extremos intelligimus dies extrema status Judaicæ gentis tempora. Cæterum, quid tandem illi eventurum fuit? nempe defectus honoris Judæ, et universæ ejus gentis sublatio, quies et terminatio ducum ejusdem, tribus ipsius principatus regiæque dignitatis dissipatio, Christi imperium et regnum, non quod in Israel sed quod in omnibus gentibus dominaretur, juxta illud, *Et ipse expectatio gentium.* Sed quis non plane fateatur omnia hæc in Salvatoris nostri adventu

τοῦ Σωτῆρος ἡμῶν ἐπιφανείᾳ πεπληρῶσθαι, ὅτε οἱ πάλαι c
πρὸ τῆς τοῦ Χριστοῦ γενέσεως ἐπ' οἰκείοις ἄρχουσι
καὶ ἡγουμένοις καὶ συνετοῖς τῶν θείων ἀναγνωσμάτων
ἀκροαταῖς βασιλεῦσί τε ἰδίοις καὶ ἀρχιερεῦσι καὶ προ-
φήταις λαμπρυνόμενοι, αὐτή τε ἡ τοῦ Ἰούδα φυλὴ
βασιλικὴ οὖσα, τῶν ἐχθρῶν καὶ πολεμίων ἐπικρατοῦσα,
κατάρχουσά τε καὶ ἡγουμένη τοῦ παντὸς ἔθνους, οἵτε
ἐν αὐτοῖς πάλαι διαπρέποντες ἐξ ἐκείνου καὶ εἰς δεῦρο
Ῥωμαίοις ὑποτελεῖς καθεστήκασιν; Ἐπεφάνη γὰρ σαφῶς
ὁ Χριστὸς τοῦ Θεοῦ, καὶ ἐξ ἐκείνου ἡ λεγομένη προσ- d
51 δοκία τῶν ἐθνῶν εἰς πάντα τὰ ἔθνη ἀνακεκήρυκται. Ἢ
λεγέτω τις, εἰ μὴ κατὰ τὴν ἐπιφάνειαν Ἰησοῦ τοῦ Σω-
τῆρος ἡμῶν τὰ μὲν παρὰ Ἰουδαίοις σεμνὰ, ἥτε μητρό-
πολις αὐτῶν ἅμα τῷ ἱερῷ καὶ τῇ ἐν τούτῳ [e]συντελουμένῃ
ἁγιστείᾳ μετὰ καὶ τῶν οἰκείων ἡγουμένων τε καὶ ἀρχόν-
των διαλέλοιπεν, ἀναδέδεικται δὲ ἐξ ἐκείνου τὰ τῆς
ἐλπίδος καὶ [f]προσδοκίας τῶν ἐθνῶν τῶν καθ' ὅλης τῆς
οἰκουμένης, ὅτε καὶ ἐλήλυθε τὰ ἀποκείμενα τῷ Κυρίῳ.
52 Τίνα δὲ, ἢ τὰ δηλούμενα διὰ τοῦ Ἰούδα, σὲ [g]αἰνέσαισαν

[e] συντελουμένης S. [f] προσδοκία] προσδοκίας P. ut vulg. S.
[g] αἰνέσουσιν] αἰνέσαισαν P.

completa esse? siquidem qui ante Christi ortum domesticis principibus ac ducibus, et solertibus divinarum lectionum auditoribus, suis item propriis regibus et pontificibus et prophetis gloriabantur, quæque olim regalis quum esset, tum suos hostes atque inimicos superabat, tum suæ gentis universæ princeps et dux existebat, tribus Juda. Postremo, quicunque inter illos quondam excellebant, ex illo ad hunc usque diem Romanis tributarii facti parent ac serviunt. Plane enim Christus Dei videndum se præbuit, atque ex illo, quæ dicebatur *expectatio gentium* omnibus gentibus palam nuntiata est. Aut dicat mihi aliquis, utrum in adventu Jesu Salvatoris nostri, quæcunque apud Hebræos majestatem aliquam haberent, necnon mater ipsorum civitas una cum templo et eo quod in templo celebrabatur sacrificio, cumque domesticis ducibus ac principibus non defecerint, et utrum quæ in spe posita erant gentiumque quæ in toto orbe essent expectatio ex illo tempore apparuerint, quando etiam ea, *quæ Domino reposita erant*, venerunt. Sed quæ tandem hæc habenda sunt, nisi ea quæ continet oraculum illud, *Juda te laudabunt fratres*

οἱ ἀδελφοί σου, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου,
σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀνα-
πεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος λέοντος, τίς
ἐγερεῖ αὐτόν; Ταῦτα γὰρ καθ' ἑτέραν διάνοιαν *τὰ αὐτῷ* p. 376
ἀποκείμενα, ἃ καὶ αὐτὰ, φέρε, κατανοήσωμεν, πρῶτον
τούτῳ ἐπιστήσαντες, ὡς διαφόροις τὸν Χριστὸν ὀνόμασι
προσαγορεύειν εἰώθασιν οἱ θεῖοι χρησμοί· τοτὲ μὲν γὰρ
αὐτὸν καλοῦσιν Ἰακὼβ, *Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι*
αὐτοῦ, Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή
53 *μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει·* καὶ τὰ ἑξῆς. Οἷς ἐπεί-
ρηται, *ἕως ἂν θῇ ἐπὶ τῆς γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι*
αὐτοῦ ἔθνη ἐλπιοῦσι· τοτὲ δὲ αὐτὸν Σολόμωνα καὶ Δαβὶδ
ὀνομάζουσι· Σολόμωνα μὲν ὡς ἐν οα΄ Ψαλμῷ ἐπιγε- b
γραμμένῳ μὲν εἰς Σολόμωνα, σαφῶς δὲ τὰ περὶ τοῦ
54 Χριστοῦ περιέχοντι. Τὸ γὰρ, *κατακυριεύσει ἀπὸ θα-*
λάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμοῦ, ἕως περάτων
τῆς οἰκουμένης, καὶ πάντα [h] *τὰ ἔθνη δουλεύσουσιν αὐτῷ,*
καὶ ὅσα τούτοις ἑξῆς ὁ Ψαλμὸς περιέχει, μόνῳ τῷ Χρι-
55 στῷ ἁρμόζοι ἄν. Δαβὶδ δὲ ἐν πη΄ Ψαλμῷ πάλιν ὁ
Χριστὸς ἀνηγόρευται, ἐπεὶ μὴ τῷ Δαβὶδ, μόνῳ δὲ αὐτῷ

[h] τὰ add. P.

tui, manus tuæ in tergo inimicorum tuorum, catulus leonis Juda, de germine fili mi ascendisti, recumbens dormivisti ut leo, et ut catulus leonis, quis excitabit eum? Hæc enim alio sensu ea sunt, *quæ illi reposita erant,* quæ ipsa quoque jam tempus est ut contemplemur, si hoc primum attenderimus diligenter variis diversisque Christum nominibus divina oracula appellare consuevisse. Nam modo illum
Es. 42, 1. vocant Jacob, *Jacob puer meus, suscipiam eum, Israel electus meus, suscepit eum anima mea, judicium gentibus proferet,* et quæ sequuntur, quibus ad extremum illud additur, *Donec ponat in terra judicium, et in nomine ejus gentes sperabunt,* modo eundem Solomonem et David nominant. Solomonem quidem, ut in LXXI Psalmo, qui in Solomonem quidem inscriptus est, plane autem quæ ad Christum refe-
Ps. 71, 8. renda sunt continet. Illud enim, *Et dominabitur a mari usque ad mare, et a flumine usque ad fines orbis terræ, et omnes gentes servient ei,* et quæcunque post ipsa hæc deinceps Psalmus continet, uni utique Christo sunt accommodanda. David vero rursus appellatus est

καtάλληλα ἂν [i] ᾖ καὶ τὰ ἐν τούτῳ λεγόμενα, οἷον τὸ,
Αὐτὸς ἐπικαλέσεταί με, πατήρ μου εἶ σὺ, κἀγὼ προτότοκον c
θήσομαι αὐτὸν, ὑψηλὸν παρὰ τοῖς βασιλεῦσι τῆς γῆς. Εἰς
56 τὸν αἰῶνα φυλάξω αὐτῷ τὸ ἔλεός μου. Καὶ πάλιν, Τὸ
σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ θρόνος αὐτοῦ ὡς
ὁ ἥλιος ἐναντίον μου, καὶ ὡς ἡ σελήνη κατηρτισμένη εἰς τὸν
αἰῶνα. Οὕτως οὖν μετὰ μυρίων ἄλλων τοῦ Χριστοῦ
προσηγοριῶν, δι' ὧν αὐτὸν οἱ θεῖοι λόγοι σημαίνουσι,
καὶ Ἰούδας ὁμοίως διὰ τῶν προκειμένων ἀνειρῆσθαι
57 δύναται, ὅτι καὶ ἐκ τῆς Ἰούδα γέγονε φυλῆς. Πρόδηλον
γὰρ κατὰ τὸν ἀπόστολον ὅτι ἐκ φυλῆς Ἰούδα ἀνατέ-
ταλκεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν. Τούτῳ δὴ οὖν κατὰ d
διάνοιαν τῷ Ἰούδᾳ ἀποκείμενα ἦν τὰ προφητευόμενα.
58 Τίνα δὲ ἦν ταῦτα; Πρῶτον μὲν, τὸ ἐπαινεθῆναι ὑπὸ
τῶν ἀδελφῶν αὐτοῦ· δεύτερον, κατὰ νώτου τῶν ἐχθρῶν
αὐτοῦ τὰς χεῖρας ἐπιβαλεῖν· τρίτον, προσκυνηθῆναι ὑπὸ
τῶν υἱῶν τοῦ πατρὸς αὐτοῦ· ἃ καὶ τέλους ἐτύγχανεν
ὁπηνίκα τέως μὲν τὰς παραδόξους δυνάμεις καὶ τὰ
τεράστια θαύματα ἐπιτελῶν ἐθαυμάζετο καὶ ἐπῃνεῖτο

[i] εἴη] ᾖ P.

Christus in Psalmo LXXXVIII, quandoquidem nusquam ipsi David, sed uni illi quæ in hoc item dicuntur convenire possunt, veluti illud, *Ipse invocabit me, pater meus es tu, et ego primogenitum ponam eum,* Ps. 88, 26 *excelsum præ regibus terræ, in æternum servabo illi misericordiam meam.* Et rursus, *Semen ejus in æternum manet, et sedes ejus ut sol in conspectu meo, et ut luna perfecta in æternum.* Sic igitur una cum aliis innumerabilibus Christi appellationibus, quibus illum divina oracula significant, eadem ratione ut Judas quoque in iis quæ modo exponebamus sit appellatus fieri potest, quum de tribu Judæ sit natus. Constat enim ex apostolo Salvatorem ac Dominum nostrum de tribu Judæ ortum esse. Huic igitur Judæ, si secundum sententiam interpretemur, reposita erant illa, quæ in prophetia continentur. Sed quænam hæc fuerunt? Primum quidem, quod a fratribus suis esset laudandus: deinde quod manus in tergum inimicorum suorum esset injecturus: postremo quod adorandus a filiis patris sui: quæ etiam suum finem consecuta sunt, quo tempore, dum admirabiles virtutes et prodigiosa miracula ederet, admirationi erat, et lauda-

καὶ [k]προσεκυνεῖτο πρὸς τῶν ἑαυτοῦ μαθητῶν τε καὶ
ἀποστόλων, οὓς καὶ ἀδελφοὺς ἀποκαλεῖν οὐκ ὤκνει, διὰ
μὲν τοῦ Ψαλμοῦ λέγων, Ἀπαγγελῶ τὸ ὄνομά σου τοῖς
ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε, ταῖς δὲ
ἀμφὶ τὴν [l]Μαρίαν προστάττων εὐαγγελίζεσθαι αὐτοῖς
ὡς ἀδελφοῖς, Ἀπαγγείλατε, γάρ φησι, τοῖς ἀδελφοῖς μου p. 377
ὅτι ἀνέρχομαι πρὸς τὸν πατέρα μου, καὶ πατέρα ὑμῶν, καὶ
59 Θεόν μου, καὶ Θεὸν ἡμῶν. Οὕτω δῆτα αὐτὸν οἱ ἀδελφοὶ
τὰ μὲν πρῶτα ἐπὶ τοῖς παραδόξοις ὡς θαυμάσιον ἄνδρα
μόνον ἐπῄνουν, ἕνα τινὰ, ὡς εἰκὸς, τῶν προφητῶν εἶναι
ὑπειληφότες· ἐπεὶ δὲ ἐν τῷ μεταξὺ τὰς θαυμασίους
παραδοξοποιίας αὐτοῦ ὁρῶντες, καὶ ὡς καθεῖλεν ἐχθρόν
τε καὶ ἐκδικητὴν, [m]τόν τε θάνατον ἄρχοντα τοῦ αἰῶνος
τούτου, ἅμα ταῖς λοιπαῖς ἀοράτοις καὶ ἐχθραῖς δυνάμεσι, b
τὸ τηνικάδε Θεὸν αὐτὸν εἶναι πιστεύσαντες προσεκύνη-
60 σαν. Αἱ δὲ χεῖρες τοῦ Σωτῆρος ἡμῶν κατὰ νώτου τῶν
ἐχθρῶν αὐτοῦ ἐγίνοντο, ὅτε πάσας τὰς πράξεις αὐτοῦ
τάς τε δυνάμεις καὶ παραδοξοποιίας ἐπὶ καθαιρέσει τῶν
δαιμόνων καὶ τῶν πονηρῶν πνευμάτων ἐποιεῖτο. Ἀλλὰ

[k] προσκυνεῖτο] προσεκυνεῖτο P. [l] Μαριὰμ] μαρίαν P. [m] τόν γε] τόν τε P.

batur, et adorabatur a suis discipulis et apostolis, quos etiam fratres
Ps. 21, 22. vocare non gravatus est, dum in Psalmo sic dicit, *Annunciabo nomen tuum fratribus meis, in medio ecclesiæ laudabo te.* Dum autem Mariæ et reliquis mulieribus imperat, ut quæ bona viderint nuntient, quasi
Matth. 28, 10. fratribus nunciari imperat, *Nunciate,* inquit, *fratribus meis, quod ascendo ad patrem meum, et patrem vestrum, Deum meum, et Deum vestrum.* Sic sane illum fratres miraculorum gratia tanquam admirabilem virum dumtaxat ab initio laudabant, quippe qui unum aliquem de prophetis, ut verisimile est, illum esse suspicarentur. Sed ubi interim admirabiles et omnem fidem superantes illius actiones intuentur, et quemadmodum inimicum et ultorem mortemque sæculi hujus dominam una cum reliquis invisibilibus et inimicis potestatibus sustulisset, tum vero Deum illum esse credentes adoraverunt: manus autem Salvatoris nostri in tergo inimicorum suorum fuere, quo tempore videlicet omnes actiones suas et virtutes et gesta prodigiosa ad delendos dæmones et malignos spiritus intendebat. Quinetiam quum manus suas expandisset in cruce, tum quoque

καὶ ὁπηνίκα ἐξεπέτασε τὰς χεῖρας αὐτοῦ ἐπὶ τοῦ σταυ-
ροῦ, καὶ οὕτως αἱ χεῖρες αὐτοῦ φευγόντων τῶν ἐχθρῶν
καὶ τὰ νῶτα παραχωρούντων αὐτῷ κατὰ νώτου τῶν
ἐχθρῶν ἐγίνοντο, καὶ μᾶλλον ὅτε τὸ πνεῦμα παραδοὺς
τῷ πατρὶ ἄσαρκος καὶ γυμνὸς οὗ ἀνειλήφει σώματος c
ἐπὶ τὸ τῶν ἐχθρῶν κατῄει χωρίον, αὐτοζωὴ τυγχάνων,
θάνατον [n] καταλύσων καὶ τὰς ἐπανισταμένας αὐτῷ δυνά-
μεις, ἃς εἰκὸς κατ᾽ ἀρχὰς μὲν κοινὸν ἄνθρωπον καὶ τοῖς
πολλοῖς ὅμοιον αὐτὸν ὑπειληφέναι, οὕτω τε κυκλῶσαι
αὐτὸν καὶ ὡς ἂν τῷ τυχόντι ἐφορμῆσαι, ἐπεὶ δὲ ἔγνωσαν
κρείττονα ἢ κατ᾽ ἄνθρωπον καὶ θειοτέραν φύσιν, τρα-
πῆναι καὶ τὰ νῶτα παραχωρῆσαι αὐτῷ, καθ᾽ ὧν τὰς
χεῖρας ἀφεὶς τοῖς ἐνθέοις αὐτοῦ καὶ ἠκονημένοις βέλεσι
φεύγοντας ἤλαυνεν, ὡς διὰ τοῦτο εἰρῆσθαι, αἱ χεῖρές σου
61 ἐπὶ νώτου τῶν ἐχθρῶν σου. Εἰ δὲ καὶ εἰσέτι νῦν μυρίοι
τοῦ Σωτῆρος ἡμῶν ἐχθροὶ τὴν ἐκκλησίαν αὐτοῦ κατὰ d
καιροὺς πολεμεῖν ἐπιχειροῦσιν, ἀλλὰ καὶ τούτους ἀοράτῳ
χειρὶ καὶ ἐνθέῳ δυνάμει τροποῦται, ὡς καὶ περὶ αὐτῶν
εἰρῆσθαι τὸ, αἱ χεῖρές σου ἐπὶ νώτου τῶν ἐχθρῶν σου.
62 Ἐπειδὴ δὲ ἤδη λοιπὸν τὰ κατὰ τῶν ἐχθρῶν νικητήρια

[n] καταλύσσων S.

manus ejus, fugientibus inimicis et eidem terga dantibus, in tergo inimicorum fuerunt, magisque etiam quum patri reddito spiritu, et suæ carnis expers, et eo quod assumpserat corpore nudatus, qui ipsa vita erat, ad loca inimicorum descendit, ut et mortem et reliquas quæ adversus ipsum surrexerant potestates dissiparet: quas quidem verisimile est communem quendam hominem ac reliquis similem ratas esse illum, itaque circum eundem stetisse, et quasi unum de multis adortas, atque ubi præstantiorem agnoverint quam ut homo existimari posset, ac diviniori natura præditum, et conversas esse et terga illi dedisse, contra quas immissis manibus divinis suis et acutis sagittis fugientes exegit, ut propterea dictum sit, *Manus tuæ in tergo inimicorum tuorum.* Quod si etiam nunc innumerabiles Salvatoris nostri inimici ecclesiam ejus variis occasionibus oppugnare conantur, attamen hos quoque invisibili quadam manu et sua divina virtute in fugam vertit, ut de his item dictum sit illud, *Manus tuæ in tergo inimicorum tuorum.* Ubi vero jam, quod reliquum fuit, insignia

ἀπειλήφει, τηνικαῦτα ἐπληροῦτο καὶ τὸ, *προσκυνήσουσί σε*
οἱ υἱοὶ τοῦ πατρός σου, πάντες δηλαδὴ οἱ κατ᾽ οὐρανὸν
ἄγγελοι, τά τε πνεύματα τὰ λειτουργικὰ, καὶ αἱ θεῖαι
δυνάμεις, οἵ τε ἐπὶ γῆς ἀπόστολοι καὶ εὐαγγελισταὶ, καὶ
μετὰ τούτους ἅπαντες οἱ ἐξ ἐθνῶν δι᾽ αὐτοῦ τὸν ἕνα καὶ
μόνον ἀληθῆ πατέρα Θεὸν ἐπιγραψάμενοι, οἵτινες Θεὸν
Λόγον ὄντα τὸν Χριστὸν μεμαθηκότες, ὡς Θεὸν προσ-
63 κυνεῖν αὐτὸν ὁμολογοῦνται. Ἀλλ᾽ ἐπεὶ ἐχρῆν καὶ τὰ p. 378
τῆς γενέσεως αὐτοῦ καὶ τὰ τοῦ θανάτου μυστήρια τῇ
περὶ αὐτοῦ προφητείᾳ συμπεριλαβεῖν, εἰκότως μετὰ τὰ
προειρημένα θεσπίζων ὁ Ἰακὼβ ἐπιλέγει, *σκύμνος λέοντος*
Ἰούδα· ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀναπεσὼν ἐκοιμήθης ὡς
λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; Σκύμνον μὲν οὖν
λέοντος αὐτὸν ὀνομάζει διὰ τὸ ἐκ βασιλικῆς αὐτὸν γε-
64 γονέναι φυλῆς. Ἐκ σπέρματος γοῦν ἦν τοῦ Δαβὶδ
κατὰ σάρκα. *Ἐκ βλαστοῦ δὲ ἀνέβης υἱέ μου*, φησὶν, b
ἐπείπερ ἐκ σπέρματος καὶ ῥίζης τοῦ ταῦτα προαναφω-
νοῦντος Ἰακὼβ ἀνέφυ, πρότερον μὲν Θεὸς Λόγος ὢν,
γενόμενος δὲ δεύτερον υἱὸς ἀνθρώπου, δι᾽ ἣν ἀνεδέξατο
65 ὑπὲρ ἡμῶν οἰκονομίαν. Εἴη δ᾽ ἂν καὶ τοῦ θανάτου

illius victoriæ præclara de hostibus recepit, tum vero illud completum est, *Adorabunt te filii patris tui*, omnes videlicet qui in cœlo sunt angeli, spiritusqne inservientes, ac divinæ potestates, necnon degentes in terra apostoli et evangelistæ, post quos quicunque per ipsum uni et soli vero patri Deo seipsos addixerunt, qui quidem ubi Deum Verbum Christum esse didicere, tum se illum ut Deum adorare confessi sunt. Sed quoniam et ortus ejusdem et mortis mysteria eadem prophetia complecti oportebat, merito post illa quæ jam dicta sunt vaticinans Jacob adjungit, *Catulus leonis Juda, de germine fili mi ascendisti, recumbens dormivisti ut leo, et ut catulus, quis excitabit eum?* Catulum itaque leonis ipsum nominat, propterea quod de regia tribu sit natus. De semine igitur David fuit ratione corporis, *De germine autem*, inquit, *fili mi ascendisti*, quoniam de semine et radice ejus qui hæc prædicebat Jacob pullulavit, quum prius quidem esset Deus Verbum, postea vero etiam filius hominis sit factus, propter eam quam pro nobis assumpsit dispensationem. Potest etiam mortem ejusdem significare illud, *Recumbens dormivisti ut leo, et ut*

αὐτοῦ δηλωτικὸν τὸ, ἀναπεσὼν [o] ἐκοιμήθης, ὡς λέων καὶ ὡς σκύμνος, ἐξ ἔθους τῆς γραφῆς κατά τι οἰκεῖον θεώρημα τὸν θάνατον καὶ ἐπὶ μυρίων ἄλλων κοίμησιν ἀπο-
66 καλούσης. Τὸ δὲ, τίς ἐγερεῖ αὐτὸν, περὶ τῆς ἐκ νεκρῶν ἀναστάσεως αὐτοῦ θαυμαστικῶς εἴρηται. Ἐγερθησόμενον γὰρ αὐτὸν σαφῶς οἶδεν ὁ φάσκων, τίς ἐγερεῖ αὐτόν. c
Θαυμαστικῶς δὲ ἐπιλέγει τὸ, τίς ἄρα ὁ τοῦτο ποιήσων καὶ ἀναστήσων αὐτὸν, ἡμᾶς ἐπὶ τὸ ζητεῖν διεγείρων τίς ἂν εἴη ὁ τὸν Κύριον ἡμῶν τὸν ὑπὲρ ἡμῶν θάνατον ἀνα-
67 δεξάμενον ἐκ νεκρῶν ἀναστήσων. Τίς δ' ἂν εἴη ἄλλος, ἢ ὁ τῶν ὅλων Θεὸς καὶ πατὴρ αὐτοῦ, ᾧ μόνῳ ἀναθετέον τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνάστασιν, κατὰ τὴν λέγουσαν γραφὴν, ὃν ὁ πατὴρ ἤγειρεν ἐκ νεκρῶν; Ἀντὶ δὲ τοῦ, σκύμνος λέοντος Ἰούδα, ἐκ βλαστοῦ υἱέ μου ἀνέβης, ἀνα- d
πεσὼν ἐκοιμήθης, ἐμφαντικώτατα ὁ μὲν Ἀκύλας φησὶ, σκύλαξ λέοντος Ἰούδα, ἀπὸ ἁλώσεως υἱέ μου ἀνέβης, κάμ-
68 ψας κατεκλίθης. Ὁ δὲ Σύμμαχός φησι, σκύμνος λέοντος Ἰούδα, ἐκ θηριαλώσεως υἱέ μου ἀνέβης, ὀκλάσας ἡδράσθης· δι' ὧν σαφῶς παρίσταται ἡ ἐκ νεκρῶν ἀνάστασις, καὶ ἡ ἐξ ᾅδου, ὥσπερ ἔκ τινος θηριαλώ-

[o] ἐκοιμήθη S.

catulus, ex quadam ipsius scripturæ consuetudine, quæ sua quadam propria consideratione etiam mille aliis in locis mortem dormitionem somnumque appellat. Illud autem, *Quis excitabit ipsum ?* de reditu ejus a morte ad vitam cum admiratione dictum est. Siquidem excitandum ad vitam illum plane novit, qui ait, *Quis excitabit ipsum ?* cum admiratione vero interrogat, quisnam hoc facturus sit atque illum excitaturus, ut sic nos ad quærendum invitet, quisnam hic sit, qui Dominum nostrum post susceptam pro nobis mortem a morte sit revocaturus ad vitam. Quis porro hic sit alius quam universi Deus et illius ipsius pater, cui soli tribuenda est Salvatoris nostri in vitam restitutio, sicut scriptura testificatur, quæ ait, *Quem pater suscitavit a mortuis ?* Pro illo autem, *Catulus leonis Juda, de germine fili mi ascendisti, recumbens dormivisti,* significantius Aquila convertit, *Catulus leonis Juda, de captura fili mi ascendisti, quum flexisses cubuisti.* Symmachus autem, *Catulus,* inquit, *leonis Juda, de ferarum captura fili mi ascendisti, genibus flexis confirmatus es :* ex quibus verbis pla-

1 Thess. 1, 10.

69 σεως, τοῦ Σωτῆρος ἡμῶν ἀποφυγή. Τὸ δὲ ὀκλάσαι
καὶ ἑδρασθῆναι ἀλλὰ μὴ καταπεσεῖν, ὁμοῦ τὸν θάνατον
ἔδειξε διὰ τοῦ ὀκλάσαι, καὶ τὸ μὴ ὑποσυρῆναι ὁμοίως
ταῖς τῶν λοιπῶν ἀνθρώπων ψυχαῖς διὰ τοῦ ἡδρᾶσθαι.
Ταῦτα μὲν οὖν πάντα προαπέκειτο τῷ Χριστῷ· πλὴν
ἕως οὐδέπω τέλους ἐτύγχανε τὸ Ἰουδαίων [p] συνειστήκει
ἔθνος, καὶ οἱ ἐξ αὐτῶν ἄρχοντες καὶ ἡγούμενοι οἵ τε
ἐξακριβαζόμενοι τὰς θείας συνετῶς περὶ τοῦ Χριστοῦ
70 προφητείας διέπρεπον ἐν αὐτοῖς. Ἐπεὶ δὲ ἐλήλυθε τὰ p. 379
ἀποκείμενα τῷ Ἰούδᾳ, ἐφάνη τε ἐπὶ γῆς ὁ προφητευό-
μενος ἐκ σπέρματος καὶ βλαστοῦ γενόμενος τοῦ ταῦτα
τεθεσπικότος, ἀναπεσών τε καὶ κοιμηθεὶς, ἢ ὀκλάσας
κατὰ τὸν Σύμμαχον, ἡδράσθη καὶ ἀνηγέρθη, τὰς χεῖρας
αὐτοῦ κατὰ νώτου τῶν ἀοράτων καὶ νοητῶν ἐχθρῶν
ἐπιβαλὼν, οἵ τε ἀδελφοὶ αὐτοῦ καὶ μαθηταὶ πρότερον
ἐπαινοῦντες αὐτὸν καὶ θαυμάζοντες, ὕστερον καὶ ὡς Θεὸν
ὡμολόγησαν εἶναι, καὶ ὡς Θεὸν προσεκύνησαν, τηνι-
καῦτα ἐπληροῦτο τὰ ἀποκείμενα αὐτῷ, ὡς διὰ τοῦτο
71 ἀνειρῆσθαι τὸ, ἕως ἂν ἔλθῃ τὰ ἀποκείμενα αὐτῷ. Ἐξ

[p] συνειστήκει] συνεστήκει P.

nissime apparet ipsa de morte ad vitam restitutio, et ab inferis veluti a quadam ferarum captura Salvatoris nostri evasio: quod vero illum dixerit et genua flexisse et confirmatum esse, non autem cecidisse, in eo quidem quod genua flexerit mortem interim demonstravit, quod autem sit confirmatus, non raptatum esse more aliarum animarum. Hæc igitur omnia Christo prius reposita erant, quæ tamen quamdiu finem suum consecuta non sunt, tam diu Judaica gens stetit, Judæorumque principes ac duces exquisitique ac sapientes divinorum de Christo oraculorum interpretes apud ipsos floruerunt. Postquam autem venerunt quæ ipsi Judæ reposita erant, tum is in terra est visus, qui a prophetis dictus erat de semine ac stirpe ejus qui hæc divinaverat oriturus, recumbensque ac sopitus, vel, ut ait Symmachus, genibus flexis confirmatus est et surrexit, manibus in tergum invisibilium atque intelligibilium hostium injectis, ejusque fratres ac discipuli antea illum laudantes atque admirantes, post ubi Deum esse confessi sunt, etiam ut Deum adoraverunt, tum vero illa ipsa completa sunt, quæ ipsi reposita erant, ut propter hoc illud redditum sit oraculum, *Donec veniant quæ reposita sunt ipsi.* Quum

ἐκείνου γαρ τοι καὶ εἰς δεῦρο εἰς πέρας ἐλθόντων τῶν b
ἀποκειμένων αὐτῷ, διαλελοίπασι μὲν οἱ ἄρχοντες καὶ ἡγούμενοι τοῦ Ἰουδαίων ἔθνους, κατέστησάν τε ἐπὶ κεφαλῆς αὐτῶν ἄρχοντες ἐθνῶν, ἔμπαλιν δὲ τὰ ἔθνη, τὸν Χριστὸν ἐπιγνόντα τοῦ Θεοῦ, αὐτὸν ἐπεγράψαντο
72 Σωτῆρα καὶ προσδοκίαν. Μετὰ ταῦτα πάντα ἐπιλέγεται,

Δεσμεύων πρὸς ἄμπελον τὸν πῶλον αὐτοῦ, καὶ τῇ ἕλικι τὸ ὑποζύγιον τῆς [q] ὄνου αὐτοῦ, πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ. Χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ οἴνου, καὶ λευκοὶ οἱ ὀδόντες c
αὐτοῦ ἢ γάλα.

73 Αἰνίττεσθαι δὲ ἡγοῦμαι διὰ τούτων τὸν μὲν πῶλον, αὐτὸν τὸν τῶν ἀποστόλων καὶ μαθητῶν τοῦ Σωτῆρος ἡμῶν χορὸν, τὴν δὲ ἄμπελον ἐν ᾗ τὸν πῶλον προσέδησε, τὴν ἔνθεον καὶ ἀόρατον αὐτοῦ δύναμιν, ἣν αὐτὸς παριστὰς ἐδίδασκε, λέγων, Ἐγώ εἰμι ἡ ἄμπελος ἡ ἀληθινὴ, ὁ πατήρ μου ὁ γεωργός ἐστιν. Ἕλιξ δὲ τῆς ἀμπέλου τῆς ἀποδοθείσης εἴη ἂν ἡ τοῦ Θεοῦ Λόγου διδασκαλία, ἐν ᾗ τὸν πῶλον τῆς ὄνου κατεδήσατο, τὸν νέον ἐξ ἐθνῶν
74 λαὸν, γέννημα τυγχάνοντα τῶν ἀποστόλων αὐτοῦ.

[q] αὐτοῦ ὄνου S.

enim ex illo ad hunc usque diem ea quæ ipsi reposita erant ad finem pervenerint, defecerunt quidem principes ac duces Judæorum, eisque supra caput gentium principes collocati sunt. E contrario autem ipsæ gentes, ubi Christum Dei agnoverunt, illum sibi et Salvatorem et expectationem adscripserunt. Post hæc omnia illud adjungitur, *Ligans ad vitem pullum suum, et ad capreolum vitis pullum asinæ suæ, lavabit in vino stolam suam, et in sanguine uvæ pallium suum, gratiosi oculi ejus a vino, et albi dentes ejus ut lac.* Gen. 49, 11. In his autem significari arbitror per pullum quidem ipsum apostolorum ac discipulorum Salvatoris nostri chorum, per vitem autem ad quam pullus est alligatus, divinam invisibilemque ejus vim, quam ipse dum ostenderet, docebat his verbis, *Ego sum vitis vera, et pater meus agricola est.* Jo. 15, 1. Ejusdem porro vitis capreolus Dei Verbi doctrina fuerit, ad quem pullum asinæ suæ alligavit, qui quidem pullus novum de gentibus populum, quasi genituram quandam apostolorum ejus et

Εἴποι δ' ἄν τις καὶ πρὸς λέξιν ταῦτα τέλους τετυχηκέναι, d
ὅτε κατὰ τὸν Ματθαῖον εἶπεν ὁ Κύριος τοῖς ἑαυτοῦ
μαθηταῖς, Πορεύεσθε εἰς τὴν κατέναντι ὑμῶν κώμην, καὶ
εὐθέως [r] εὑρήσετε ὄνον [s] δεδεμένην, καὶ πῶλον μετ' αὐτῆς·
75 λύσαντες ἀγάγετέ μοι. Καί ἐστί γε ἀληθῶς τῷ λόγῳ
ἐπιστήσαντα ἀποθαυμάσαι τὴν τοῦ προφήτου πρόρρη-
σιν, τῷ θείῳ πνεύματι προτεθεωρηκότος, ὅτι δὴ μελλήσει
ὁ προφητευόμενος οὐχ οἷά τις ἐπίδοξος ἐν ἀνθρώποις
βασιλεὺς ἐφ' ἁρμάτων καὶ ἵππων ὀχήσεσθαι, ἀλλὰ ἐπὶ
ὄνου καὶ πώλου, οἷά τις τῶν πολλῶν κοινὸς ἀνὴρ καὶ
76 πένης. Τοῦτο γὰρ καὶ ἄλλος προφητῶν ἐθαύμασε,
φήσας, Χαῖρε σφόδρα, θύγατερ Σιὼν, ἰδοὺ ὁ βασιλεύς σου p. 380
ἔρχεταί σοι πρᾷος, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον
νέον. Τὸ δὲ, Πλυνεῖ ἐν οἴνῳ τὴν στολὴν αὐτοῦ, καὶ ἐν αἵ-
ματι σταφυλῆς τὴν περιβολὴν αὐτοῦ, σκέψαι καὶ αὐτὸς
μήποτε ὡς ἐν ἀπορρήτοις τὸ μυστικὸν [t] αἰνίττεται πάθος
αὐτοῦ, ἐν ᾧ τὴν στολὴν αὐτοῦ καὶ τὸ περιβόλαιον
[u] ἀπέπλυνε λουτρῷ, δι' οὗ τῶν εἰς αὐτὸν πεπιστευκότων
77 ἀποπλύνειν τὰ παλαιὰ ῥύπη δηλοῦται. Διὰ γὰρ τοῦ

[r] εὑρήσεται S. [s] δεδεμένον P. qui mox om. μετ' αὐτῆς. [t] αἰνίττεται] αἰνίττεσθαι S. [u] ἀπέπλυνε] ἀποπλύνας P.

prolem significaverit. Possumus item vel ad verbum dicere hæc suum finem contigisse, quo tempore, ut apud Matthæum legitur,
Matth. 21, 2. Dominus dixit ad suos discipulos, *Ite in castellum quod contra vos est, et statim invenietis asinam alligatam et pullum cum ea, solvite et adducite mihi.* Et sane si quis verba diligenter attenderit, quin prophetæ prædictionem admiretur facere non poterit, qui divino Spiritu afflatus tanto ante cognoverit, eum, de quo ipse vaticinabatur, non ut aliquem illustrem apud homines regem in curribus et equis esse vehendum, sed super asina et pullo sedentem, quasi unum de multis et vulgarem quendam hominem atque inopem. Id ipsum alius quoque propheta
Zach. 9, 9. est admiratus, ubi ait, *Gaude vehementer filia Sion, ecce rex tuus venit tibi mansuetus, sedens super jumento et pullo adolescente.* Illud autem, *Lavabit in vino stolam suam, et in sanguine uvæ pallium suum*, vide quæso tu quoque ne quando, ut in arcanis, mysticam illius passionem significet, in qua stolam suam et indumentum abluerit, tanquam in lavacro: ubi sane eorum, qui in ipsum crediderint, sordes antiquas

οἴνου, ὅπερ ἦν τοῦ αἵματος αὐτοῦ σύμβολον, τοὺς εἰς
τὸν θάνατον αὐτοῦ βαπτιζομένους καὶ ἐπὶ τὸ αἷμα αὐτοῦ b
πεπιστευκότας τῶν πάλαι κακῶν ἀποκαθαίρει, ἀποπλύ-
νων αὐτῶν καὶ ἀποσμήχων τὴν παλαιὰν αὐτῶν στολὴν
καὶ τὸ περιβόλαιον, ὥστε αὐτοὺς τῷ τιμίῳ αἵματι τῆς
ἐνθέου καὶ πνευματικῆς σταφυλῆς τῷ τε ἐκ τῆς ἀποδο-
θείσης ἀμπέλου οἴνῳ λελυτρωμένους ἀποδύσασθαι μὲν
τὸν παλαιὸν ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ, ἐνδύ-
σασθαι δὲ τὸν νέον τὸν ἀνακαινούμενον εἰς ἐπίγνωσιν
78 κατ' εἰκόνα τοῦ κτίσαντος. Καὶ τὸ, *χαροποιοὶ αὐτοῦ οἱ
ὀφθαλμοὶ ἀπὸ οἴνου*· Καὶ τὸ, *λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ* c
γάλα, πάλιν ἀπορρήτως τῆς καινῆς τοῦ Σωτῆρος ἡμῶν
διαθήκης τὰ μυστήρια ἡγοῦμαι περιέχειν. Τὴν γοῦν
εὐφροσύνην τὴν ἀπὸ τοῦ μυστικοῦ οἴνου, οὗ παραδέδω-
κεν αὐτὸς τοῖς ἑαυτοῦ μαθηταῖς [x]εἰπὼν, *Λάβετε, πίετε,
τοῦτό μου ἐστὶ τὸ αἷμα τὸ ὑπὲρ ὑμῶν ἐκχυνόμενον εἰς
ἄφεσιν ἁμαρτιῶν· τοῦτο ποιεῖτε εἰς τὴν ἐμὴν ἀνάμνησιν*,
δοκεῖ μοι σημαίνειν τὸ, *χαροποιοὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ
οἴνου*, καὶ τὸ, *λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα*, τὸ λαμπρὸν d
79 καὶ καθαρὸν τῆς μυστηριώδους τροφῆς. Πάλιν γὰρ

[x] λέγων] εἰπὼν P.

abluisse declaratur. Per vinum enim, quæ sanguinis illius nota est, eos qui in morte illius baptizentur, quique in sanguinem ejusdem credant, a veteribus malis expurgat, utpote qui abluat et abstergat antiquam eorum stolam et pallium. Itaque pretioso sanguine divinæ illius et de spiritu natæ uvæ, ejusque vitis vino, de qua dictum est supra, redempti, veterem quidem hominem cum ejus actionibus exuerunt, novum autem et ad cognitionem secundum imaginem ejus qui creavit instauratum induerunt. At illud, *Gratiosi oculi ejus a vino*, et illud, *Albi dentes ejus ut lac*, rursus tanquam in arcanis posita novi testamenti mysteria comprehendere arbitror, lætitiam videlicet mystici illius vini, quod suis ipse discipulis porrexit Salvator, quum dixit, *Accipite, bibite, hic est meus sanguis, qui pro vobis funditur in remissionem peccatorum. Hoc facite in meam commemorationem.* Siquidem illud, *Gratiosi oculi ejus a vino, et albi dentes ejus ut lac*, splendorem puritatemque mystici illius alimenti mihi significare videtur. Rursus enim ipse dispensationis divinæ notas suis discipulis

αὐτὸς τὰ σύμβολα τῆς ἐνθέου οἰκονομίας τοῖς αὐτοῦ
παρεδίδου μαθηταῖς, τὴν εἰκόνα τοῦ ἰδίου σώματος ποι-
80 εῖσθαι παρακελευόμενος. Ἐπειδὴ γὰρ οὐκέτι τὰς δι'
αἱμάτων θυσίας, οὐδὲ τὰς παρὰ Μωσεῖ ἐν διαφόρων
ζῴων σφαγαῖς νενομοθετημένας προσίετο, ἄρτῳ δὲ χρῆ-
σθαι συμβόλῳ τοῦ ἰδίου σώματος παρεδίδου, εἰκότως
τὸ λαμπρὸν καὶ καθαρὸν ᾐνίξατο τῆς τροφῆς, εἰπὼν,
καὶ λευκοὶ οἱ ὀδόντες αὐτοῦ ἢ γάλα. Τούτου καὶ ἄλλος
ἐμνημόνευσε προφήτης, φήσας, *θυσίαν καὶ προσφορὰν οὐκ*
81 [y]*ἠθέλησας, σῶμα δὲ κατηρτίσω μοί.* Ἀλλὰ ταῦτα πλεί-
ονος βασάνου δεόμενα καὶ μακροτέρας ἑρμηνείας ἐπὶ
σχολῆς ἄν τις βασανίσειε, τοῦ παρόντος καιροῦ τοσαῦτα
εἰπεῖν ἀπαιτήσαντος εἰς τὸ παραστῆσαι μετὰ τῶν ἄλλων p. 356
καὶ τοὺς χρόνους τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας ἄνω-
θεν ὑπὸ τῶν πρόπαλαι προφητῶν ἐγνωσμένους τῇ θείᾳ
σαφῶς παραδεδόσθαι γραφῇ.

ΑΠΟ ΤΟΥ ΔΑΝΙΗΛ.

2 Καὶ ἔτι μου λαλοῦντος, καὶ προσευχομένου, καὶ ἐξαγο- c
Ὡς μετὰ ρεύοντος τὰς ἁμαρτίας μου, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ μου

[z] ἐθέλησας] ἠθέλησας P.

tradidit, dum hortatur ut sui ipsius corporis imaginem repræsentent. Quum enim non amplius cruenta sacrificia, neque ea quæ apud Mosem in lege diversorum animalium mactationibus sancita erant, grata esset habiturus, sed ut pane sui corporis nota uterentur instituturus: merito propheta splendorem ac puritatem illius alimenti significavit, quum dixit, *Et albi dentes ejus ut lac.* Hanc rem alius quoque pro-
Ps. 40, 6. pheta commemorat his verbis, *Sacrificium et oblationem noluisti, corpus autem perfecisti mihi.* Cæterum, hæc quum majore indagatione et longiore quadam interpretatione indigeant, per otium quispiam diligentius exploraverit: quandoquidem hoc tempus plura dici non postulat, ut plane appareat, vna cum aliis, tempora quoque Salvatoris nostri adventus a prioribus prophetis antiquitus cognita divinæ evidenter commendata esse scripturæ.

A DANIELE.

2 *Et quum adhuc loquerer et orarem et enunciarem peccata mea, et*
Dan. 9, 20. *peccata populi mei Israel, et profunderem commiserationem meam*
Quem-

Ἰσραὴλ, καὶ ῥιπτοῦντος τὸν ἔλεόν μου ἔναντι Κυρίου τοῦ
Θεοῦ μου [z]περὶ τοῦ ὄρους τοῦ ἁγίου τοῦ Θεοῦ μου, καὶ ἔτι
μου λαλοῦντος ἐν τῇ προσευχῇ, καὶ ἰδοὺ ὁ ἀνὴρ Γαβριὴλ, ὃν
εἶδον ἐν τῇ ἀρχῇ, [a]πετόμενος, καὶ ἥψατό μου ὡσεὶ ὥραν
θυσίας ἑσπερινῆς, καὶ συνέτισέ με, καὶ ἐλάλησε μετ' ἐμοῦ,
2 καὶ εἶπε, Δανιὴλ νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν. Ἐν d
ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος, καὶ ἐγὼ ἦλθον ἀναγ-
γεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ, καὶ ἐννοήθητι ἐν τῷ
ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ, ὅτι ἀνὴρ ἐπιθυμιῶν εἶ σύ.
3 Ἑβδομήκοντα ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου,
καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν, τοῦ συντελεσθῆναι ἁμαρτίαν,
καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ τοῦ ἀπαλεῖψαι τὰς ἀνο-
μίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δικαιοσύνην
αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ [b]προφητείαν, καὶ
4 τοῦ χρῖσαι ἅγιον ἁγίων. Καὶ γνώσῃ καὶ συνήσεις, ἀπὸ
ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερου-
σαλὴμ ἕως Χριστοῦ ἡγουμένου ἑβδομάδες ἑπτὰ, καὶ ἑβδομά-
δες ἑξηκονταδύο, καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλα- p. 382
τεία καὶ τεῖχος, καὶ κενωθήσονται οἱ καιροὶ, καὶ μετὰ τὰς
ἑβδομάδας τὰς ἑξηκονταδύο ἐξολοθρευθήσεται χρίσμα, καὶ
κρίμα οὐκ ἔστιν ἐν αὐτῷ, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον δια-
φθερεῖ σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν

χρόνον ἐτῶν ἑβδομήκοντα ἑβδομάδων, ἃ γίνεται ἔτη τετρακόσια ἐννενήκοντα, τοῦ Χριστοῦ ἀνθρώποις ἐπιφανέντος, αἱ παρὰ Ἰουδαίοις προφητεῖαι, καὶ ἡ πάλαι διαπρέπουσα ἐν αὐτοῖς ἱερωσύνη καταλυθήσεται, καὶ αὐτοὶ μὲν κατακλυσμοῦ

[z] ἐπὶ] περὶ P. [a] πετώμενος] πετόμενος P. [b] προφήτην S.

coram Domino Deo meo pro monte sancto Dei mei, et quum adhuc loquerer in oratione, ecce vir Gabriel, quem videram in visione ab initio, volans tetigit me circiter horam sacrificii vespertini, et docuit me, et locutus est mecum, et dixit: Daniel, nunc egressus sum ut afferam tibi intelligentiam: ab initio precum tuarum egressus est sermo, et ego veni ut indicarem tibi, quod vir desideriorum tu es, et animadverte in verbo, et intellige in visione, quod vir desideriorum es tu. Septuaginta hebdomades compendium accepere super populum tuum, et super civitatem sanctam, ut consummetur peccatum, et signentur quasi annulo peccata, et deleantur iniquitates, et expientur injustitiæ, et adducatur justitia sempiterna, et quasi signo impresso claudatur visio, et propheta, et ungatur sanctus sanctorum, et cognosces et intelliges ab exitu sermonis, ut respondeatur, et ædificetur Hierusalem usque ad Christum ducem. Hebdomades septem, et hebdomades sexaginta duæ, et revertetur, et ædificabitur platea et murus, et evacuabuntur tempora: et post hebdomadas sexaginta duas peribit unctio, et judicium non est in ea, et civi-

admodum post annorum spatium septies LXX quæ summa efficitur CCCCXC annorum, quum Christus hominibus se videndum præbuerit, prophetiæ quæ apud Judæos extabant, et quod antea apud eosdem celebre, clarumque erat sacerdotium,

δίκην ἐπ' ἀλλήλοις πολιορκίαις ἁλώσονται, τὸ δὲ ἅγιον αὐτῶν ἱερὸν τὴν ἐσχάτην ἐρημίαν ὑπομενεῖ.

κατακλυσμῷ, καὶ ἕως τέλους πολέμου συντετμημένου ἀφανισμοῖς, καὶ δυναμώσει διαθήκην πολλοῖς ἑβδομὰς μία, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται θυσία καὶ σπονδή, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώσεων [c]ἔσται, καὶ ἕως συν- b
τελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.

5 Τῆς τοῦ Ἰουδαίων ἔθνους εἰς Βαβυλῶνα ἑβδομηκονταετοῦς αἰχμαλωσίας εἰς πέρας ἤδη συνελαυνούσης, τῷ Δανιὴλ εὐξαμένῳ εἷς τῶν ἁγίων λειτουργῶν τοῦ Θεοῦ Γαβριὴλ ὁ ἀρχάγγελος ἐπιφανεὶς τὴν ἀνανέωσιν τῆς Ἱερουσαλὴμ αὐτίκα [d]τότε καὶ οὐκ εἰς μακρὰν ἔσεσθαι θεσπίζει, τόν τε [e]μετὰ τὴν ἀνανέωσιν αὐτῆς χρόνον εἰς ἐτῶν ἀριθμὸν περιορίζει, προλέγει τε ὡς [e]μετὰ τὴν ὡρισμένην προθεσμίαν αὖθις καθαιρεθήσεται, καὶ ὡς τὴν c
δευτέραν ὑπομείνασα ἅλωσιν καὶ πολιορκίαν οὐκέτι τῆς ἐκ Θεοῦ τεύξεται ἐπισκοπῆς, μενεῖ δὲ ἔρημος, συγκαθαιρουμένης αὐτῇ τῆς κατὰ τὸν Μωσέως νόμον λατρείας, ἑτέρας δὲ ἀντ' ἐκείνης τῷ βίῳ τῶν ἀνθρώπων καινῆς
6 διαθήκης ἀντεισαχθησομένης. Καὶ ταῦτα ὁ Γαβριὴλ ὡς ἐν χρησμοῖς ἐπικεκρυμμένως ἐκφαίνειν ὁμολογεῖ τῷ

[c] ἔσται om. P. [d] τε] τότε P. [e] κατὰ] μετὰ P.

dissolvetur, et ipsi quidem diluvii cujusdam instar assiduis obsidionibus captivi fient, sacrum autem ipsorum templum extremam vastationem patietur.

tatem et sanctum disperdet cum duce venturo, et excidentur in diluvio, et usque ad finem belli in compendium redacti internecionibus, et confirmabit pactum multis hebdomada una, et in medio hebdomadis auferetur sacrificium et libatio, et super templum abominatio desolationum, et usque ad consummationem temporis consummatio dabitur in desolationem. Quum Judaicæ gentis septuagenaria apud Babylonios servitus jam ad finem tenderet, Danieli oranti unus ex sanctis Dei ministris visus Gabriel archangelus renovationem urbis Hierusalem primo quoque tempore et sine mora futuram canit, et tempus usque ad eam renovationem numero annorum determinat: prædicitque ut post definitum illud temporis spatium rursus evertetur, utque post secundam expugnationem atque obsidionem non ultra Deo tutore gaudebit, sed sola ac deserta secum una Mosaicæ legis ritu sublato permanebit, quippe quum in ejus ritus locum in vitam hominum alterum sit introducendum testamentum, quod novum dicatur. Et hæc, ut in oraculis mos est, latenter se ipsi prophetæ indicare Gabriel profitetur. Ait igitur ad illum, *Nunc egressus sum ut afferam tibi*

7 προφήτῃ. Φησὶν [f]οὖν αὐτῷ, Δανιὴλ, νῦν ἐξῆλθον συμβιβάσαι σε σύνεσιν, ἐν ἀρχῇ τῆς δεήσεώς σου ἐξῆλθεν ὁ λόγος, κἀγὼ ἦλθον ἀναγγεῖλαί σοι, ὅτι ἀνὴρ ἐπιθυμιῶν σὺ εἶ, καὶ ἐννοήθητι ἐν τῷ ῥήματι, καὶ σύνες ἐν τῇ ὀπτασίᾳ, σαφῶς διεγείρων αὐτὸν εἰς βαθυτέραν ἔννοιαν καὶ σύν- d εσιν τῆς τῶν λεγομένων θεωρίας. Ὀπτασίαν γοῦν αὐτά [g]γέ φησι διὰ τὸ βαθυτέρας ἔχεσθαι διανοίας, καὶ οὐ τῆς
8 τυχούσης συνέσεως [h]δεῖσθαι. Διόπερ καὶ αὐτοὶ τὸν δωρούμενον σύνεσιν ἀνθρώποις ἐπικαλεσάμενοι [i]εὐξάμενοί τε ὑπ' αὐτοῦ φωτισθῆναι τοὺς τῆς διανοίας ὀφθαλμοὺς, ἐπιθαρρήσωμεν τῇ κατὰ τοὺς τόπους θεωρίᾳ. Ἑβδομήκοντα, φησὶν, ἑβδομάδες συνετμήθησαν ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, τοῦ συντελεσθῆναι ἁμαρτίαν, [k]καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι τὰς ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δικαιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν
9 καὶ [l]προφήτην, καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. Ὅτι τῶν p. 383 ἑβδομήκοντα ἑβδομάδων ὁ χρόνος ἐν ἔτεσιν ἀναλυόμενος ἐνενήκοντα πρὸς τοῖς τετρακοσίοις ἀριθμὸν συνάγει,

[f] γοῦν τῷ] οὖν αὐτῷ P. [g] γε om. S. [h] δεῖσθαι] δέεσθαι P. [i] εὐξάμενοι add. P. [k] καὶ τ. σ. ἁ. add. P. [l] προφητείαν] προφήτην P. ὅρασιν—χρῖσαι om. S.

intelligentiam: ab initio precum tuarum egressus est sermo, et ego veni ut indicarem tibi, quod vir desideriorum tu es, et animadverte in verbo, et intellige in visione. Quibus verbis plane illum excitat, ut profundius animadvertat profundiusque intelligat ea quæ in verbis ab ipso proferendis contemplatione digna sunt. Siquidem illa visionem appellat, propterea quod profundiorem quendam sensum attingunt, neque vulgari quadam prudentia indigent: quamobrem ipsi quoque eum invocantes qui dat hominibus sapientiam, rogantesque ut mentis oculos nobis illuminet, confidenter aggrediamur quæ ad horum locorum interpretationem pertinent. *Septuaginta,* inquit, *hebdomades compendium accepere super populum tuum, et super civitatem sanctam, ut consumetur peccatum, et quasi annulo signentur peccata: et deleantur iniquitates, et expientur injustitiæ, et adducatur justitia sempiterna, et quasi signo impresso claudatur visio et propheta, et ungatur sanctus sanctorum.* Quod igitur septuaginta hebdomadarum spatium, si in annos resolvatur, nonaginta supra quadringentos summam con-

παντί που δῆλον. Τοσοῦτος τοιγαροῦν συνετμήθη χρό-
νος ἐπὶ τὸν λαόν σου, τὸ πᾶν συμπέρασμα τοῦ Ἰουδαίων
10 περιορίζων ἔθνους. Καὶ οὐκέτι γε αὐτοὺς ἐν τούτοις
Θεοῦ λαὸν προσαγορεύει, ἀλλὰ τῷ Δανιὴλ φησι, λαόν
σου· ὥσπερ γὰρ ἀσεβήσαντά ποτε καὶ εἰδωλολατρή-
σαντα ἐπὶ τῆς ἐρήμου, οὐκέτι λαὸν ἑαυτοῦ ὁ Θεὸς ἀλλὰ
τοῦ Μωσέως προσεῖπε, φήσας, βάδιζε, κατάβηθι, ἠνόμησε
γὰρ ὁ λαός [m] σου· τὸν αὐτὸν τρόπον κἀνταῦθα τοῦ περι- b
ωρίσθαι κατ' αὐτῶν τὸν δηλωθέντα χρόνον τὸ αἴτιον
ἐκδιδάσκει· τοῦτο δ' ἦν τὸ μηκέτι τοῦ Θεοῦ λαὸν αὐτοὺς
11 καταξιοῦσθαι χρηματίζειν. Ἐπιλέγει δὲ καὶ ἐπὶ τὴν
πόλιν τὴν ἁγίαν· τὸ σοῦ πάλιν ἐξακουόντων ἡμῶν κατὰ
κοινοῦ, ὡς εἶναι τὸ λεγόμενον τοιοῦτον, ἐπὶ τὸν λαόν σου,
καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, ὡς εἰ ἔφασκε, τήν σοι
νενομισμένην ἁγίαν. Τὸ γοῦν Ἑβραϊκὸν καὶ οἱ λοιποὶ
συμφώνως ἑρμηνευταὶ, οὐ μόνον ἐπὶ τοῦ λαοῦ, ἀλλὰ καὶ
ἐπὶ τῆς πόλεως τὸ [n] σοῦ προσκείμενον περιέχουσιν. Ὁ c
γοῦν Ἀκύλας φησὶν, ἐπὶ τὸν λαόν σου, καὶ ἐπὶ πόλιν
ἡγιασμένην σου· ὁ δὲ Σύμμαχος, κατὰ τοῦ λαοῦ σου,
12 καὶ τῆς πόλεως τῆς ἁγίας σου. Ὅθεν καὶ παρὰ τοῖς

[m] σου] μοῦ S. [n] σου] τοῦ S.

ficiat, nemini, puto, dubium est. Tantum igitur temporis compendium accepit super populum tuum, ubi sane omnem Judaicæ gentis terminationem concludit: nec tamen illos in his amplius Dei populum vocat, sed alloquens ipsum Daniel, *populum*, inquit, *tuum:* namque alias quoque, tanquam eum qui impie egisset et simulachris se addixisset, non amplius suum populum Deus sed Mosi appellavit, quum
Ex. 32, 7. dixit, *Vade, descende, peccavit enim populus tuus.* Nunc igitur eodem modo causam, cur illud temporis spatium contra illos præfinierit, docet: hoc autem est, eos non amplius dignos esse qui populus Dei appellentur. Deinde adjungit illud, *Et super civitatem sanctam:* ubi illud *tuam* rursus a superiori subaudimus: ut ita dictum esse videatur, *Super populum tuum et super civitatem sanctam tuam,* non secus ac si dixisset, quæ a te sancta existimatur: nam et Hebraicus contextus, et reliqui interpretes uno ore, non solum ad populum illud *tuum,* sed etiam ad civitatem illud *tuam* adjungunt. Aquila igitur, *Super populum,* inquit, *tuum, et super civitatem sanctificatam*

ἀκριβέσιν ἀντιγράφοις τῶν Ἑβδομήκοντα τὸ σοῦ μετὰ
13 ἀστερίσκου παραθέσεως πρόσκειται. Ἐπεὶ γὰρ εὐξά-
μενος Δανιὴλ ἐν τοῖς τῆς ἱκεσίας αὐτοῦ ῥήμασι πολλά-
κις τὸν μὲν λαὸν Θεοῦ λαὸν ὠνόμασε, τὸν δὲ τῆς πόλεως
τόπον, ἅγιον [o] τοῦ Θεοῦ τόπον, ἀντιστρέψας ὁ χρηματίζων, d
οὔτε τὴν πόλιν ἁγίαν τοῦ Θεοῦ, οὔτε τὸν λαὸν τοῦ Θεοῦ
εἶναι ὁμολογεῖ, ἀλλά σου, φησὶ, τοῦ προσευχομένου καὶ
τοιαῦτα περὶ τοῦ λαοῦ καὶ τοῦ τόπου καὶ τῆς πόλεως
εἰρηκότος. Ἔχουσι δὲ τοῦ Δανιὴλ αἱ φωναὶ οὕτως,
ἀποστραφήτω δὴ ὁ θυμός σου, καὶ ἡ ὀργή σου ἀπὸ τῆς
14 πόλεώς σου Ἱερουσαλὴμ ὄρους ἁγίου σου. Καὶ, ὁ λαός
σου ἐγένετο εἰς ὀνειδισμὸν ἐν πᾶσι τοῖς περικύκλῳ ἡμῶν.
Καὶ πάλιν, ἐπίφανον τὸ πρόσωπόν σου ἐπὶ τὸ ἁγίασμά
σου τὸ ἔρημον. Καὶ αὖθις, ἴδε τὸν ἀφανισμὸν τῆς πόλεώς
σου, ἐφ᾿ ἧς ἐπικέκληται τὸ ὄνομά σου ἐπ᾿ αὐτῆς, καὶ ἑξῆς,
ὅτι τὸ ὄνομά σου ἐπεκλήθη ἐπὶ τὴν πόλιν σου, καὶ ἐπὶ τὸν
15 λαόν σου. Τοιαῦτα εὐξάμενος ἐπιλέγει, καὶ ἔτι μου λα-
λοῦντος καὶ προσευχομένου, ἰδοὺ Γαβριὴλ ὃν εἶδον ἐν τῇ
ὁράσει μου, [p] πετόμενος, καὶ ἥψατό μου, καὶ εἶπε τὰ ἀνα-
γεγραμμένα· σαφῶς οὖν διὰ τούτων ὁ μὲν προφήτης p. 384

[o] τοῦ add. P. [p] πετώμενος] πετόμενος P.

tuam. Symmachus autem, *Adversus populum tuum, et civitatem sanctam tuam.* Quocirca in bonis quoque LXX interpretum codicibus illud *tuam* stellula apposita adjectum est: nam quum orans Daniel in illis suæ supplicationis verbis sæpius populum *Dei populum* nominasset, civitatis autem locum *sanctum Dei locum* vertens in diversum qui respondebat, neque civitatem sanctam Dei neque populum Dei esse fatetur, sed tuum, inquit, qui oras, et qui talia de populo et de loco civitatis dixisti. Verba ipsius Daniel hoc modo se habent, *Avertatur furor tuus et ira tua a civitate tua Hierusalem et monte sancto tuo.* Item, *Populus tuus factus est in opprobrium omnibus in circuitu nostro.* Et rursus, *Ostende faciem tuam super sanctuarium tuum, quod desertum est.* Et rursus, *Vide interitum civitatis tuæ super quam invocatum est nomen tuum.* Ac deinceps, *Quia nomen tuum invocatum est super civitatem tuam, et super populum tuum.* Talibus quum orasset, adjunxit, *Et quum adhuc loquerer et orarem, ecce Gabriel, quem videram in visione mea, volans tetigit me,* et dixit ea utique quæ superius

Dan 9, 16.

πόλιν οὐχ ἁπλῶς ἀλλὰ τοῦ Θεοῦ πόλιν ὠνόμασε, καὶ τὸ
ἁγίασμα, τοῦ Θεοῦ ἁγίασμα, καὶ τὸν λαὸν, τοῦ Θεοῦ λαὸν,
16 διαθέσει τῇ πρὸς τὸν λαόν. Οὐκέτι μὴν καὶ ὁ Γαβριὴλ
ὁμοίως αὐτῷ καλεῖ τὰ δηλούμενα, ἔμπαλιν δὲ ἐπὶ τὸν
λαόν σου φησὶ, καὶ ἐπὶ τὴν πόλιν τὴν ἁγίαν σου, μονον-
ουχὶ καὶ τὴν πόλιν, καὶ τὸν λαὸν, καὶ τὸ ἁγίασμα
ἀνάξιον εἶναι τῆς τοῦ Θεοῦ προσηγορίας ἀποφήνας.
17 Τοσοῦτον δὴ οὖν χρόνον ὡρίσθαι κατὰ τοῦ λαοῦ πρῶ- b
τον ἔπειτα καὶ κατὰ τῆς πόλεως διδάσκει, καὶ τοσοῦτός
γε ὢν ἀποδείκνυται ἀπὸ τῆς ἀνανεώσεως τῆς Ἱερουσα-
λὴμ, [q] ὃ γέγονεν [r] ἐπὶ Δαρείου τοῦ Περσῶν βασιλέως,
μέχρι τῆς Αὐγούστου Ῥωμαίων ἐπικρατήσεως, Ἡρώδου
τε Ἰουδαίων βασιλέως ἀλλοφύλου τὸ γένος, καθ' οὓς τὰ
τῆς γενέσεως ἱστορεῖται τοῦ Σωτῆρος ἡμῶν, ὡς ὁ λόγος
18 προϊὼν ἐπιδείξει. Ἑξῆς δὲ ἐπιλέγει, τοῦ συντελεσθῆναι
ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι ἁμαρτίας, καὶ ἀπαλεῖψαι
ἀνομίας, καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας, καὶ ἀγαγεῖν δι-
καιοσύνην αἰώνιον, καὶ τοῦ σφραγίσαι ὅρασιν, καὶ προφήτην, c
καὶ τοῦ χρῖσαι ἅγιον ἁγίων. Ἀντὶ μὲν οὖν τοῦ συντελε-

[q] ὃ] ὃς S. [r] ἐπὶ] ἀπὸ S.

descripta habes. Plane igitur in his propheta non simpliciter civitatem, sed *Dei civitatem* nominavit, et sanctuarium, *Dei sanctuarium*, et populum, *Dei populum*, ita videlicet animo erga illum populum affectus. At vero Gabriel non item ut ipse ea quæ jam dicta sunt vocat, sed ex contrario *super populum tuum* inquit et *super civitatem sanctam tuam*, ubi propemodum et civitatem, et populum, et sanctuarium illa Dei appellatione indigna esse demonstrat. Tantum igitur temporis spatium primum contra populum, deinde contra civitatem præfinitum esse docet: et quod tantum sit ostendit ex renovatione Hierusalem. Id porro continetur a Dario Persarum rege usque ad Augusti dominatum in Romanos et Herodem Judæorum regem, qui alieno genere natus est, quorum temporibus ea quæ ad ortum Salvatoris nostri pertinent enarrantur, quemadmodum longius progressa oratio demonstrabit. Ordine deinceps sequitur, *ut consummetur peccatum, et quasi annulo signentur peccata, et deleantur iniquitates, et expientur injustitiæ, et inducatur justitia sempiterna, et quasi signo impresso claudatur visio et propheta, et ungatur sanctus sanctorum.* Pro eo autem quod est, ut *consummetur peccatum,* et

σθῆναι ἁμαρτίαν, καὶ τοῦ σφραγίσαι [s]ἁμαρτίας, ὁ Ἀκύλας
πεποίηκε, τοῦ συντελέσαι τὴν ἀθεσίαν, καὶ τοῦ τελειῶσαι
19 ἁμαρτίαν. Τὸ γὰρ, πληρώσατε τὸ μέτρον τῶν πατέρων
ὑμῶν, εἰρημένον ὑπὸ τοῦ Σωτῆρος ἡμῶν πρὸς τοὺς ἐκ
περιτομῆς, καὶ διὰ τούτων οἶμαι παρίστασθαι. Ἐπὶ γὰρ
τῆς κατ' αὐτοῦ τολμηθείσης τοῦ Ἰουδαίων ἔθνους ἐπι-
βουλῆς συνετελέσθη αὐτῶν ἡ ἁμαρτία, καὶ ἡ πρὸς τὸν
20 Θεὸν κατὰ τὸν Ἀκύλαν ἀθεσία τέλος εἴληφε. Πάλαι
μὲν γὰρ πρότερον ἔφερεν αὐτοὺς ἡ τοῦ Θεοῦ μακρο-
θυμία μυρία ὅσα πλημμελοῦντας πρὸ τῆς τοῦ Σωτῆρος
ἡμῶν παρουσίας, ὥσπερ οὖν διὰ τῶν προφητικῶν ἀπο- d
δείκνυται λόγων· πλὴν ἀλλ' ὥσπερ ἐπὶ τῶν πάλαι τὴν
γῆν τῆς ἐπαγγελίας οἰκούντων ἀλλοφύλων εἴρητο τῷ
Ἀβραὰμ, οὔπω γὰρ ἀναπεπλήρωνται αἱ ἁμαρτίαι τῶν
Ἀμορραίων, καὶ [t]εἰ μηδέπω ἦσαν [u]ἐκπεπληρωμέναι οὐκ
ἠλαύνοντό πω οἱ Ἀμορραῖοι τῆς πατρῴας γῆς, ἐπεὶ δὲ
ἐπληρώθησαν αἱ ἁμαρτίαι αὐτῶν, τηνικαῦτα πάντες ἐξο-
λοθρεύθησαν ἐπὶ τῶν Ἰησοῦ τοῦ Μωυσέως διαδόχου
χρόνων· οὕτω καὶ ἐπὶ τοῦ προτέρου νοήσεις λαοῦ· ἕως
μὲν γὰρ οὐκ ἐπληροῦντο αὐτῶν αἱ ἁμαρτίαι, ἡ τοῦ Θεοῦ

[s] ἁμαρτίαν] ἁμαρτίας P. [t] ἕως] εἰ P. [u] ἐκπληρώμεναι S.

quasi annulo signentur peccata, Aquila vertit, *ad consummandam prævaricationem, et finem imponendum peccato.* Illud enim, *Implete mensuram patrum vestrorum,* quod a Salvatore nostro ad Judæos dictum est, etiam in his arbitror contineri ac significari: nam dum insidias illi Judaica gens molitur et conficit, peccatum suum consummavit: et ejusdem, ut Aquila vertit, adversus Deum *prævaricatio* finem accepit. Jampridem enim illos quamvis innumerabilia peccata perpetrantes ante Salvatoris nostri adventum Dei tamen clementia ferebat, quemadmodum videlicet prophetica ipsa verba demonstrant: verumtamen sicut de illis qui genere ab Hebræis differentes terram promissionis incolebant ad Abraham dictum est, *Nondum enim completa sunt peccata Amorrhæorum:* et quamdiu completa non fuere, de terra ipsorum patria expulsi non sunt. Ubi autem completa sunt, tum vero omnes in interitum inciderunt, quæ sane clades illos excepit temporibus illius Jesu qui Mosi successit: ita etiam de priore tibi intelligendum est populo: quamdiu enim illorum peccata completa

Matth. 23, 32.

Gen. 15, 10.

ἀνοχὴ καὶ μακροθυμία ἔφερεν αὐτοὺς, εἰς ἐπιστροφὴν
ἑκάστοτε προσκαλουμένη διὰ τῶν προφητῶν· ἐπεὶ δὲ p. 385
κατὰ τὴν σωτηρίαν φωνὴν ἐπλήρωσαν τὸ μέτρον τῶν
πατέρων αὐτῶν, οὕτω δ' ἂν πάντα συναχθέντα [x] κατὰ
τὸ αὐτὸ τὸν ἔσχατον αὐτοῖς κατειργάσατο ὄλεθρον,
ὥσπερ οὖν πάλιν αὐτὸς ὁ Κύριος ἡμῶν διδάσκει λέγων,
πᾶν αἷμα ἐκχυθὲν ἀπὸ καταβολῆς κόσμου, ἀπὸ αἵματος
Ἄβελ τοῦ δικαίου ἕως αἵματος Ζαχαρίου, ἥξειν ἐπὶ τὴν
21 γενεὰν ταύτην. Τὸ γοῦν ἔσχατον ἁπάντων τὰς χεῖρας
ἐπιβαλεῖν τῷ υἱῷ τοῦ Θεοῦ τολμήσαντες ἐτέλεσαν τὴν
ἀθεσίαν καὶ ἐτελείωσαν τὴν ἑαυτῶν ἁμαρτίαν, κατὰ τὴν
Ἀκύλου ἑρμηνείαν, κατὰ δὲ τοὺς Ἑβδομήκοντα, ἐδέθη b
22 αὐτῶν καὶ ἐσφραγίσθη ἡ ἁμαρτία. Ἀλλὰ ἐπεὶ μὴ μόνον
εἰς πτῶσιν ἀλλὰ καὶ εἰς ἀνάστασιν πολλῶν ἐλήλυθεν
ἐν τῷ Ἰσραὴλ, καθά φησι περὶ αὐτοῦ, ἰδοὺ οὗτος κεῖται
εἰς πτῶσιν καὶ ἀνάστασιν πολλῶν ἐν τῷ Ἰσραὴλ, εἰκότως
τοῖς εἰρημένοις ἑξῆς ἐπιλέγει ὁ Δανιὴλ τὸ, καὶ τοῦ ἀπα-
23 λεῖψαι ἁμαρτίας καὶ τοῦ ἐξιλάσασθαι ἀδικίας. Διὰ γὰρ
τὸ ἀδύνατον εἶναι αἷμα ταύρων καὶ τράγων ἀφαιρεῖν ἁμαρ-
τίας, δεῖσθαι δὲ πᾶν τὸ τῶν ἀνθρώπων γένος ἱλασμοῦ c

[x] κατὰ τὸ αὐτὸ] καταυτὸ S.

non sunt, Dei illos patientia et benignitas tulit, et per prophetas undique ad conversionem invitavit. Postquam autem, ut Salvator ad ipsos dixit, impleverunt mensuram patrum suorum, tum vero in eundem locum coacta omnia extremum illis maturaverunt interitum, Matth. 23, 35. sane quemadmodum item Dominus noster nos docet, ubi ait, *Omnem sanguinem effusum a constitutione mundi, a sanguine Abel justi usque ad sanguinem Zachariæ, venturum super generationem istam.* Quum igitur ad extremum manus injicere filio Dei ausi sunt, consummaverunt *prævaricationem et finem peccato suo imposuerunt,* sicut Aquila interpretatus est, at, sicut LXX *eorum peccatum alligatum signatumque est:* sed quoniam non solum in ruinam verum etiam in reparationem multorum venit in Israel, sicut de ipso dixit Simeon, Luc. 2, 34. *Ecce hic positus est in ruinam et in resurrectionem multorum in Israel.* Merito Daniel ad ea quæ dicta sunt adjungit, *Et ut deleantur pec-* Heb. 10, 4. *cata, et expientur injustitiæ.* Quum enim *sanguis taurorum et hircorum auferre peccata non posset,* et omne hominum genus expiatione

ζῶντος καὶ ἀληθινοῦ, οὗ τύπον ἔφερε τὸ παρὰ Μωσεῖ
κατασκευασθὲν ἱλαστήριον, οὗτος δὲ ἦν ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν, ὁ ἀμνὸς τοῦ Θεοῦ, περὶ οὗ εἴρηται, Ἴδε
24 [y] ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου· καὶ
πάλιν, αὐτὸς ἱλασμός ἐστι περὶ τῶν ἁμαρτιῶν ἡμῶν, οὐ
περὶ τῶν ἡμετέρων δὲ μόνον, ἀλλὰ καὶ περὶ ὅλου τοῦ κόσμου,
αὐτὸς ὢν καὶ ἀπολύτρωσις, κατὰ τὸν Παῦλον φάσκοντα,
ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ Θεοῦ, δικαιοσύνη τε καὶ ἁγια-
σμὸς καὶ ἀπολύτρωσις· εἰκότως τὴν παρουσίαν αὐτοῦ
ὁμοῦ μὲν συμπλήρωσιν καὶ τελείωσιν ἁμαρτίας εἶναι
διδάσκει τῶν εἰς αὐτὸν ἠσεβηκότων, ὁμοῦ δὲ ἀπάλειψιν d
καὶ καθαρισμὸν ἁμαρτιῶν, καὶ ἀδικιῶν ἱλασμὸν τῶν εἰς
25 αὐτὸν πεπιστευκότων. Καὶ ὁ Ἀκύλας δὲ, τοῦ τελέσαι
τὴν ἀθεσίαν καὶ τοῦ τελειῶσαι τὴν ἁμαρτίαν εἰπὼν, ἐπή-
γαγε τὸ, τοῦ ἐξιλάσασθαι ἀνομίαν, σαφῶς ἱλασμὸν αὐτὸν
εἶναι πάσης ἀνομίας τῆς πάλαι κατὰ ἄγνοιαν γενομένης
ὑποτιθέμενος. Ἑξῆς τούτοις εἴρηται, τοῦ ἀγαγεῖν δι-
26 καιοσύνην αἰώνιον. Ἔστι μὲν οὖν αὐτὸς ὁ τοῦ Θεοῦ
Λόγος αἰώνιος δικαιοσύνη, ὃς ἐγενήθη σοφία ἡμῖν ἀπὸ
Θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις, κατὰ

[y] ὁ add. P.

viva veraque indigeret, (cujus figuram gerebat id quod apud Mosem constructum vocatur propitiatorium,) nulla autem propitiatio viva veraque esset nisi Salvator et Dominus noster, ille Agnus Dei, de quo dictum est, *Ecce Agnus Dei qui tollit peccata mundi:* nam rursus idem *propitiatio est pro peccatis nostris, nec pro nostris tantum* 1 Jo. 2, 2.
ipse est pretium ac redemptio, *sed etiam pro totius mundi,* ut ait apostolus, *Qui factus est,* inquit, *sapientia nobis a Deo, justitiaque et* 1 Cor. 1,
sanctificatio et redemptio: merito ejus adventum simul comple- 30.
mentum perfectionemque peccati esse docet eorum, qui contra ipsum impii fuerunt, simul abstersionem et purgationem peccatorum, et injustitiarum expiationem eorum, qui in ipsum crediderunt: nam quum Aquila *ad consummandam prævaricationem et finem peccato imponendum* dixerit, tum illud adjecit, et *ad expiandum iniquitatem,* sic plane illum omnis iniquitatis, quæ olim per ignorantiam admissa sit, expiationem esse pro concesso sumens. Post ipsa hæc illud sequitur, *Ut inducatur justitia sempiterna.* Est sane ipse Dei Verbum

τὸν ἀπόστολον. Πλὴν ἀλλὰ σὺν τῇ ἑαυτοῦ παρουσίᾳ
καὶ πᾶσιν ἀνθρώποις προὐξένησε δικαιοσύνην, ἔργοις
ἐπιδείξας, ὅτι μὴ μόνον Ἰουδαίων ἐστὶν ὁ Θεὸς, ἀλλὰ καὶ p. 386
ἐθνῶν· ἐπείπερ εἷς ὁ Θεὸς, ὃς δικαιώσει περιτομὴν ἐκ πί-
27 στεως, καὶ ἀκροβυστίαν διὰ τῆς πίστεως. Ὅθεν τοὺς
ἀμφὶ τὸν Κορνήλιον τοῦ ἁγίου Πνεύματος ἠξιωμένους
ἀποθαυμάσας ὁ Πέτρος, ἐπ' ἀληθείας, φησὶν, οἶδα ὅτι οὐκ
ἔστι προσωπολήπτης ὁ Θεὸς, ἀλλ' ἐν παντὶ ἔθνει ὁ φοβού-
μενος αὐτὸν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστί.
28 Καὶ ὁ Παῦλος δὲ τὸ εὐαγγέλιον δικαιοσύνης εἶναί φησι,
λέγων, [z] δύναμις γὰρ Θεοῦ ἐστιν εἰς σωτηρίαν παντὶ τῷ
πιστεύοντι, Ἰουδαίῳ τε πρῶτον καὶ Ἕλληνι. Δικαιοσύνη b
γὰρ Θεοῦ ἐν αὐτῷ ἀποκαλύπτεται. Καὶ ἐν Ψαλμοῖς δὲ
εἴρηται περὶ τοῦ Χριστοῦ, ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ
29 δικαιοσύνη καὶ πλῆθος εἰρήνης. Καὶ τὸ ἔργον δὲ αὐτοῦ
ὡς ἀληθῶς Θεοῦ δικαιοσύνην ἐνεδείξατο, τὸ πᾶν γένος
ἀνθρώπων ἐξ ἴσου τῆς παρὰ τῷ Θεῷ καταξιώσαντος
κλήσεως. Ἀλλ' οὐ τοιαῦτα ἦν τὰ διὰ Μωσέως, ἑνὶ δὲ
μόνῳ τῷ Ἰουδαίων ἔθνει δεδωρημένα· διὸ καὶ πρὸς και-

[z] δύναμιν S.

justitia sempiterna, *qui factus est nobis sapientia a Deo, justitiaque et sanctificatio et redemptio*, ut ait apostolus, verumtamen adventu suo
Rom. 3, 29. omnibus hominibus conciliavit justitiam, re ipsa ostendens, quod non *solum Judæorum est Deus, sed etiam gentium*: quandoquidem unus est Deus *qui justificabit circuncisionem ex fide, et præputium per fidem.* Ex quo eos qui cum Cornelio aderant, quique jam Spiritum sanctum
Act. 10, 34. accipere meruerant, admirans Petrus, *Vere*, inquit, *novi quod non est acceptor personarum Deus, sed in omni gente qui timet illum et exercet justitiam, acceptus est illi.* Quin Paulus quoque evangelium justitiæ
Rom. 1, 16. affirmat esse, ubi ait, *Virtus enim Dei est ad salutem omni credenti, Judæo primum et Græco: justitia enim Dei in eo revelatur.* In
Ps. 72, 7. Psalmis quoque de Christo dictum est, *Orietur in diebus ejus justitia et abundantia pacis.* Et sane illius opus re vera Dei justitiam demonstravit, utpote quod omne genus hominum pari vocatione dignum reddiderit. At quæ per Mosem edita sunt nequaquam talia, sed uni soli Judaicæ genti donata: quocirca ad tempus dumtaxat prodita præterierunt. At enim quæ per Salvatorem nostrum justitia denun-

ρὸν φανέντα παρελήλυθεν. Ἡ δὲ διὰ τοῦ Σωτῆρος
ἡμῶν κατηγγελμένη δικαιοσύνη, διαμένουσα εἰς τὸ διη- c
νεκὲς, εἰκότως αἰώνιος προσηγόρευται δικαιοσύνη, κατὰ
τὸν Γαβριὴλ φήσαντα, καὶ τοῦ ἀγαγεῖν δικαιοσύνην αἰώ-
30 νιον. Ἀντὶ δὲ καὶ τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην,
κυριώτερόν μοι δοκεῖ πεποιηκέναι ὁ Ἀκύλας, εἰπὼν, καὶ
τοῦ τελέσαι ὁραματισμὸν καὶ προφήτην. Οὐ γὰρ ἀπο-
κλεῖσαι καὶ ὥσπερ σφραγίσαι τὰς προφητικὰς ὁράσεις
ἐπιδεδήμηκεν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ὅς γε καὶ πάλαι
οὔσας ἀσαφεῖς καὶ κατεσφραγισμένας, ὥσπερ ἐπικει-
μένας περιελὼν σφραγῖδας, ἀνέῳξέ τε καὶ ἀνήπλωσε, d
τοῖς ἑαυτοῦ μαθηταῖς τὸν νοῦν τῶν θείων παραδιδοὺς
31 γραμμάτων. Ὅθεν, ἰδοὺ, φησὶν, ἐνίκησεν ὁ λέων ὁ ἐκ
φυλῆς Ἰούδα, καὶ αὐτὸς ἤνοιξε τὰς σφραγῖδας τὰς ἐπικει-
μένας τῷ βιβλίῳ, κατὰ τὴν Ἀποκάλυψιν Ἰωάννου.
Ποίας δὲ σφραγῖδας, ἢ τῶν προφητῶν τὰς ἀσαφείας;
ἃς εὖ μάλα ἐπιστάμενος ἀκριβῶς καὶ ὁ Ἡσαΐας ἔλεγε,
καὶ ἔσονται οἱ λόγοι οὗτοι ὡς [a] οἱ λόγοι τοῦ βιβλίου τοῦ
32 ἐσφραγισμένου. Οὐκ ἄρα [b] τοῦ ἀποκλεῖσαι ὅρασιν καὶ
προφήτην ἐλήλυθεν ὁ Χριστὸς τοῦ Θεοῦ, μᾶλλον δὲ
ἀναπετάσαι καὶ εἰς φῶς ἀγαγεῖν. Ὅθεν δοκεῖ μοι

[a] οἱ suprasc. P. [b] τοῦ om. S.

tiata est, in perpetuum permanens, merito æterna justitia nuncupata est, quemadmodum dixit Gabriel, *Et ut adducatur justitia sempiterna:* pro eo autem quod est, *et quasi signo impresso claudatur visio et propheta,* magis aliquanto proprie mihi videtur Aquila reddidisse, *et ad consummandum visionis munus et prophetam:* non enim ut clauderet et quasi annulo signaret propheticas visiones Salvator ac Dominus noster advenit, qui etiam illas, quæ antea obscuræ et quasi signo impresso clausæ erant, et aperuit et latius explicavit, quo tempore suis discipulis sensum divinarum scripturarum exposuit. Ex quo ecce, inquit, *vicit leo de tribu Juda: et ipse aperuit sigilla libro apposita,* ut apud Joannem legimus in Apocalypsi. (Apoc. 5, 5.) Cæterum quæ tandem sigilla, nisi prophetarum obscuritates? quas quum plane bene notas haberet etiam Esaias, dixit, *Et erunt verba hæc tanquam verba libri signati:* (Es. 29, 11.) non ergo ut clauderet visionem et prophetam venit Christus Dei, sed ut aperiret potius et in lucem proferret. Quare magis mihi

κυριώτερον ὁ Ἀκύλας φάναι, τοῦ τελέσαι ὁραματισμὸν
33 καὶ προφήτην. Ὃ καὶ συνᾴδει τῷ, οὐκ ἦλθον καταλῦσαι τὸν νόμον ἢ τοὺς προφήτας, ἀλλὰ πληρῶσαι, πρὸς αὐτοῦ τοῦ Σωτῆρος εἰρημένῳ. Τέλος γὰρ νόμου Χριστὸς, καὶ p. 387
πᾶσαί γε αἱ περὶ αὐτοῦ προφητεῖαι ἀπλήρωτοι καὶ ἀτελεῖς ἔμενον, εἰς ὅτ' αὐτὸς ἐπιστὰς ἐπιτέθεικεν ἅπασι
34 τέλος τοῖς περὶ αὐτοῦ προαναπεφωνημένοις. Δύναται δὲ καὶ κατὰ τὴν τῶν Ἑβδομήκοντα ἑρμηνείαν τοιαύτην ἔχειν διάνοιαν τὸ, τοῦ σφραγίσαι ὅρασιν καὶ προφήτην· ἐπεὶ ὁ νόμος καὶ οἱ προφῆται μέχρις Ἰωάννου διήρκεσαν, ἐξ ἐκείνου τε διαλελοίπασιν οἱ πάλαι παρὰ τῷ Ἰουδαίων ἔθνει πνευματοφορούμενοι καὶ τὰς περὶ Χριστοῦ προρρήσεις ἀνακηρύττοντες, καὶ [c] οἱ τὰς ἐν τοῖς ἱεροῖς λόγοις b
ὁράσεις ὑγιῶς ἐποπτεύοντες, οἳ καὶ ἅτε ἀποκλεισθείσης αὐτῆς τῆς θείας χάριτος καὶ σφραγῖσιν ὥσπερ καταδεθείσης ἐξέλιπον· διὸ συμβαίνει ἐξ ἐκείνου μηκέτι προφήτην ἐνεργεῖν μὴ δὲ ὁρῶντα χρηματίζειν ἐν αὐτοῖς, ἀπὸ τῶν δηλουμένων χρόνων καὶ εἰς ἡμᾶς τούτων ἁπάντων
35 [d] διαλελοιπότων. Τούτοις ἐπιφέρει, καὶ [e] τοῦ χρῖσαι ἅγιον

[c] οἱ add. P. [d] διαλελοιπόντων S. [e] τοῦ add. P.

proprie videtur Aquila dixisse, *ad consummandum visionis munus et prophetam*, quod sane cum illo concordat, *Non veni solvere legem aut prophetas, sed complere*, quod a nostro Salvatore dictum agnoscimus. *Finis enim legis Christus*, et omnes de illo prophetiæ inanes atque imperfectæ manserunt, donec ille seipsum ostendens omnibus quæ de ipso a prophetis prædicta fuerant finem imposuit. Potest etiam ex interpretatione Septuaginta talem habere sensum illud quod dictum est, *Ut quasi signo impresso claudatur visio et propheta :* quum lex et prophetæ usque ad Joannem permanserint, et ex illo defecerint, qui prius spiritu divino afflati divinabant, et vaticinia de Christo omnibus palam prodebant, quique in sacris responsis visiones puras et sinceras contemplabantur, tanquam si ipsis divina gratia et clausa et quasi signis impressis colligata esset, merito evenit ut ab illo, de quo dictum est, tempore, non amplius apud illos munere suo fungeretur propheta, neque qui ab illis videns nominabatur, sed omnia hæc usque ad nostram ætatem sublata evanuerint. Deinceps sequitur, et *ungatur sanctus sanctorum*, hoc item nobis eodem argu-

Matth. 5, 17.
Rom. 10, 4.

ἁγίων. Καὶ τοῦτο δὲ αὐτόθεν πρόδηλον, ὡς μέχρι τῶν
τοῦ Σωτῆρος ἡμῶν χρόνων ἅγιοι ἁγίων οἱ παρ' Ἑβραίοις
ἀρχιερεῖς ἐχρίοντο, [f] κατὰ τὴν κατὰ [g] τὸν τοῦ Μωσέως
νόμον ἐπιτελουμένην ἁγιστείαν· ἐξ ἐκείνου δὲ καὶ οὗτοι c
36 διαλελοίπασι καταλλήλως τῇ προφητείᾳ. Ἡ μὲν οὖν
τοῦ Ἰακὼβ πρὸς τὸν Ἰούδαν ἀναφώνησις ἡγουμένων καὶ
ἀρχόντων τοῦ Ἰουδαίων ἔθνους ἔκλειψιν ἐδήλου κατὰ
37 τὰ προτεταγμένα. Ἐπειδὴ δὲ τὰ τῆς προστασίας τοῦ
λαοῦ προφητῶν καὶ ἱερέων πάλαι πρότερον ἤρτητο, ἀκο-
λούθως προθεσπίσας ὁ λόγος διὰ τῆς προπαρατεθείσης
προφητείας τὴν τῶν ἀρχόντων καὶ ἡγουμένων τοῦ Ἰου-
δαίων ἔθνους καθαίρεσιν ἐπὶ τῇ τοῦ Χριστοῦ παρουσίᾳ,
διὰ τῆς μετὰ χεῖρας προφητείας τὴν τῶν προφητῶν καὶ d
τῶν ἱερέων τῶν παρ' αὐτοῖς πάλαι διαπρεπόντων ἔκ-
λειψιν ἀναφωνεῖ, ὡς καὶ τούτων ἐπὶ τῇ τοῦ Χριστοῦ
ἐπιφανείᾳ διαλειψόντων, ὃ καὶ αὐτὸ τοῖς ἔργοις ἡ παρ-
38 ουσία τοῦ Σωτῆρος ἡμῶν ἐπιστώσατο. Ἐπεὶ δὲ ὁ
Ἀκύλας τοῦ ἀλεῖψαι ἡγιασμένον ἡγιασμένων ἐξέδωκεν,
οἰήσεταί μέν τις τὸν πάλαι παρὰ Ἰουδαίοις ἀρχιερέα
δηλοῦσθαι, τῶν μὲν [h] τούτῳ ὑποβεβηκότων πολλῶν

[f] κατὰ om. P. [g] τὸν τοῦ] τοῦ S. [h] τούτῳ] τοῦτον P.

mento constabit: nam usque ad tempora Salvatoris nostri, qui sancti sanctorum pontifices erant apud Hebræos, ii ceremoniis quas ex Mosaica lege acceptas servabant ungebantur: sed hi quoque posthac, sicut prophetia prædixerat, defecere. Itaque quod ab Jacob ad Judam oraculum enunciatum est, secundum ea, quæ prius a nobis exposita sunt, Judaicæ gentis ducum principumque defectum divinabat. Sed quoniam prophetarum et sacerdotum, qui populo præerant, jampridem honor dilatus fuerat, ordine deinceps sermo, ubi interitum Judaicæ gentis ducum et principum sub ipsum Christi adventum per eam quæ prius citabatur prophetiam prædixit, per eam quæ nunc in manibus est, et prophetarum et sacerdotum, qui olim apud illos florebant, defectum plane significat, tanquam hi quoque ubi Christus advenisset defecturi essent, quod quidem vaticinium Salvatoris nostri adventus re ipsa comprobavit. Quia vero Aquila, *ad ungendum sanctificatum sanctificatorum*, interpretatus est, ex eo aliquis suspicabitur veterem Judæorum pontificem designari:

ἱερέων ἁγίων προσαγορευομένων, ἁγίου δὲ ἁγίων μόνου
τοῦ ὑπὲρ [i]πάντας ἀρχιερέως. Ἐπειδὴ τοῦτο καὶ προ-
39 χείρως νοούμενόν ἐστιν ἀληθές. Μέχρι γὰρ τῶν τοῦ
Σωτῆρος ἡμῶν χρόνων οἱ ἀνέκαθεν κατὰ διαδοχὴν ἀρχ-
ιερεῖς ὁμοῦ καὶ τοῦ παντὸς ἡγοῦντο λαοῦ, καὶ τὰ τῆς p. 388
τοῦ Θεοῦ θεραπείας ἀκολούθως τῇ παρὰ Μωσεῖ νενομο-
θετημένῃ λατρείᾳ διαρκῶς [k]ἐπετέλουν· ἀπὸ δὲ τῶν
τοῦ Σωτῆρος ἡμῶν χρόνων πρῶτον μὲν συνεχύθη καὶ
ἡ κατὰ τούτους τάξις, μικρὸν δὲ ὕστερον καὶ παντελῶς
40 ἀπέσβη. Ἀλλ' ἔγωγε τῆς θείας γραφῆς [l]οὐδαμοῦ εὑρὼν
τὸν παρὰ Ἰουδαίοις ἀρχιερέα ἅγιον ἁγίων ὠνομασμένον,
ἡγοῦμαι ἐν τούτοις μόνον αὐτὸν τὸν μονογενῆ τοῦ Θεοῦ
Λόγον δηλοῦσθαί [m]τε κυρίως καὶ ἀληθῶς ταύτης ἄξιον
τῆς ἐπωνυμίας. Τοῖς μὲν γὰρ ἐξ ἀνθρώπων προκεκο-
φόσι καὶ εἰς τὸ ἐφικτὸν ἀρετῆς χωρήσασιν ἀγαπητὸν b
ἁγίοις ποτὲ χρηματίσαι, μετὰ μετοχὴν καὶ μετουσίαν
41 τοῦ φήσαντος, ἅγιοι ἔσεσθε, ὅτι ἅγιος ἐγὼ Κύριος· ἁγίων
δὲ ἅγιος τίς ἂν κυρίως ἐν ἀνθρώποις ὀνομασθείη, ἢ

[i] πάντας ἀρχιερέως] πάντων ἀρχιερέα S. [k] ἐπιτέλουν S. [l] οὐδαμῶς P. [m] κυρίως τε] τε κυρίως P.

quippe quum multi quidem illo ipso inferiores sacerdotes *sancti* appellarentur, solus autem pontifex, qui omnes dignitate anteibat, *sanctus sanctorum.* Siquidem hoc vel eo sensu acceptum quod unicuique in promptu sit verum est. Nam usque ad tempora Salvatoris nostri, qui a prima origine per successionem erant pontifices, iidem etiam toti populo præerant, et quæ ad cultum Dei pertinent, ritum illum sectantes, qui in lege Mosi sancitus fuerat, abunde satis administrabant. Ex quo autem Salvator noster advenit, primum quidem eorum quoque ordo confusus est: non multo autem post, etiam penitus extinctus. Cæterum, quum ego quidem nusquam in sacris literis invenerim Judæorum pontificem *sanctum sanctorum* nominari, arbitror in unicum dumtaxat Dei filium Verbum et proprie designari, et vere dignum tali appellatione constitui. Iis enim qui ex hominibus profecti sint, et ad eum virtutis gradum pervenerint quem natura mortalis contingere potest, satis superque fuerit, si quando in partem et communicationem quandam assumpti ejus qui
Levit. 19, 2. dixit, *Sancti eritis, quoniam sanctus ego Dominus,* sancti appellentur. Sanctus autem sanctorum quis tandem sit apud homines nomi-

[n] μόνος ὁ ἠγαπημένος τοῦ ἁγίου παῖς, ὥσπερ βασιλεὺς
βασιλέων καὶ Κυρίων Κύριος, οὕτω καὶ ἁγίων ἅγιος
[o] ἀνηγορευμένος, μόνῳ γοῦν αὐτῷ, ἅτε διαφερόντως παρὰ
τοὺς πώποτε Μωσέως ἐλαίῳ γεώδει [p] καὶ σκευαστῷ
[q] κεχρισμένους, εἴρητο, ἠγάπησας δικαιοσύνην, καὶ ἐμίση-
σας ἀνομίαν, διὰ τοῦτο ἔχρισέ σε ὁ Θεὸς ὁ Θεός σου ἔλαιον c
42 ἀγαλλιάσεως παρὰ τοὺς μετόχους σου. Ὧι χρισθεὶς, ἐξ
ἰδίου προσώπου καὶ αὐτός φησιν ἐν Ἠσαΐᾳ, Πνεῦμα
Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με. Ἐπεὶ οὖν διαφέροντι
καὶ πνευματικῷ μᾶλλον δὲ θεότητος χρίσματι μόνος
παρὰ τοὺς πώποτε ὁ ἡμέτερος Σωτὴρ κεχρίσθαι μεμαρ-
τύρηται, εἰκότως ἅγιος ἁγίων, ὡς ἄν τις εἴποι, ἀρχιερεὺς
ἀρχιερέων ὠνόμασται καὶ ἡγιασμένος ἡγιασμένων κατὰ τὸν
43 τοῦ Γαβριὴλ χρησμόν. Ταῦτα δὲ πάντα συμπεραιου- d
μένων τῶν ἑβδομήκοντα ἑβδομάδων τέλος ἐλάμβανεν
οὐκ ἄλλοτε ἢ ἐπὶ τῶν χρόνων τῆς τοῦ Σωτῆρος ἡμῶν
ἐπιφανείας. Ἐπειδὴ τοίνυν ταῦθ' οὕτως ἔσεσθαι ὁ προ-
δηλωθεὶς ἄγγελος κεφαλαιωδῶς [r] ἐθέσπιζε τῷ προφήτῃ,
αὖθις ἐπαναλαμβάνει τὸν περὶ τῶν ἑβδομήκοντα ἑβδο-

[n] μόνης S. [o] ἀναγορευόμενος] ἀνηγορευμένος P. [p] καὶ om. P.
[q] κεχαρισμένους S. [r] ἐθέσπισεν S.

nandus, præter unum sancti dilectum puerum, qui ut rex regum et Dominorum Dominus, ita etiam sanctorum sanctus est appellatus? uni igitur ei, utpote qui præstantiori quodam modo sit unctus quam omnes qui unquam terreno illo atque elaborato Mosi oleo uncti fuerint, dictum est illud, *Dilexisti justitiam, et odisti iniquitatem: propterea unxit te Deus Deus tuus oleo exultationis præ participibus tuis.* (Heb. 1, 9.) Quo quidem oleo unctus ex propria persona apud Esaiam ipse ait, *Spiritus Domini super me, propter quod unxit me.* (Es. 61, 1.) Quoniam igitur excellenti et spirituali ac potius ipsius divinitatis unguento solus præter omnes, qui unquam fuerint, Salvator noster unctus esse perhibetur, merito sanctus sanctorum, tanquam si diceretur *pontifex pontificum,* est nominatus, aut etiam *sanctificatus sanctificatorum,* ut est in Gabrielis oraculo. Hæc porro omnia completis hebdomadibus septuaginta finem suum contigere, non alias sane quam quo tempore Salvator noster hominibus se videndum exhibuit. Ergo quum hæc sic fore angelus is, de quo dictum est, summatim ipsi prophetæ cecinerit, rursus sermonem de LXX hebdomadibus renovat, exquisitissime

μάδων λόγον, διδάσκων κατὰ μέρος ἕκαστα ἀκριβῶς ὅθεν ἀπάρχεσθαι δεῖ τῆς τῶν χρόνων ἀπαριθμήσεως, καὶ τίνα κατὰ τοὺς δηλουμένους καιροὺς ἀπαντήσεται.
44 Λέγει δ' οὖν, καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο, καὶ ἐπιστρέψει, καὶ οἰκοδομηθήσεται πλατεῖα καὶ τεῖχος. Ἐν οἷς δοκεῖ p. 389 μοι καλῶς ἔχειν καὶ τὴν τοῦ πρὸ ἡμῶν εἰς τοὺς τόπους θεωρίαν μὴ ἀποκρύψασθαι, παραθεῖναι δὲ καὶ ταύτην ὡς οἰκείαν τοῖς ἐντευξομένοις. Κοινὰ γοῦν καλῶς εἴρηται
45 τὰ τῶν φίλων. Καὶ ἐπειδὴ προσήκει συγχρῆσθαι μὲν εὐγνωμονοῦντας τοῖς καλῶς ὑφ' ἑτέρων εἰρημένοις, μὴ μὴν ἀποστερεῖν τοὺς πατέρας τῶν ἐγγόνων, μὴ δὲ τοὺς πρώτους [s]φύντας τῶν οἰκείων σπερμάτων, τὰς αὐτοῦ
46 παραθήσομαι λέξεις. Φέρονται δὲ αὗται Ἀφρικανοῦ ἐν τῷ πέμπτῳ τῶν Χρονογραφιῶν, τοῦτον ἔχουσαι τὸν τρόπον· b

[t]Ἡ μὲν οὖν περικοπὴ οὕτω πως ἔχουσα πολλά τε καὶ παράδοξα σημαίνει· νῦν δὲ ὧν χρεία [u]περὶ τοὺς χρόνους καὶ

[s] φυτεύσαντας] φύντας P. [t] Ἡ μὲν οὖν] Vid. Eclog. Prophet. p. 151, 9. Routh. Rell. Sacr. II. p. 298. [u] περί τε Ecl.

per singulas partes docens, unde incipere oporteat numerare tempora, et quidnam talibus temporibus eventurum sit. *Et cognosces et intelliges ab exitu sermonis, ut respondeatur et ædificetur Hierusalem: hebdomades septem, et hebdomades sexaginta duæ, et revertetur et ædificabitur platea et murus.* Quæ sane verba ut reddam planiora, pulchre mihi officio functus esse videbor, si commentationem in ejusmodi locos ejus viri, qui ante nos idem studium coluerit, non occultavero, sed eam quoque apposuero, ut accommodata iis qui lecturi sint hæc. Pulchre enim illud dici solet, *quæ amicorum sunt, ea esse communia:* et quia uti quidem quasi communibus convenit iis, quæ alii probe dixerint, sed ita ut agnoscamus authores, neque aut sua sobole patres, aut eos, qui primi conseverint, propriis seminibus defraudemus, illius verba non gravabor apponere. Ea feruntur Aphricani in quinto eorum quæ de temporibus scripsit, quæ quidem in hunc modum se habent: *Ipsa quidem particula,* inquit, *quæ fere sic se habet, tum multa tum admirabilia significat: attamen nunc de iis*

47 τὰ τούτοις συντείνοντα τὸν λόγον ποιησόμεθα. Ὅτι μὲν
οὖν περὶ τῆς τοῦ Χριστοῦ παρουσίας λέγεται ταῦτα μετὰ
ἑβδομάδας ἑβδομήκοντα μέλλοντος ἐπιφαίνεσθαι, δῆλον.
Ἐπὶ γὰρ τοῦ Σωτῆρος, ἢ ἀπὸ τούτου, τά [x]τε παραπτώ-
ματα παλαιοῦται, καὶ αἱ ἁμαρτίαι συντελοῦνται· διὰ [y]δὲ τὴν
ἄφεσιν αἵ τε ἀνομίαι ἐξιλασμῷ μετὰ τῶν ἀδικιῶν [z]ἐξαλεί- c
φονται, δικαιοσύνη τε αἰώνιος καταγγέλλεται παρὰ τὴν ἐκ
νόμου, ὁράσεις τε καὶ προφητεῖαι μέχρις Ἰωάννου, χρίεται
[a]δὲ ἅγιος ἁγίων. Πρὸ γὰρ τῆς τοῦ Σωτῆρος [b]ἡμῶν παρου-
48 σίας οὐκ ὄντα ταῦτα προσεδοκᾶτο μόνον. Ἄρξασθαι [c]δὲ
τῶν ἀριθμῶν, τουτέστι τῶν ἑβδομήκοντα ἑβδομάδων, ἅ ἐστιν
ἔτη τετρακόσια ἐνενήκοντα, ὁ ἄγγελος ὑποτίθεται, ἀπὸ ἐξό-
δου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλήμ·
συνέβη δὲ ταῦτα ἐπὶ Ἀρταξέρξου [d]τοῦ Περσῶν βασιλεύον-
τος εἰκοστῷ ἔτει. Νεεμίας γὰρ ὁ τούτου οἰνοχόος δεηθεὶς,
[e]ἀποκρίσεως ἔτυχεν οἰκοδομηθῆναι Ἱερουσαλὴμ, καὶ λόγος d
ἐξῆλθε κελεύων ταῦτα. Μέχρι [f]μὲν γὰρ ἐκείνου τοῦ χρόνου
49 ἡ πόλις ἠρήμωτο. Κύρου γὰρ μετὰ τὴν ἑβδομηκονταετίαν
τῆς αἰχμαλωσίας τῶν βουλομένων ἕκαστον ἑκουσιαστὶ κατα-
πέμψαντος, οἱ μετὰ Ἰησοῦ τοῦ μεγάλου ἱερέως καὶ Ζορο-

[x] τε om. Ecl. [y] δὲ om. Ecl. [z] ἀπαλείφονται Ecl. [a] δὲ om. Ecl. [b] ἡμῶν om. Ecl. [c] δὴ Ecl. [d] τοῦ om. Ecl. [e] ἀποκρίσεως τε Ecl. [f] μὲν om. Ecl.

dumtaxat quæ nobis ad rationem temporum, et eorum quæ ad tempora pertinent conductura sint, verba faciemus. Quod igitur hæc de adventu Christi dicantur, qui post hebdomadas LXX *ab hominibus esset videndus, neutiquam dubium est: tempore enim Salvatoris nostri aut ex illo ipso, et antiquantur delicta, et peccata consummantur: per remissionem autem iniquitates cum injustitiis expiatione delentur, justitiaque sempiterna denuntiatur, præter eam quæ ex lege acquirebatur. Visiones autem et prophetiæ usque ad Joannem et sanctus sanctorum ungitur: nam quum ante Salvatoris nostri adventum hæc non essent, expectabantur tamen. Numeri vero initium accipere, hoc est* LXX *hebdomadarum, qui sunt anni quadringenti nonaginta, angelus præcipit ab exitu sermonis ut respondeatur, et ædificetur Hierusalem. Porro hæc contigerunt regni Artaxerxis qui Persarum rex fuit anno vicesimo: hujus enim pincerna Neemias quum eum ipsum rogasset, responsum accepit, ut ædificaretur Hierusalem, Et sermo exivit quo ipsum hoc jubebatur: nam ad illud usque tempus civitas deserta manserat. Quum enim Cyrus post septuagenariam servitutem volentem unumquemque voluntarie emi-*

βάβελ κατελθόντες, καὶ οἱ ἐπὶ τούτοις ἅμα Ἔσρᾳ, τὸν νεὼν οἰκοδομεῖν ἐκωλύοντο τὰ πρῶτα, καὶ τεῖχος τῇ [g] πόλει [h] περι-
50 βαλεῖν, ὡς οὐ κεκελευσμένου τούτου. Ἔμεινεν οὖν ἕως Νεεμίου καὶ βασιλείας [i] Ἀρταξέρξου καὶ τῆς Περσῶν ἡγεμονίας ἔτους πεντεκαιδεκάτου καὶ ἑκατοστοῦ· ἀπὸ δὲ τῆς ἁλώσεως Ἱερουσαλὴμ ἑκατὸν ὀγδοήκοντα πέντε ἔτη [k] γίνεται. Καὶ τότε βασιλεὺς Ἀρταξέρξης ἐκέλευσεν οἰκοδομηθῆναι τὴν p. 390
πόλιν. Νεεμίας [l] δὲ καταπεμφθεὶς τοῦ ἔργου προέστη, [m] ἡ δὲ ᾠκοδομήθη πλατεῖα καὶ περίτειχος, ὡς προεφητεύθη. Κἀκεῖθεν ἀριθμοῦσιν ἡμῖν ἑβδομήκοντα ἑβδομάδες εἰς τὸν
51 Χριστὸν συντελοῦνται. Εἰ γὰρ ἄλλοθέν ποθεν ἀριθμεῖν ἀρξαίμεθα καὶ οὐκ ἐντεῦθεν, οὔτε ὁ χρόνος συνδραμεῖται, καὶ πλεῖστα ἄτοπα ἀπαντήσει. Ἐάν τε γὰρ ἀπὸ Κύρου καὶ τῆς πρώτης καταπομπῆς τὴν ἀρχὴν [n] ποιησώμεθα τῆς ἀριθμήσεως τῶν ἑβδομήκοντα ἑβδομάδων, [o] εἰς ἔτη ἑκατὸν καὶ b
προσέτι περισσεύει, πλείων δὲ χρόνος, εἰ ἀφ᾽ ἧς ἡμέρας τῷ Δανιὴλ ὁ ἄγγελος προεφήτευσε, πολλῷ δὲ πλείων, εἰ ἀπ᾽
52 ἀρχῆς τῆς αἰχμαλωσίας. Εὑρίσκομεν γὰρ τὴν Περσῶν βασιλείαν ἔτεσι διακοσίοις τριάκοντα περιγραφομένην, τήν τε

[g] πόλι S. [h] περιβαλλεῖν] περιβαλεῖν P. Ecl. [i] Ἀρταξέρξου εἰκοσαετοῦς Περσῶν δὲ ἡγεμονίας πεντεκαιδεκάτῳ καὶ ἑκατοστῷ Ecl. [k] γίνεται om. P. Ecl. [l] τε Ecl. [m] ἡ δὲ οἰκοδομὴ πλατεία καὶ περὶ τεῖχος Ecl. [n] ποιησόμεθα S. [o] εἰς om. Ecl.

sisset, qui cum Jesu magno sacerdote et Zorobabel, quique post hos ipsos cum Esdra descenderant, ædificare templum et murum civitati circundare initio prohibebantur, tanquam hoc imperatum non esset. Mansit igitur usque ad Neemiam et regnum Artaxerxis annumque imperii Persarum centesimum et quintum decimum: quum vero a capta Hierusalem annus centesimus atque octogesimus ageretur, tum rex Artaxerxes jussit ædificari civitatem, et Neemias, unus eorum qui emissi fuerant, operi præfuit: et platea et muri ambitus ædificata sunt, sicut futurum prophetia significaverat. Inde igitur nobis numerare incipientibus LXX *hebdomades in Christum terminantur: nam si ab illo quovis tempore numerandi initium fecerimus, neque tempus ipsum conveniet, et multa incommoda subire necesse erit. Sive enim a Cyro, primaque emissione, septuaginta hebdomadas numerare cœperimus, anni centum et amplius supererunt, sive ab eo die quo angelus ipsi Daniel oraculum reddidit, etiam major fiet annorum numerus. Multo autem major si ab initio captæ urbis. Invenimus enim regnum Persarum intra annos* CC *atque* XXX *contineri. Deinde Macedonum ad annorum numerum continuari trecentorum et septuaginta. Inde vero ad Tiberii*

Μακεδόνων εἰς ἔτη τριακόσια [[p]ἑβδομήκοντα] παρατείνουσαν,
κἀκεῖθεν ἐπὶ τὸ Τιβερίου Καίσαρος [q]ἑκκαιδέκατον ἔτος εἰς
53 ἔτη ἑξήκοντα. Ἀπὸ δὲ Ἀρταξέρξου [r]αἱ ἑβδομήκοντα ἑβδο-
μάδες εἰς τὸν ἐπὶ [s]Χριστοῦ συντελοῦνται χρόνον κατὰ τοὺς c
Ἰουδαίων ἀριθμούς. Ἀπὸ γὰρ Νεεμίου, ὃς ὑπὸ Ἀρταξέρξου
τὴν Ἱερουσαλὴμ [t]ἀνοικοδομήσων ἐπέμφθη, ἔτει πεντεκαιδε-
κάτῳ καὶ ἑκατοστῷ τῆς Περσῶν βασιλείας, αὐτοῦ [u]τε Ἀρ-
ταξέρξου βασιλείας εἰκοστῷ ἔτει, καὶ Ὀλυμπιάδος ὀγδοη-
κοστῆς τρίτης ἔτει τετάρτῳ, ἐπὶ τοῦτον τὸν χρόνον, ὃς ἦν
Ὀλυμπιάδος διακοσιοστῆς δευτέρας ἔτος δεύτερον, Τιβερίου
δὲ Καίσαρος ἡγεμονίας ἔτος ἑκκαιδέκατον, ἔτη συνάγεται
τετρακόσια ἑβδομήκοντα πέντε, ἅπερ Ἑβραϊκὰ τετρακόσια
[x]ἐνενήκοντα γίνεται, κατὰ τὸν [y]σεληνιαῖον δρόμον τοὺς ἐνι- d
αυτοὺς ἐκείνων ἐξαριθμουμένων, [z]ὥς ἐστι πρόχειρον εἰπεῖν,
[a]ἡμερῶν τριακοσίων πεντήκοντα τεσσάρων, τοῦ ἡλιακοῦ κύ-
κλου ὑπάρχοντος ἡμερῶν τριακοσίων ἑξήκοντα πέντε τετάρ-
του, τὴν [b]γὰρ κατὰ σελήνην δωδεκάμηνον [c]παραλλάσσειν
54 ἡμέραις ἕνδεκα καὶ [d]τετάρτῳ. Διὰ [e]τοῦτο Ἕλληνες καὶ Ἰου-
δαῖοι τρεῖς μῆνας ἐμβολίμους ἔτεσιν ὀκτὼ παρεμβάλλουσιν.

[p] ἑβδομήκοντα om. Ecl. ubi statim παρατείνασαν. [q] ἔτος ἑκκαιδέκατον Ecl. [r] αἱ om. Ecl. [s] Χριστὸν] Χριστοῦ P. Ecl. [t] ἀνοικίσων Ecl. [u] δὲ] τε Ecl. P. [x] ἐνενήκοντα ἔτη Ecl. [y] σεληναῖον μῆνα Ecl. [z] ὅς ἐστιν ὡς Ecl. [a] ἡμερῶν εἰκόσι ἐννέα ἥμισυ· οὕτως τοῦ κύκλου Ecl. [b] γὰρ om. Ecl. [c] παραλλάσσει] παραλλάσσειν P. Ecl. [d] τετάρτῳ] τέταρτον P. [e] τοῦτο καὶ Ecl.

Cæsaris annum sextumdecimum, annos sexaginta. Ab Artaxerxe autem septuaginta hebdomades ad Christi tempus perveniunt, si Judæorum numeros sequimur. Siquidem a Neemia, qui ut ædificaret Hierusalem est missus, anno regni Persarum centesimo et quintodecimo, qui fuit ipsius regni Artaxerxis vicesimus, atque idem octogesimæ tertiæ olympiadis quartus, ad illud tempus, qui fuit olympiadis ducentesimæ secundæ annus secundus, imperii autem Tiberii Cæsaris sextusdecimus, anni numerantur quadringenti septuaginta quinque, qui Hebraica ratione fiunt quadringenti nonaginta: utpote quum illi ad cursum lunæ annos computare consueverint, ut hac ratione annus sit, quod dictu facile est, dierum trecentorum quinquaginta quatuor, quum tamen solaris cursus dies conficiat trecentos sexaginta quinque cum unius diei parte quarta. Ex quo apparet lunares cursus duodecim ab uno solari cursu undecim diebus et quarta unius diei superari. Idcirco et Græci et Judæi ternos intercalares menses octavo cuique anno adjiciunt. Etenim si unde-

'Οκτάκις γὰρ τὰ ἕνδεκα [f]καὶ τέταρτον ποιεῖ τρίμηνον. Τὰ τοίνυν τετρακόσια ἑβδομήκοντα πέντε ἔτη ὀκταετηρίδες γίνονται πεντήκοντα ἐννέα καὶ [g]μῆνες τρεῖς. Ὡς τριμήνου δὲ ἐμβολίμου τῇ ὀκταετίᾳ [h]γινομένης, ἔτη πεντεκαίδεκα ὀλίγων ἡμερῶν [i]ἀποδέοντα γίγνονται. Ταῦτα δὲ πρὸς τοῖς τετρα- p. 391
κοσίοις ἑβδομήκοντα πέντε ἔτεσιν αἱ ἑβδομήκοντα ἑβδομάδες συντελοῦνται.

55 Ταῦτα μὲν οὖν Ἀφρικανός. Εἰ δὲ χρὴ καὶ ἡμᾶς οἰκείαν εἰς τοὺς τόπους ἀπόδοσιν εἰς μέσον ἀγαγεῖν, φημὶ μὴ μάτην μὴ δὲ ὡς ἔτυχε τὴν διαίρεσιν πεποιῆσθαι τὸν λόγον τῶν ἑβδομήκοντα ἑβδομάδων. Διελὼν γὰρ αὐτὰς εἰς πρώτας ἑπτὰ, ἔπειθ' ἑτέρας ἑξήκοντα δύο, καὶ μετὰ πλεῖστα τὰ μεταξὺ ἐπιλεγόμενα τὴν μίαν ἐπιθεὶς, οὕτως τὸν ἀριθμὸν τῶν ἑβδομήκοντα ἑβδομάδων ἀφω-
56 ρίσατο. Λέγει δ' οὖν, *καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξό-* b
δου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου, ἑβδομάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο. Εἶθ' ἕτερά τινα μεταξὺ ἐπαγαγὼν, τὴν τελευταίαν προστίθησι φήσας, *καὶ δυναμώσει διαθήκην*
57 *πολλοῖς ἑβδομὰς μία.* [k]Ταῦτα δὲ ὅτι μὴ μάτην, μὴ δ'

[f] καὶ add. Ecl. [g] ἔτη τρία quasi scriptum esset vertit interpres, quomodo legendum postulat sententia. [h] γίνονται Ecl. γινομένου em. Routh. [i] ἀποδεόντων γίγνονται] ἀποδέοντα γίνεται Ecl. Vid. L. Dindorf. ad Xenoph. Hell. I. 1. [k] Sic P. Vulgo ὅτι δὲ οὐ μάτην ταῦτα.

nos cum unius parte quarta octies repetiveris, trium mensium spatium conficies. Quadringenti igitur septuaginta quinque anni octennia reddunt quinquaginta novem et annos præterea tres. Quum vero octavo cuique anno terni intercalentur menses, conficitur annorum XV summa, paucis detractis diebus. Quos si ad quadringentos septuaginta quinque addideris, hebdomadas LXX conficies. Hactenus quidem Aphricanus. Quod si nos quoque oportet in ejusmodi locos propriam commemorationem in medium afferre, dico non frustra neque temere divisionem ab oraculo esse factam septuaginta hebdomadarum. Nam quum eas diviserit in primas septem, ac deinde in alias sexaginta duas, et post plurima, quæ media interponuntur, unam reliquam adjecerit, eo modo numerum septuaginta hebdomadum complevit. Dicit igitur, *Et cognosces et intelliges ab exitu sermonis, ut respondeatur, et ædificetur Hierusalem usque ad christum ducem, hebdomades septem, et hebdomades sexaginta*

ἄνευ [1]τῆς θείας ἐπιπνοίας ἐσχεδίασται, πάνθ' ὅντιν' οὖν
τῶν ὡς Θεοῦ ῥήμασιν αὐτοῖς προσεχόντων ὁμολογήσειν
58 ἡγοῦμαι. Τοῦτο μὲν οὖν πρῶτον ἡμῖν καλῶς ἔδοξεν
ἐπισημήνασθαι, καταλιπεῖν τε τοῖς ἐντυγχάνουσι τὴν c
τοῦ ζητηθέντος ἀκριβῆ λύσιν. Εἰ δὲ χρὴ καὶ ἡμᾶς τὸ
ἐπεισιὸν μὴ ἀποκρύψασθαι, φημὶ καθ' ἑτέραν διάνοιαν
ἤτοι ἐκδοχὴν τὸν ἐν τῇ προκειμένῃ γραφῇ δηλούμενον
χριστὸν ἡγούμενον, κατὰ τὰ ἀπὸ ἐξόδου λόγου τοῦ ἀπο-
κριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ
ἡγουμένου, οὐκ ἄλλον εἶναι τοῦ καταλόγου τῶν μετὰ τὴν
προφητείαν καὶ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον ἡγησα-
μένων τοῦ λαοῦ ἀρχιερέων, οὓς χριστοὺς ἔθος ἀποκαλεῖν d
59 τῇ γραφῇ. Μόνους γὰρ τούτους καθηγήσασθαι τοῦ
ἔθνους, ἀρξαμένους ἀπὸ Ἰησοῦ τοῦ Ἰωσεδὲκ, τοῦ ἱερέως
τοῦ μεγάλου, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, καὶ
μέχρι τῶν χρόνων τῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χρι-
60 στοῦ παρουσίας παρειλήφαμεν. Οἶμαι γοῦν τὸν μεταξὺ
χρόνον τῆς τούτων προστασίας, καθ' ὃν ἡγήσαντο, δη-
λοῦσθαι διὰ τοῦ, ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ

[1] τῆς om. S.

duæ. Deinde aliis quibusdam interpositis rebus, novissimam adjungit his verbis, *Et confirmabit pactum multis hebdomada una.* Quod autem hæc non frustra neque absque divino afflatu temere effusa sint, eorum qui hæc tanquam Dei verba acceperint negaturum arbitror neminem. Hoc igitur primum commode nobis visum est adnotari oportere, legentibusque ut hujusce quæstionis exquisitam solutionem inveniant locum relinquere. Attamen si ne nos quidem quod in mentem venit occultare oportet, dico alio quodam sensu christum ducem, qui in proxime exposita scriptura significatur esse accipiendum, in illis utique verbis, *Ab exitu sermonis ut respondeatur et ædificetur Hierusalem usque ad christum ducem,* nihilque aliud intelligendum quam seriem successionemque pontificum, qui post illam ipsam prophetiam reditumque de Babylone populo Judaico præfuerint, quos *christos* nominare sacræ literæ consueverunt. Hos enim dumtaxat genti præfuisse, initio facto ab Josedec sacerdote magno, post reditum de Babylone usque ad tempora adventus Salvatoris nostri accepimus. Arbitror igitur intermedium tempus quo illi præfuerunt significari illis verbis, *Ab exitu sermonis ut respondeatur*

τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ, ἕως Χριστοῦ ἡγουμένου, ἑβδο-
μάδες ἑπτὰ καὶ ἑβδομάδες ἑξηκονταδύο· τῶν ἐτῶν δὲ τὰς
ἑβδομάδας συναγομένας εἰς ἔτη τετρακόσια ὀγδοήκοντα
τρία ἀπὸ τῆς Κύρου βασιλείας ἐπὶ τὴν Ῥωμαίων παρ-
εκτείνεσθαι ἀρχὴν, καθ' ἣν Πομπήϊος Ῥωμαίων στρα-
τηγὸς ἐπιστὰς τοῖς Ἱεροσολύμοις εἷλε μὲν πολιορκίᾳ
τὴν πόλιν, τὸ δὲ πᾶν ἔθνος δοῦλον Ῥωμαίοις κατεστή- p. 392
σατο, ὡς καὶ φόρους ἐξ ἐκείνου τελεῖν, καὶ τοῖς Ῥωμαίων
61 πειθαρχεῖν ἐπιτάγμασιν. Ἐπὶ τοῦτον γοῦν τὸν χρόνον
ὁ τῶν τετρακοσίων ὀγδοήκοντα τριῶν ἐτῶν περιορίζεται
ἀριθμὸς, ἐφ' ὃν καὶ κατέληξαν οἱ κατὰ τὸν Μωσέως
νόμον ἐκ πατέρων διαδοχῆς τὴν προστασίαν τοῦ ἔθνους
καὶ τὴν ἱερωσύνην διειληφότες, οὓς χριστὸν ἡγούμενον
τὴν θείαν ἐπὶ τοῦ παρόντος γραφὴν ὀνομάζειν ὑπολαμ-
62 βάνω. Εἰ δὲ χρὴ καὶ τὸν κατάλογον ἐκθέσθαι τῆς τῶν
κατάλογος τῶν ἀρχιερέων.
ἀρχιερέων διαδοχῆς, τῶν ἐν τῷ δηλουμένῳ μεταξὺ χρόνῳ b
διαγενομένων, καὶ τοῦτο οὐδεὶς φθόνος εἰς παράστασιν
τῆς τῶν εἰρημένων ἀληθείας ποιήσασθαι. Πρῶτος τοί-
νυν μετὰ τὴν τοῦ Δανιὴλ προφητείαν, ἐπὶ Κύρου τοῦ
βασιλέως Περσῶν, μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον,

et ædificetur Hierusalem usque ad Christum ducem, hebdomades septem et hebdomades sexaginta duæ, annorum vero hebdomadas si redigantur in annos quadringentos octoginta tres a regno Cyri usque ad Romanorum imperium propagari, quo tempore Pompeius Romanorum imperator Hierosolyma aggressus obsidione quidem urbem ipsam cepit, totam vero gentem Romanis servire coëgit, usque adeo ut ex illo tempore et tributa pendens et Romanorum jussibus obtemperans fuerit. Ad hoc igitur tempus quadringentorum octoginta trium annorum numerus ducitur, in quo desierunt, qui secundum Mosaicam legem ex majorum successione ac serie totius gentis principatum et sacerdotium capiebant, quos *christum ducem* a scriptura divina hoc in loco nominari suspicor. Quod si opus est enumeratione quoque uti, et quinam illo intermedio tempore, de quo loquimur, quibus successerint locumque illum tutati sint exponere, ne hoc quidem facere gravabimur, ut eorum quæ dicta sunt veritatem ostendamus. Primum igitur post ipsius Daniel prophetiam, Cyro apud Persas regnante, post reditum de Babylone, Jesus filius Josedec, qui sacerdos magnus

Ἰησοῦς ὁ τοῦ Ἰωσεδὲκ, ὁ ἱερεὺς ὁ μέγας χρηματίσας,
ἅμα Ζοροβάβελ ἄνεισιν ἀπὸ τῆς αἰχμαλωσίας, καὶ θε-
μελίους καταβάλλεται τοῦ ἱεροῦ, ἀλλ᾽ ἐπισχεθέντος τοῦ
ἔργου ὑπὸ τῶν περιοίκων, αἱ πρῶται ἑπτὰ ἑβδομάδες
τῶν ἐτῶν αἱ διὰ τοῦ προφήτου δηλούμεναι συμπεραιοῦν-
ται, καθ᾽ ἃς ἀτελὲς διέμενε τὸ ἔργον τῆς τοῦ ναοῦ οἰκο- c
63 δομῆς. Διόπερ ὁ θεῖος λόγος τῆς συναφῆς τῶν λοιπῶν
ἑβδομάδων ἀφορίζει τὰς πρώτας ἑπτὰ, εἰπὼν ἑβδομάδας
ἑπτὰ, ἔπειθ᾽ ἑξῆς μετὰ διαστολῆς ἐπαγαγὼν, *καὶ* [m] *ἑβδο-
μάδες ἑξηκονταδύο.* Ἑπτὰ γοῦν ἀπὸ Κύρου καὶ ἐπὶ τὴν
συμπλήρωσιν τῆς τοῦ ἱεροῦ οἰκοδομῆς ἑβδομάδες ἐτῶν
64 εὑρίσκονται. Ἔνθεν ὁρμώμενοι τῷ Σωτῆρι ἡμῶν ἔλεγον
οἱ Ἰουδαῖοι, *τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς
οὗτος, καὶ σὺ ἐν τρισὶν ἡμέραις ἐγερεῖς αὐτόν;* Ἀλλ᾽ οὗτοι d
μὲν τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ᾠκοδομῆσθαι τὸν ναὸν
ἔφασαν. Τοσαῦτα γὰρ ἀπὸ πρώτου Κύρου βασιλείας,
ὃς πρῶτος ἀνῆκε τῆς Βαβυλῶνος τοὺς βουλομένους τῶν
Ἰουδαίων εἰς τὴν οἰκείαν γῆν ἐπανιέναι, ἐπὶ τὸ ἕκτον
ἔτος [n] τῆς Δαρείου βασιλείας συνάγεται, καθ᾽ ὃν τὸ πᾶν
65 ἔργον τῆς οἰκοδομῆς τέλος εἴληφεν. Ὅ γε μὴν ἐξ

[m] ἑβδομάδας] ἑβδομάδες P. [n] τῆς add. P. om. S.

est dictus, una cum Zorobabel de Babylonica servitute revertitur, et sic fundamenta templi jaciuntur. Sed dum a vicinis impeditur opus, septem primæ annorum hebdomades, quas propheta dicit, abierunt, quibus templi ædificatio inchoata remansit. Qua de causa divinum oraculum primas septem hebdomadas a reliqua summa disjungit, dum dicit *hebdomades septem,* ac deinde ex intervallo adjungit *et hebdomades sexaginta duæ.* Septem igitur a Cyro ad templi ædificationem absolutam annorum hebdomades reperiuntur. Inde animos sumentes Judæi ad Salvatorem nostrum dicebant, *Quadraginta et sex annis ædificatum est templum hoc, et tu in tribus diebus excitabis illud?* (Jo. 2, 20.) At illi quidem quadraginta et sex annis ædificatum esse templum dixere. Tot enim a regno Cyri prioris, qui primus Judæorum quibusque volentibus concessit de Babylone in patriam terram reverti, ad sextum Darii regni annum colliguntur: sub quo omnis ædificatio finem accepit. Sed Josephus author He-

Ἑβραίων Ἰώσηπος καὶ ἄλλον τριετῆ χρόνον εἰς τὴν
τῶν ἔξωθεν τῶν ἀμφὶ τὸν ναὸν κατασκευασμάτων συμ-
πλήρωσιν [o] ἔφησεν, ὥστ' εἰκότως διὰ ταῦτα τὰς ἑπτὰ
πρώτας ἑβδομάδας εἰς ἔτη ἐννέα καὶ τεσσαράκοντα συν-
τεινούσας ἀφωρίσθαι κατὰ τὸν τῆς προφητείας λόγον,
τὰς δὲ λοιπὰς ἑξηκονταδύο ἀπὸ τῆς Δαρείου καταριθμεῖ-
σθαι βασιλείας συμβαίνει, καθ' ὃν αὖθις Ἰησοῦς ὁ τοῦ
Ἰωσεδὲκ καὶ Ζοροβάβελ ὁ τοῦ Σαλαθιὴλ εἰς [p] ἐκεῖνο
τὴν ζωὴν παρατείναντες, ἄμφω [q] προέστησαν τῆς τοῦ p. 393
ἱεροῦ ἀνανεώσεως, προφητευόντων Ἀγγαίου καὶ Ζαχα-
ρίου, μεθ' οὓς Ἔσρας καὶ [r] Νεεμίας, ὁμοίως ἐκ Βαβυ-
λῶνος ἀνελθόντες, τὸ τεῖχος ἐδείμαντο τῇ πόλει, τὴν
ἀρχιερωσύνην διέποντος [s] Ἰωακείμου· παῖς δὲ οὗτος ἦν
Ἰησοῦ τοῦ Ἰωσεδὲκ, μεθ' ὃν διαδέχεται τὴν ἀρχιερω-
σύνην Ἐλιασοῦβος, ἔπειτα Ἰωδαὲ, μεθ' ὃν Ἰωνάθης,
66 μεθ' ὃν [t] Ἰαδδοῦς. Τούτων μέμνηται καὶ ἡ Ἔσρα γραφὴ
λέγουσα, *καὶ Ἰησοῦς ἐγέννησε τὸν Ἰωακεὶμ, καὶ Ἰωακεὶμ* b
ἐγέννησε τὸν [u] Ἐλιασὶβ, καὶ [u] Ἐλιασὶβ ἐγέννησε τὸν Ἰωδαὲ,
καὶ Ἰωδαὲ ἐγέννησε τὸν Ἰωνάθαν, καὶ Ἰωνάθαν ἐγέννησε τὸν
67 *Ἰαδδοῦ.* Κατὰ τοῦτον τὸν Ἰαδδοῦ ὁ Μακεδὼν Ἀλέξαν-

[o] ἔφησεν om. P. [p] ἐκεῖνον] ἐκεῖνο P. [q] προέτησαν S.
[r] νεαμίας S. [s] ἰακείμου S. [t] ἀδδοῦς P. [u] ἐλιασεὶβ P.

Vid. A. J. XI. 4, 7.

bræus alios tres annos adjungit ad ea quæ templo extrinsecus accedunt ornamenta absolvenda, ut propterea merito septem primas hebdomadas, quæ summam quadraginta novem annorum conficiunt, a cæteris oraculum propheticum separaverit, et reliquas sexaginta duas a Darii regno numerare contingat: sub quo rursum Jesus filius Josedec et Zorobabel filius Salathiel, quum adhuc viverent, ambo instauratione templi præfuerunt, prophetiæ munus interim exercentibus Aggæo et Zacharia, post quos Esdras et Neemias de Babylone itidem reversi murum circumdederunt civitati. Tunc autem pontificatum administrabat Joacim, qui Jesu filii Josedec filius fuerat, post quem successit Eliasib. Deinde Jodaë, quem secutus est Jonathas, hunc excepit Addus. Horum etiam apud Esdram fit mentio his verbis, *Et Jesus genuit Joacim, et Joacim genuit Eliasib, et Eliasib genuit Jodaë, et Jodaë genuit Jonathan, et Jonathan genuit Jaddu:* tempore autem hujus Jaddu Alexander Macedo Alexandriam con-

Hag. 1, 1.

Neem. 12, 10.

δρος Ἀλεξάνδρειαν κτίζει, ὡς Ἰώσηπος ἱστορεῖ, ἀφικό-
68 μενός τε εἰς τὰ Ἱεροσόλυμα τῷ θεῷ προσκυνεῖ. Τελευτᾷ
δὲ τὸν βίον Ἀλέξανδρος ἐν ἀρχῇ τῆς ἑκατοστῆς καὶ
τεσσαρεσκαιδεκάτης Ὀλυμπιάδος, μετὰ ἔτη διακόσια
τριάκοντα [x]ἓξ Κύρου, ὃς ἐβασίλευσε Περσῶν κατὰ τὸ
πρῶτον ἔτος πέμπτης καὶ πεντηκοστῆς Ὀλυμπιάδος. c
69 Μετὰ δὲ τὴν τελευτὴν Ἀλεξάνδρου τοῦ Μακεδόνος, καὶ
μετὰ τὸν δηλωθέντα ἀρχιερέα, [y]Ὀνίας ἡγεῖται τοῦ
ἔθνους, τῆς τῶν ἀρχιερέων καὶ αὐτὸς ἐπειλημμένος τιμῆς·
καθ᾽ ὃν Σέλευκος Βαβυλῶνα κρατήσας τὸ τῆς Ἀσίας
περιτίθεται διάδημα, ἔτει δωδεκάτῳ μετὰ τὴν Ἀλεξάν-
δρου τελευτὴν, καθ᾽ ὃν συνάγεται ὁ πᾶς χρόνος ὁ ἀπὸ
70 Κύρου εἰς ἔτη διακόσια τεσσαρακονταοκτώ. Ἐντεῦθεν
τὴν Ἑλλήνων βασιλείαν [z]ἡ τῶν Μακκαβαίων γραφὴ
καταριθμεῖσθαι ἄρχεται. Μετὰ δὲ τὸν Ὀνίαν ἡγεῖται
τῶν Ἰουδαίων ἀρχιερεὺς Ἐλεάζαρος, καθ᾽ ὃν οἱ Ἑβδο-
μήκοντα τὰς θείας ἑρμηνεύσαντες γραφὰς ταῖς κατὰ d
71 Ἀλεξάνδρειαν βιβλιοθήκαις ἀνατεθείκασι. Μεθ᾽ ὃν
ἕτερος Ὀνίας, ὃν διαδέχεται Σίμων, καθ᾽ ὃν Ἰησοῦς ὁ
τοῦ Σιρὰχ ἐγνωρίζετο, ὁ τὴν καλουμένην πανάρετον

[x] ἐκ] ἓξ P. [y] οὐνίας S. qui ut vulgo inf. [z] εἰ S.

didit, ut Josephus scriptum reliquit, et Hierosolyma ingressus Deum adoravit. Mortuus est autem Alexander ineunte centesima et quarta decima olympiade, post Cyrum ducentis triginta sex annis, qui apud Persas regnare cœpit ineunte olympiade quinta supra quinquagesimam. Post mortem vero Alexandri Macedonis, et post quem proxime diximus pontificem, Onias ipse quoque pontificatus honore suscepto genti præfuit: cujus temporibus quum Seleucus Babylonem cepisset, Asiæ sibi diadema circumdedit anno post Alexandri mortem duodecimo. Ad quem a Cyro incipientibus omnis temporis summa annorum ducentorum quadraginta octo colligitur. Ab hoc ipso tempore Græcorum regnum numerare incipit Maccabæorum historia. Cæterum post Oniam Judæorum suscipit principatum pontifex Eleazarus, sub quo LXX viri divinas interpretati scripturas Alexandrinis bibliothecis dedicarunt. Post hunc secutus est alter Onias: cui successit Simon: cujus tempestate Jesus filius Sirach fama celebris fuit, qui *Sapientiam* titulo omnia virtutum genera profitentem

Joseph. Ant. XI. 8, 5.

Σοφίαν συντάξας. Μεθ' ὃν ἕτερος ὁμώνυμος τοῖς
πρόσθεν Ὀνίας ἡγεῖται, καθ' ὃν Ἀντίοχος τοὺς Ἰου-
72 δαίους πολιορκήσας ἑλληνίζειν κατηνάγκαζε. Μεθ' ὃν
προστὰς τῶν πραγμάτων Ἰούδας, ὁ ἐπικληθεὶς Μακκα-
βαῖος, ἐξεκάθηρεν τῶν ἀσεβῶν τὴν χώραν· ὃν [a] ὁ ἀδελ-
φὸς Ἰωνάθης διαδέχεται. Καὶ πάλιν Σίμων, οὗ κατὰ
τὴν τελευτὴν ἕβδομον καὶ ἑβδομηκοστὸν καὶ ἑκατοστὸν
ἔτος ἐξαριθμεῖται τῆς κατὰ Συρίαν ἀρχῆς [b] ἡ πρώτη
καλουμένη τῶν Μακκαβαίων βίβλος, εἰς τοῦτο τοῦ χρό-
73 νου [c] καταλύσασα τὴν ἱστορίαν. Ὥστε συνάγεσθαι ἀπὸ p. 394
πρώτου ἔτους Κύρου καὶ Περσῶν βασιλείας ἐπὶ τὸ τέλος
τῆς τῶν Μακκαβαίων γραφῆς καὶ ἐπὶ τὴν Σίμωνος τοῦ
ἀρχιερέως τελευτὴν ἔτη τετρακόσια εἰκοσιπέντε· μεθ' ἃ
Ἰωνάθης τὴν ἀρχιερωσύνην, ὡς [d] ὁ Ἰώσηπός φησι, δια-
δέχεται ἐπὶ ἔτεσιν [e] ἐννέα καὶ εἴκοσι. Μεθ' ὃν Ἀρι-
στόβουλος ἐνιαυτὸν ἡγεῖται, ὃς πρῶτος μετὰ τὴν ἀπὸ
Βαβυλῶνος ἐπάνοδον [f] διάδημα βασιλικὸν περιτίθεται
74 πρὸς τῇ ἀρχιερωσύνῃ. Τοῦτον διαδέχεται Ἀλέξανδρος,
βασιλεὺς ἅμα καὶ ἀρχιερεύς, ἔτεσι καὶ αὐτὸς ἑπτὰ καὶ

[a] ὁ om. S. [b] ἦτε] ἡ P. [c] κατέλυσε] καταλύσασα P. [d] ὁ om. S. [e] ἔννεα καὶ εἴκοσι] τριάκοντα Joseph. A. J. XX. 10, 3. [f] διάδημα] Joseph. A. J. XIII. 11, 1.

composuit. Post quem alius eodem cum prioribus nomine Onias præfuit, hujus pontificis tempore Antiochus, quum Judæos obsidione fatigasset, Græcorum ritibus uti coëgit. Hunc secutus Judas, cognomento Maccabæus, dum rebus Judæorum præest, regionem ab impiis et profanis expurgatam liberavit. Cui succedit frater Jonathas, deinde Simon: sub cujus mortem regni quod apud Syros viguit annus numeratur septimus et septuagesimus supra centesimum, ad quod
Maccab. I. 16, 14. sane tempus primus qui Maccabæorum vocatur liber historiam deducit, ac deductam relinquit. Itaque a primo anno Cyri regnique Persarum ad extremum historiæ Maccabæorum finem Simonisque pontificis mortem anni colliguntur quadringenti viginti quinque. Posthac vero Jonathas, [Hyrcanus] ut scribit Josephus, pontificatum exceptum per annos viginti novem administrat. Hunc secutus Aristobulus annum unum præest: hic primus post reditum de Babylone ad pontificiam dignitatem amplius regium diadema additum sibi imposuit. Huic succedit et rex idem et pontifex Alexander, qui et ipse annos

εἴκοσι προστὰς τῶν πραγμάτων. Εἰς ὃν συνάγεται τὰ b
πάντα ἀπὸ πρώτου ἔτους βασιλείας Κύρου καὶ τῆς ἀπὸ
Βαβυλῶνος ἐπανόδου τοῦ Ἰουδαίων ἔθνους ἔτη τετρα-
κόσια ὀγδοήκοντα δύο, οὗ προέστησαν ἀρχιερεῖς, οὓς
ἡγοῦμαι χριστὸν ἡγούμενον ὑπὸ τῆς προφητείας ὀνομά-
75 ζεσθαι. Μεθ' οὓς τελευτήσαντος τοῦ ὑστάτου αὐτῶν
ἀρχιερέως Ἀλεξάνδρου ἄναρχα καὶ ἀπροστάτητα τὰ
τοῦ Ἰουδαίων ἔθνους ἀπολείπεται, ὥστε εἰς γυναῖκα
περιστῆναι τὴν βασιλείαν αὐτῶν. Τῶν δὲ δύο παίδων
Ἀριστοβούλου καὶ Ὑρκανοῦ στασιασάντων πρὸς ἀλλή-
λους, ἐπιστὰς τοῖς Ἱεροσολύμοις Πομπήϊος, Ῥωμαίων c
στρατηγὸς ὤν, αἱρεῖ μὲν πολιορκίᾳ τὴν πόλιν, μιαίνει τε
76 τὰ ἅγια, μέχρι τῶν ἀδύτων τῶν ἱεροῦ προελθών. Καὶ
ταῦτα συμβαίνει ἔτους πρώτου τῆς ἑκατοστῆς ἑβδομη-
κοστῆς ἐνάτης Ὀλυμπιάδος, μετὰ τετρακόσια ἐνενήκοντα
πέντε ἔτη τῆς Κύρου βασιλείας, ἥτις ἤρξατο ἐπὶ τῆς
77 πεντηκοστῆς πέμπτης Ὀλυμπιάδος. Τότε δ' οὖν ὁ
Πομπήϊος ἑλὼν κατὰ κράτος τὴν Ἱερουσαλὴμ, τὸν προ-
ειρημένον Ἀριστόβουλον ἐκπέμψας δέσμιον ἐπὶ Ῥώμης,
τῷ τούτου ἀδελφῷ Ὑρκανῷ τὴν ἀρχιερωσύνην παρα- d

septem et viginti rebus Judæorum præest. Ad cujus principatum a primo regis Cyri anno et Judaicæ gentis reditus de Babylone omnis summa annorum colligitur quadringentorum octoginta duorum, quo toto tempore pontifices præfuerunt, quos ego quidem *christi ducis* appellatione a prophetia significari arbitror: post quos, ipsorum novissimo Alexandro decedente, res Judæorum sine principe, sine duce, neminem qui præesset habentes, relinquuntur. Factum itaque est, ut eorum regnum in fœminam tandem reciderit. Cujus filii duo Aristobulus atque Hyrcanus dum inter se de principatu contendunt, Pompeius interea Romanorum imperator, Hierosolyma aggressus, cum obsidione urbem capit, tum usque ad penetralia templi progressus quæ sancta in illis dicebantur profanat. Et hæc Judæis accidunt centesimæ septuagesimæ nonæ olympiadis anno primo, qui fuit annus a Cyri regno quadringentesimus nonagesimus quintus, cujus regni initium quinquagesima quinta olympiade factum est. Per id igitur temporis Pompeius vi captis Hierosolymis et vinctum Aristobulum Romam mittit, et hujus fratri Hyrcano sacerdotium tradit,

δίδωσι, τό τε πᾶν ἔθνος ἐξ ἐκείνου ὑποτελὲς Ῥωμαίοις
78 κατεστήσατο. Μεθ' ὃν Ἡρώδης ὁ Ἀντιπάτρου παῖς,
Ὑρκανὸν ἀνελὼν, τὴν τῶν Ἰουδαίων βασιλείαν ὑπὸ τῆς
Ῥωμαίων συγκλήτου βουλῆς ἐγχειρίζεται, πρῶτός τε
αὐτὸς ἐξ ἀλλοφύλου γένους βασιλεύει τοῦ ἔθνους, τὴν
τῶν ἀρχιερέων κατὰ τὸν Μωσέως νόμον διαφθείρας
79 τάξιν. Ὁ μὲν γὰρ θεῖος νόμος διὰ βίου ἱερᾶσθαι τῷ
Θεῷ τὸν ἀνωτάτω προστάττει ἀρχιερέα· ὁ δ' Ἡρώδης
οὐ τοῖς ἀπὸ γένους οὐδ' οἷς προσῆκον ἦν ἀπεδίδου τὴν
λειτουργίαν, ἀπεξενωμένοις δέ τισι καὶ ἀλλοτρίοις τῆς
τῶν ἀρχιερέων διαδοχῆς, καὶ οὐδὲ τούτοις διαρκῶς, πρὸς
βραχὺν δέ τινα καὶ περιωρισμένον χρόνον, ἄλλοτε ἄλ- p. 395
λοις τὴν τιμὴν ἀντιδωρούμενος, ὥστε τὰς μὲν πρώτας
ἑπτὰ ἑβδομάδας ἀπὸ Κύρου καὶ ἐπὶ Δαρεῖον, τὰς δὲ
λοιπὰς ἑξήκοντα δύο ἀπὸ Δαρείου καὶ ἐπὶ Πομπήϊον
80 τὸν Ῥωμαίων στρατηγὸν περιορίζεσθαι. Καὶ κατὰ
τρίτην δὲ θεωρίαν εὕροις ἂν ἄλλως [g] ἀπαριθμούμενος
τοὺς χρόνους τῶν ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδων, αἳ
συντείνουσιν εἰς ἔτη τετρακόσια ὀγδοήκοντα τρία, ἐπ'

[g] ἐπαριθμούμενος] ἀπαριθμούμενος P.

atque ex illo tempore universa Judæorum natio Romanis tributaria facta est. Post Hyrcanum Herodes Antipatri filius, ipso interfecto Hyrcano, largiente Romano senatu Judæorum obtinet regnum. Hic primus alieno ortus genere, perturbato pontificum ordine qui Mosaica lege sancitus fuerat, in illa gente regnat. Lex enim divina jubebat, ut maximus pontifex quam diu viveret sacerdotio fungeretur. At Herodes non iis, qui legitimo genere orti essent, neque iis, qui id juris haberent, sed supposititiis quibusdam atque a serie ac successione pontificum alienis id muneris attribuit, ac ne iis quidem in perpetuum, sed ad breve quoddam determinatumque tempus gratificans, atque alio tempore aliis ejusmodi honorem impertiens, ut hac ratione primæ quidem hebdomades septem a Cyro ad Darium, reliquæ vero sexaginta duæ a Dario ad imperatorem Romanorum Pompeium contineantur. At si tertiam præterea contemplationem velis insistere, atque alia quadam ratione tempora septem et sexaginta duarum hebdomadum numerare, quæ annos continent quadringentos octoginta tres, invenias idem temporis spatium ad Augustum usque atque

αὐτὸν Αὔγουστον καὶ ἐπὶ Ἡρώδην [h]τὸν πρῶτον ἐξ ἀλλοφύλου γένους [i]βασιλεύσαντα, καθ' οὓς ἡ τοῦ Σωτῆρος b ἡμῶν Ἰησοῦ Χριστοῦ γένεσις ἱστορεῖται [k]περιγραφομένη, εἰ ἀρξάμενος ἀπὸ Δαρείου καὶ τῆς συμπληρώσεως
81 τοῦ ναοῦ τὸν δηλούμενον ἀριθμὸν ἀναλογίσῃ. Δαρείου γὰρ κατὰ τὸ δεύτερον ἔτος τὸν ἑβδομηκονταετῆ χρόνον τῆς ἐρημώσεως Ἱερουσαλὴμ συμπεπεράνθαι ὁ προφήτης Ζαχαρίας δηλοῖ λέγων, τῇ [l]τετράδι καὶ εἰκάδι, [m]τῷ ἑνδεκάτῳ μηνὶ, αὐτός ἐστι Σαβὰτ, ἐν τῷ δευτέρῳ ἔτει Δαρείου, ἐγένετο λόγος Κυρίου πρὸς Ζαχαρίαν τὸν τοῦ Βαραχίου.
82 Εἶθ' ἑξῆς ἐπιλέγει, καὶ ἀπεκρίθη ὁ ἄγγελος Κυρίου, καὶ c εἶπεν, Κύριε παντοκράτωρ, ἕως τίνος οὐ μὴ ἐλεήσῃς τὴν Ἱερουσαλὴμ, καὶ τὰς πόλεις Ἰούδα, ἃς ὑπερεῖδες τοῦτο ἑβδομηκοστὸν ἔτος· τοῦτον δὴ οὖν αὐτὸν τῷ θείῳ πνεύματι [n]θεωρήσας ὁ Δανιὴλ τὸν χρόνον σημειοῦται λέγων, ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, [o]ὃς ἐγενήθη λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν ἐρημώσεως [p]Ἱερουσαλὴμ, ἑβδομήκοντα ἔτη, καὶ ἔδωκα τὸ πρόσωπόν μου πρὸς Κύριον τὸν Θεόν μου, τοῦ ἐκ-

[h] τοὺς πρώτους] τὸν πρῶτον P.S. [i] βασιλεύσαντος] Leg. βασιλεύσαντα v. p. 394 D. 396 C. [k] περιγραφομένους P. [l] τετράδη P. [m] ἐν τῷ] ἐν om. P. [n] θεωρίσας S. [o] περὶ οὗ] ὃς P. [p] τῆς Ἱερουσαλὴμ] τῆς om. P.

Herodem, qui primi externi generis regnarunt quorumque temporibus Salvatoris nostri Jesu Christi ortus fuisse memoratur, propagari, si modo hunc quem dixi numerum sumpto initio a Dario templique absolutione recolligas. Ad secundum enim Darii annum tempus solitudinis urbis Hierusalem, quod septuagenarium fuit, pervenisse propheta Zacharias indicat his verbis: *In die vicesimo quarto undecimi mensis (is est Sabat) in anno secundo Darii, factum est Verbum Domini ad Zachariam filium Barachiæ.* Deinde progressus adjungit: *et respondit angelus Domini et dixit, Domine omnipotens quousque misereberis Hierusalem et urbium Juda, quas despexisti hunc septuagesimum annum?* Hoc igitur ipsum tempus Daniel, quum divino Spiritu afflatus vidisset, his verbis notavit: *Ego Daniel intellexi in libris numerum annorum, de quo factus est sermo Domini ad Hieremiam prophetam, ut complerentur desolationis Hierusalem septuaginta anni, et dedi faciem meam ad Dominum Deum meum, ut orarem ac*

Zach. 1, 7.
Zach. 1, 12.
Dan. 9, 2.

83 ζητῆσαι προσευχὴν καὶ δέησιν. Εἶτα μετὰ τὴν εὐχὴν ἐπιφανεὶς αὐτῷ ὁ ἄγγελος θεσπίζει τὰ περὶ τῶν ἑβδομήκοντα ἑβδομάδων, καὶ τὸν χρόνον ὅθεν δεῖ ἄρχεσθαι d ἀριθμεῖν σημαίνει, λέγων, καὶ γνώσῃ καὶ συνήσεις ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ ἕως χριστοῦ ἡγουμένου. Γέγονε μὲν οὖν ἀπόκρισις πρώτη Κύρου οἰκοδομηθῆναι τὴν Ἱερουσαλὴμ, οὐ μὴν
84 εἰς ἔργον ἐχώρησε, τῶν περιοίκων κεκωλυκότων. Δαρείου δὲ μετὰ ταῦτα κελεύσαντος, καὶ τῆς οἰκοδομῆς τοῦ ἱεροῦ κατ' αὐτὸν συντελεσθείσης, ἡ τοῦ Δανιὴλ ἐντεῦθεν προφητεία τὴν καταρχὴν τῆς ἐκβάσεως ἐλάμβανεν, ἥ τε φάσκουσα, ἀπὸ ἐξόδου λόγου τοῦ ἀποκριθῆναι, καὶ τοῦ οἰκοδομῆσαι Ἱερουσαλὴμ, καὶ δι' ἧς εἴρηται, ἐγὼ Δανιὴλ συνῆκα ἐν ταῖς βίβλοις τὸν ἀριθμὸν τῶν ἐτῶν, [q]ὃς ἐγενήθη p. 396 λόγος Κυρίου πρὸς Ἱερεμίαν τὸν προφήτην, εἰς συμπλήρωσιν
85 ἐρημώσεως Ἱερουσαλὴμ, ἑβδομήκοντα ἔτη. Κατὰ γοῦν τὸ δεύτερον ἔτος Δαρείου ἡ συμπλήρωσις τῆς ἑβδομηκονταετηρίδος ἀποδέδεικται περαιωθεῖσα, ὥστε ἐξ ἅπαντος ἄρχεσθαι δεῖν ἡμᾶς τῶν ἑβδομήκοντα ἑβδομάδων ἀπὸ τῆς ἑξηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος, καὶ ἀπὸ

q περὶ οὗ] ὃς P.

deprecarer, deinde post deprecationem angelus, qui illi seipsum ostendit, ea divinat quæ ad septuaginta hebdomadas pertinent, et tempus unde numerandi initium capiendum est significat, dicens, *Et cognosces et intelliges ab exitu sermonis ut respondeatur et ædificetur Hierusalem usque ad christum ducem.* Porro autem a Cyro primum responsum est ut ædificaretur Hierusalem, nec tamen ipsum opus effectum est, quum id vicini undique prohibuerint. Postea vero quum Darius jusserit, eoque regnante absolutum sit templi ædificium, inde ab hoc ipso tempore prophetæ Daniel oraculum sui eventus initium sumit, cujus verba illa sunt, *ut respondeatur et ædificetur Hierusalem,* in quo etiam illud dictum est, *Ego Daniel intellexi in libris numerum annorum, de quo factus est sermo Domini ad Hieremiam prophetam, ut complerentur desolationis Hierusalem septuaginta anni.* Anno igitur Darii secundo apparet completos esse annos illos septuaginta, ut nos omni ratione oporteat septuaginta hebdomadum initium facere a LXVI olympiade, atque a Darii anno secundo, in quo omnis illa urbis Hierusalem ædificatio absoluta

δευτέρου ἔτους Δαρείου, ἐν ᾧ τὰ τῆς οἰκοδομῆς περαιοῦ-
86 ται. Ἐντεῦθεν γοῦν εἰ τοὺς ἑπομένους χρόνους ἀριθμή-
σειας, εὕροις ἂν ἐπ᾽ αὐτὸν Ἡρώδην μόναρχόν τε b
Ῥωμαίων Αὔγουστον, καθ᾽ οὓς ἡ τοῦ Σωτῆρος ἡμῶν
ἐπέφανε τῷ βίῳ γένεσις, τὰ τετρακόσια ὀγδοήκοντα τρία
ἔτη, αἵ εἰσιν ἑπτὰ καὶ ἑξήκοντα δύο ἑβδομάδες, κατὰ τὴν
87 τοῦ Δανιὴλ προφητείαν περιοριζόμενα. Ἀπὸ γὰρ τῆς
ἑξηκοστῆς καὶ ἕκτης Ὀλυμπιάδος ἐπὶ τὴν ἑκατοστὴν
ὀγδοηκοστὴν ἕκτην γίνονται Ὀλυμπιάδες μεταξὺ ἑκατὸν
εἴκοσι μία, ἔτη τετρακόσια ὀγδοήκοντα τέσσαρα, τετρα-
ετίαν τῆς Ὀλυμπιάδος ἐπεχούσης, καθ᾽ ὃν καιρὸν
Αὔγουστος Ῥωμαίων βασιλεὺς πεντεκαιδέκατον ἔτος τῆς c
βασιλείας ἐπέχων Αἰγύπτου κρατεῖ καὶ τῆς λοιπῆς
οἰκουμένης, ὑφ᾽ οὗ πρῶτος ἀλλόφυλος Ἡρώδης τὴν
τῶν Ἰουδαίων ἐγχειρίζεται βασιλείαν, γεννᾶται δὲ ὁ
Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ,
κατὰ τὸ αὐτὸ συντρεχόντων τῶν χρόνων τῆς γενέσεως
αὐτοῦ καὶ τῆς συμπληρώσεως τῶν παρὰ τῷ Δανιὴλ
ἑπτὰ καὶ ἑξήκοντα [r] καὶ δύο ἑβδομάδων· μεθ᾽ ἃς διῃρη-
μένης καὶ μακρὰν ἀπεσχοινισμένης μετὰ πλεῖστα ὅσα

[r] καὶ add. P.

est: inde igitur si tempora quæ sequuntur numeres, invenias ad ipsum usque Herodem et monarcham Romanorum Augustum, sub quibus Salvatoris nostri ortus vitæ hominum illuxit, quadringentos octoginta tres annos contineri, qui septem et sexaginta duarum hebdomadum summam secundum ipsius Daniel prophetiam conficiunt. A sexagesima enim sexta olympiade ad centesimam octogesimam sextam intermediæ olympiades colliguntur centum et viginti una: qui sunt anni quadringenti octoginta quatuor, singulis utique olympiadibus quaternos annos continentibus. Quo tempore Augustus Romanorum rex quintumdecimum sui regni annum agens et Ægyptum et reliquum orbem terrarum imperio obtinet: sub quo primus alieni generis Herodes Judæorum accipit regnum, et Salvator Dominusque noster Jesus, qui Christus est Dei, nascitur, dum videlicet et ortus illius tempus et septem ac sexaginta duarum hebdomadum finis, de quibus loquitur propheta Daniel, in idem concurrunt, post quas quum segregetur, et longius post plurima, ea videlicet quæ in

τὰ μεταξὺ προφητευόμενα τῆς λειπούσης μιᾶς ἑβδομά- d
δος, τὰ λοιπὰ πάντα διὰ μέσου τῆς τοῦ χρησμοῦ προρ-
ρήσεως εἰρημένα ἐπιτελεῖται, ἃ καὶ αὐτὰ τοῦτον ἔχει τὸν
τρόπον· Μετὰ τὰς ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο,
ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ.
Καὶ τὴν πόλιν καὶ τὸ ἅγιον διαφθερεῖ σὺν τῷ ἡγουμένῳ
τῷ ἐρχομένῳ, καὶ ἐκκοπήσονται ἐν κατακλυσμῷ, καὶ ἕως
88 τέλους πολέμου συντετμημένου ἀφανισμοῖς. Καὶ ταῦτα
δὲ ἐναργῆ τὴν ἔκβασιν εἴληφε κατ᾽ αὐτὸν Αὔγουστον
καὶ Ἡρώδην, εἰς οὓς τὰς προειρημένας ἑπτὰ ἑβδομάδας
συγκεφαλαιοῦσθαί φαμεν. Ὁδῷ γοῦν καὶ τάξει τοῦ
κατὰ τὴν ἀρχιερωσύνην χρίσματος μέχρι τῶν Ἡρώδου
καὶ Αὐγούστου χρόνων διαρκέσαντος, τῆς [s]τε διαδοχῆς
τῶν πάλαι ἀρχιερέων ἐπὶ Ἀλέξανδρον τὸν Ὑρκανοῦ
πατέρα περιγραφείσης, Ἡρώδης τὸν Ὑρκανὸν ἀνελὼν
οὐκέτι τοῖς ἐκ πατέρων διαδόχοις ἐπιτρέψαι λέγεται τὴν p. 397
λειτουργίαν, ἀλλά τισιν ἀσήμοις καὶ ἀφανέσιν ἀνθρώ-
89 ποις. Τοῦτο δὲ καὶ ὁ χρησμὸς προλαβὼν [t]ἐθέσπισεν,
εἰπών, καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα
δύο, ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ.

[s] δὲ] τε P. [t] ἐπεθέσπισεν] ἐθέσπισεν P.

medio prophetice prædicuntur, amandetur una quæ reliqua est hebdomada, cætera omnia quæcunque inter mediam oraculi prædictionem dicta sunt perficiuntur, quæ in hunc modum ipsa quoque se habent: *Post hebdomadas septem et sexaginta duas peribit unctio, et judicium non est in ea: et civitatem et sanctum disperdet cum duce venturo: et excidetur in diluvio, et usque ad finem belli in compendium redacti internecionibus.* Et hæc quidem perspicuum exitum nacta sunt Augusti Herodisque temporibus: in quos, eas de quibus dicebamus, septem hebdomadas consummari affirmamus. Nam quum suum progressum atque ordinem pontificia illa unctio usque ad Herodem et Augustum constanter servaverit, et veterum pontificum successio in Alexandro Hyrcani patre terminetur, Herodes, ipso Hyrcano interfecto, non amplius iis qui a parentibus succedendi jus haberent ministerium illud concessisse dicitur, sed ignobilibus quibusdam obscurisque hominibus. Sed etiam oraculum hanc ipsam rem anticipans divinavit, his verbis: *Et post hebdomadas septem et*

Dan. 9, 26.

90 Ὅπερ σαφῶς καὶ [u]οἱ λοιποὶ τεθείκασιν ἑρμηνευταί· ὁ
μὲν Ἀκύλας φήσας, καὶ μετὰ τὰς ἑπτὰ ἑβδομάδας καὶ
ἑξήκοντα δύο, ἐξολοθρευθήσεται ἠλειμμένος καὶ οὐκ ἔστιν
αὐτῷ· ὁ δὲ Σύμμαχος, καὶ μετὰ τὰς ἑβδομάδας [x]τὰς
ἑπτὰ καὶ ἑξήκοντα δύο ἐκκοπήσεται χριστὸς, καὶ οὐχ
ὑπάρξει αὐτῷ. Ὅθεν μάλιστα παρίστασθαί μοι δοκεῖ b
χριστὸς ἡγούμενος εἶναι ὁ κατὰ τὴν ἡμετέραν ἀπόδοσιν
91 δεδηλωμένος. Μετὰ γοῦν τὴν τῶν εἰρημένων ἑβδομά-
δων συμπλήρωσιν ἐξολοθρευθήσεται χριστὸς φησί. Τίς
δὲ οὗτος, ἢ ὁ ἡγούμενος, καὶ ὁ κατὰ διαδοχὴν ἐξ ἱερατι-
κοῦ γένους τοῦ ἔθνους προεστώς; Διέμενε γοῦν οὗτος
εἰς ὅσον οὔπω τὰ τῶν ἑβδομάδων ἐπληροῦτο· ἐπειδὴ δὲ
τέλος ἐλάμβανον αὗται, ἀκολούθως τῇ προφητείᾳ ἐξε-
κόπη ὁ ἐκ διαδοχῆς γένους τοῦ ἔθνους [y]προεστώς.
Οὗτος δὲ ἦν Ὑρκανὸς, ὃν αὐτὸς Ἡρώδης ἀνελὼν τὴν c
κατὰ τοῦ ἔθνους βασιλείαν μηδὲν αὐτῷ διαφέρουσαν
92 ὑφαρπάζει, πρῶτός τε αὐτὸς ἀλλόφυλος ἡγεῖται. Οὐ
μόνος δὲ ἄρα ὁ Ὑρκανὸς χριστὸς ὢν καὶ τῶν πάλαι
ἀρχιερέων ὕστατος ἐξεκόπη, ἀλλὰ καὶ ἡ ἐκ προγόνων

[u] *οἱ* add. P. [x] *τὰς* add. P. [y] Post *προεστὼς* adde Χριστός. Locum Josephi in sequentibus non descripsit verbo tenus. ED. PARIS.

sexaginta duas peribit unctio, et judicium non est in ea: quod quidem perspicue reliqui quoque posuerunt interpretes: Aquila quidem sic, *Et post septem hebdomadas et sexaginta duas, peribit unctus, et non est ei:* Symmachus autem sic, *Et post hebdomadas septem et sexaginta duas excidetur christus, et non aderit ei.* Ex quo maxime mihi constare videtur, *christum ducem* esse eum, quem expositio nostra declaravit. Post eas igitur de quibus diximus completas hebdomadas *peribit christus* inquit. Sed quis tandem hic christus, nisi dux qui legitime succedens ex pontificio genere suæ genti præesset? Mansit igitur hic christus quam diu hebdomades illæ duraverunt, ubi autem illarum finis advenit, excisus est qui de generis successione genti præesset. Porro hic fuit Hyrcanus, quem quum Herodes interfecisset, regnum protinus quod ad ipsum nihil spectabat arripuit, primusque ipse præfuit ex alieno genere. Cæterum non solus Hyrcanus, qui christus erat et priscorum pontificum novissimus, excisus est, sed etiam ea, quæ altius a majoribus longeque superioribus pon-

ἄνωθεν ἐκ τῶν πρόπαλαι ἀρχιερέων κατιοῦσα διαδοχὴ,
αὐτό τε τὸ κατὰ νόμους χρίσμα οὐκ ἔτι κατὰ κρίσιν
γινόμενον, [z]ἀτάκτως δὲ καὶ συγκεχυμένως οὐ κατὰ τὰ
παρὰ Μωσεῖ νενομοθετημένα· συνέτρεχε δὲ ὁμοῦ πάντα
ἀκολούθως τῇ προφητείᾳ φησάσῃ, ἐξολοθρευθήσεται χρί- d
93 σμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ. [a]Μάρτυς ἀξιόχρεως
τούτων ὁ ἐξ αὐτῶν Ἑβραίων Ἰώσηπος, ὧδέ πως ἱστο-
ρῶν τὰ κατὰ τοὺς χρόνους ἐν [b]ὀκτωκαιδεκάτῳ τῆς Ἰου-
δαϊκῆς Ἀρχαιολογίας· Τὴν δὲ βασιλείαν Ἡρώδης παρὰ
Ῥωμαίων ἐγχειρισθεὶς, οὐκ ἔτι τοὺς ἐκ τοῦ Ἀσαμωναίου
γένους, οὗτοι δὲ ἦσαν οἱ καλούμενοι Μακκαβαῖοι, καθίστη-
σιν ἀρχιερεῖς, ἀλλά τινας ἀσήμους καὶ μόνον ἐξ Ἑβραίων
ὄντας, πλὴν ἑνὸς Ἀριστοβούλου, ὃν Ὑρκανοῦ υἱὸν ὄντα κατα-
στήσας ἀρχιερέα τῇ ἀδελφῇ αὐτοῦ συνῴκησε Μαριάμμῃ,
τὴν τοῦ πλήθους πρὸς αὐτὸν θηρώμενος εὔνοιαν διὰ τὴν Ὑρ-
94 κανοῦ μνήμην. Εἶτα δεδιὼς μὴ πρὸς τὸν Ἀριστόβουλον p. 398
πάντες ἀποκλίνωσιν, ἀνεῖλεν αὐτὸν ἐν Ἱεριχοῖ, πνιγῆναι

[z] ἀτάκτων S. [a] Μάρτυς δ'] δ' om. P. [b] ὀκτωκαιδεκάτῳ] Locus Josephi extat lib. XX, non XVIII ut ait Eusebius, cap. VIII (X) paullo aliter: sed unica digna est animadversione diversitas. Nam pro eo quod habet Eusebius μόνον ἐξ Ἑβραίων ὄντας apud Josephum scriptum est μόνον ἐξ ἱέρεων. CASAUBON. Animadv. in Baron. p. 52. qui Eusebium sive ejus librarium erroris arguit. In eodem errore versatur Theodoret. in Dan. c. 9. p. 662 D. = 1246. ed. Schulze.

tificibus repetita fuerat, successio, ipsaque legitima unctio: quippe quæ non ultra ex judicio facta sit, sed inordinate et confuse, non secundum ea quæ Moses in suis legibus sanxerat, concurreruntque in unum omnia, quemadmodum prophetia prædixerat, illis verbis, *Peribit unctio, et judicium non est in ea.* Atque optimus hujusce rei testis est Hebraicus author Josephus, qui in xx Judaïcæ Antiquitatis
Joseph. XX. 10, 5. libro quæ ad illa tempora pertinent in hunc modum exponit: *Herodes autem regni administratione a Romanis accepta nullos amplius ex Asamonæo genere (hi autem erant, qui Maccabæi vocantur) pontifices declarat, sed ignobiles quosdam et ab Hebræis tantummodo oriundos, præter unum Aristobolum, qui Hyrcani filius fuit. Hunc enim quum pontificem declarasset, sororem ejus Mariammam duxit uxorem: quippe qui multitudinis erga illum captaret benevolentiam propter Hyrcani memoriam. Deinde veritus ne omnes ad illum desciscerent, hominem de medio sustulit, dum esset in oppido Hierichunte. Illi enim*

μηχανησάμενος κολυμβῶντα, καθὼς ἤδη δεδηλώκαμεν. Μετὰ τοῦτον οὐκ ἔτι τοῖς ἐκγόνοις τῶν Ἀσαμωναίου παίδων τὴν ἀρχιερωσύνην ἐπίστευσεν. Ἔπραξε δὲ ὅμοια τῷ Ἡρώδῃ περὶ τῆς καταστάσεως τῶν ἀρχιερέων Ἀρχέλαός τε ὁ παῖς αὐτοῦ, καὶ μετὰ τοῦτον Ῥωμαῖοι τὴν τῶν Ἰουδαίων βασι-
95 λείαν παρειληφότες. Πάλιν [d] ἐν ἑτέροις ταῦτα περὶ αὐτῶν
φησίν· Ἡρώδης δὲ βασιλεύσας, τήν τε βάριν ταύτην [e] ἐν b
ἐπιτηδείῳ τόπῳ κειμένην κατασκευάσας πολυτελῶς, Ἀντωνίαν καλεῖ ὄνομα, καὶ τὴν στολὴν τὴν ἀρχιερατικὴν λαμβάνει, τὴν δὲ κειμένην κατεῖχε, πιστεύων οὐδὲν νεωτερισεῖν τὸν λαὸν δι᾽ αὐτήν. Ἔπραξε δ᾽ ὅμοια τῷ Ἡρώδῃ καὶ ὁ ἐπικατασταθεὶς αὐτῷ βασιλεὺς Ἀρχέλαος, υἱὸς ὢν αὐτοῦ, παρ᾽ οὗ Ῥωμαῖοι διαδεξάμενοι τὴν ἀρχὴν ἐκράτουν τῆς στολῆς τοῦ ἀρχιερέως ἀποκειμένης ἐν οἴκῳ λίθου οἰκοδομη-
96 θέντι ὑπὸ σφραγῖδι. Διὰ τούτων τὸ ἀποτέλεσμα παντί
τῳ νομίζω καταφανὲς γεγενῆσθαι τοῦ φήσαντος χρη- c
σμοῦ, καὶ μετὰ τὰς ἑβδομάδας τὰς ἑπτὰ καὶ ἑξήκοντα δύο ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ.
97 Ἔτι δὲ μᾶλλον ὄψει πῶς εἴρηται τὸ κρίμα οὐκ ἔστιν ἐν
αὐτῷ, τὸ ἄκριτον συνιδὼν τῆς τῶν ἀρχιερέων καταστά-

[d] Joseph. A. J. XVIII. 4, 3. ubi leg. paullo aliter. [e] ἐν suprasc. P.

natanti, vique interim sub aqua detento, necem est machinatus, uti jam planum fecimus. Post hunc non amplius ex Asamonæi prole oriundis pontificatum commisit. Herodem imitatus est in constitutione pontificum ejus filius Archelaus, et post hunc ipsum Romani, qui Judæorum regnum occuparunt. Rursus de iis alio in loco dicit hæc: *Herodes autem rex ubi turrim hanc in idoneo loco sitam magno sumptu instruxit, Antoniam appellavit nomine: vestem præterea pontificiam assumpsit, et eam quæ deposita erat retinuit. Herodi similia patravit, qui ab ipso rex declaratus est, Archelaus ipsius filius, a quo Romani accepto principatu, vestem pontificis quæ reposita erat sub signo in domo ex lapide constructa obtinuerunt.* Ex his plane cuivis intellectum esse arbitror, quisnam fuerit eventus oraculi dicentis, *Et post hebdomadas* VII *et* LXII *peribit unctio, et judicium non est in ea.* Magis etiam intueberis, quo sensu dictum sit illud, *Et judicium non est in ea*, si nullo judicio creatos pontifices eos, qui post Herodem, quique temporibus

σεως τῶν μετὰ Ἡρώδην καὶ κατὰ τοὺς χρόνους τοῦ
98 Σωτῆρος ἡμῶν γεγενημένων. Τοῦ γὰρ κατὰ τὸν θεῖον νόμον ἀρχιερέως πάντα τὸν τῆς ζωῆς χρόνον τὴν λει- d
τουργίαν διέπειν κεκελευσμένου ἐπὶ διαδόχῳ παιδὶ γνησίῳ, κατὰ τοὺς ἐξεταζομένους καιροὺς, μετὰ τὸ ἐξολοθρευθῆναι τὸ χρίσμα τῇ προφητείᾳ συμφώνως, πρῶτος μὲν Ἡρώδης, ἔπειτα δὲ καὶ Ῥωμαῖοι μετὰ τοῦτον, ἀκρίτως καὶ οὐ κατὰ τὸν νόμον τοὺς ἀρχιερεῖς καθίστων οὓς ἐδόκει αὐτοῖς, δημοτικοῖς τισι καὶ ἀσήμοις ἀνδράσι τὴν τιμὴν χαριζόμενοι, ἐπίπρασκόν τε καὶ ἐκαπήλευον τοὔνομα, ἄλλοτε ἄλλοις ἐνιαυσιαῖον τὸ ἀξίωμα δωρούμενοι.
99 Διό μοι δοκεῖ ὁ ἱερὸς εὐαγγελιστὴς Λουκᾶς τὸν χρόνον τοῦ κηρύγματος τοῦ Σωτῆρος ἡμῶν ὑπογράφων σημειοῦσθαι τοῦτο, δι' ὧν φησὶν, ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμονίας Τιβερίου Καίσαρος, ἡγεμονεύοντος Ποντίου Πιλάτου τῆς Ἰουδαίας, τετραρχούντων δὲ Ἡρώδου, καὶ Φιλίππου,
100 καὶ Λυσανίου, ἐπὶ ἀρχιερέως Ἄννα καὶ Καϊάφα. Δύο γὰρ οὗτοι κατὰ τὸ αὐτὸ ἀρχιερεῖς πῶς ἂν [f] ἐγένοντο, ἢ καταλυθείσης τῆς περὶ τῶν ἀρχιερέων νομοθεσίας; Τούτοις γοῦν καὶ Ἰώσηπος ἐπιμαρτυρῶν ταῦτα γράφει· p. 399

[f] γένοντο S.

Salvatoris nostri fuerunt, consideraveris. Quum enim ex divina lege pontifex totum suæ vitæ tempus sacrum munus obire idemque legitimo filio successori tradere juberetur per ea tempora quæ modo explorabamus, post interitum sacræ unctionis, sicut prophetia significaverat, primus quidem Herodes, post Herodem vero etiam Romani, absque judicio, nulla servata lege, quos ipsi probassent pontifices declarare instituerunt, plebeiis quibusdam viris atque ignobilibus hunc honorem largientes, idque nominis venale habere et cauponum more pro eo pretium accipere, modo hos, modo illos annua dignitate donantes. Quocirca sanctus evangelista Lucas, dum prædicandæ Salvatoris nostri doctrinæ tempus describit, hoc ipsum mihi notare
Luc. 3, 1. videtur, quum ait, *In anno quinto decimo imperii Tiberii Cæsaris, procurante Pontio Pilato Judæam, tetrarchiam vero obtinentibus Herode, et Philippo, et Lysania, sub principibus sacerdotum Anna et Caipha:* namque hi duo quo tandem pacto eodem tempore fuissent pontifices, nisi legi quæ de pontificibus sancita fuerat vis illata fuisset. Hæc

[g]Οὐαλέριος Γράτος Ῥωμαίων στρατηγὸς παύσας ἀρχιε-
ρᾶσθαι Ἄνανον, Ἰσμαῆλον ἀρχιερέα ἀποφαίνει τὸν [h]τοῦ Φήβα,
καὶ τοῦτον μετ᾽ οὐ πολὺ μεταστήσας Ἐλεάζαρον τὸν τοῦ
Ἀνάνου τοῦ ἀρχιερέως υἱὸν ἀποδείκνυσιν ἀρχιερέα. Ἐνιαυτοῦ
δὲ διαγενομένου καὶ τόνδε παύσας, Σίμωνι τῷ Καθίμου τὴν
ἀρχιερωσύνην παραδίδωσιν. Οὐ πλέον δὲ καὶ τῷδε ἐνιαυ-
τοῦ τὴν τιμὴν ἔχοντι διεγένετο χρόνος, καὶ Ἰώσηπος, [i]ὁ καὶ
101 [k]Καϊάφας, διάδοχος ἦν αὐτῷ. Ταῦτα ἀναγκαίως παρ-
εθέμην, διὰ τὸ ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ b
ἔστιν ἐν αὐτῷ, ἃ καὶ ἡγοῦμαι ἀναμφίλεκτον τὴν ἀπόδειξιν
ἔχειν. Ἑξῆς τούτοις φησὶν ἡ προφητεία, καὶ τὴν πόλιν,
καὶ τὸ ἅγιον διαφθερεῖ, σὺν τῷ ἡγουμένῳ τῷ ἐρχομένῳ.
Ἔνθα πάλιν τὸν Ἡρώδην αὐτὸν καὶ τοὺς μετὰ αὐτὸν
ἄρξαντας ἐξ ἀλλοφύλου γένους ὑπολαμβάνω δηλοῦσθαι.
102 Ὡς γὰρ ἀνωτέρω ὠνόμαζε χριστοὺς ἡγουμένους τοὺς ἀρχ-
ιερεῖς, λέγων, ἕως χριστοῦ ἡγουμένου, τὸν αὐτὸν τρόπον
μετὰ ἐκείνους καὶ τὴν ἐκείνων κατάπαυσιν οὐκ ἄλλος
ἡγούμενος ἐρχόμενος ἢ ὁ δηλωθεὶς ἐξ ἀλλοφύλου γένους c
καὶ οἱ λοιποὶ ὅσοι καθεξῆς μετ᾽ ἐκείνους ἡγήσαντο τοῦ

[g] Vid. Euseb. H. E. I. c. 10. [h] τουφήβα] τοῦ Φήβα S. [i] ὅ τε] ὁ καὶ P. [k] καΐφας S.

eadem Josephus quoque testificans, sic scribit: *Valerius Gratus Romanorum imperator, quum Anano pontifici sacrum munus abrogasset, Ismaëlum Tupheba pontificem declaravit, cui item ipsi quum haud multo post honorem ademisset, Eleazarum Anani pontificis filium pontificem creat. Deinde anno peracto hunc quoque rejicit, et Simoni Cathimi filio pontificatum tradit: huic quoque non plus annuo honore perfuncto abiit tempus, et in locum ejus Josephus, qui etiam Caiphas, suffectus est.* Hæc necessario posui propter illud, *Peribit unctio, et judicium non est in ea,* quæ ego quidem arbitror indubitatam demonstrationem habere: his deinde addit prophetia, *et civitatem et sanctum disperdet cum duce venturo.* Ubi ego rursus et ipsum Herodem, et eos qui post Herodem ex alieno genere imperaverint, puto intelligendos: nam quemadmodum superius nominabat *christos duces,* quum in illis verbis pontifices diceret, *usque ad christum ducem,* ita post eos et post eorum abrogationem non alius fuerit venturus, quam is qui dictus est ex alieno genere cæterique quicunque post

Joseph. Ant. XVIII. 2, 2.

ἔθνους, σὺν οἷς καὶ μεθʼ ὧν, ὡσπερεὶ συνεργοῖς χρώμενος, ὁ μισόκαλος καὶ τῶν ἀγαθῶν φθορεὺς καὶ τὴν
103 πόλιν καὶ τὸ ἅγιον διαφθερεῖν εἴρηται. Καὶ γὰρ διέφθειρεν ἀληθῶς ἅπαν τὸ ἔθνος, τοτὲ μὲν τὴν τῆς ἱερωσύνης τάξιν εἰς παρανομίαν ἄγων, τοτὲ δὲ τὸν πάντα λαὸν διαστρέφων, καὶ τὴν πόλιν, (οὕτω τῶν πολιτῶν μεταφορικῶς ὠνομασμένων,) εἰς ἀσέβειαν ἐκκαλούμενος.
Συνᾴδει δὲ ἡμῶν τῇ ἀποδόσει καὶ ὁ Ἀκύλας τοῦτον d
ἑρμηνεύσας τὸν τρόπον, καὶ τὴν πόλιν καὶ τὸ ἅγιον δια-
104 φθερεῖ λαὸς [1]ἡγουμένου ἐρχομένου. Οὐ μόνον γὰρ [m]ὁ ἐρχόμενος ἡγούμενος, ὁ κατὰ τὰ ἀποδεδομένα ἡμῖν δηλωθεὶς, διέφθειρε τὴν πόλιν καὶ τὸ ἅγιον, ἀλλὰ καὶ ὁ τούτου λαός. Εἴποι δʼ ἂν τις οὐκ [n]ἄπο σκοποῦ καὶ τὸν Ῥωμαίων ἡγεμόνα διὰ τῶν προκειμένων δηλοῦσθαι τόν τε τούτου λαὸν, διʼ οὗ νομίζω σημαίνεσθαι τὰ στρατόπεδα τῶν Ῥωμαίων ἀρχόντων, ἐξ ἐκείνου κρατησάντων τοῦ ἔθνους, οἳ καὶ τὴν πόλιν αὐτὴν Ἱερουσαλὴμ καὶ τὸν
105 πάλαι ἐν αὐτῇ σεμνὸν καὶ ἅγιον νεὼν διέφθειραν. Ὑπὸ τούτων γοῦν καὶ ἐξεκόπησαν ὡς ἐν κατακλυσμῷ, καὶ

[1] ἡγουμένου] Sic S. cum vulg. ἡγούμενος P. qui mox addit ἡγούμενος post ἐρχόμενος. Hoc om. S. cum vulg. [m] ὁ om. S. [n] ἀπὸ] ἄπο P.

illos deinceps genti præfuerunt, quibus tanquam adjutoribus utens, una cum iisdem ipse honesti inimicus bonorumque corruptor, et civitatem et sanctum perditurus dicitur. Etenim vere perdidit totam gentem, modo quidem sacerdotii ordinem præter legem perturbans, modo vero cunctum populum pervertens, et civitatem, (sic enim cives figurate nominantur,) evocans ad impietatem et nefas. Huic autem commentationi nostræ Aquila quoque concordat, qui interpretatus est in hunc modum, *Et civitatem et sanctum disperdet populus ducis venturi.* Non solum enim qui venturus fuit dux, quem nos superiore expositione prodidimus, corrupit civitatem et sanctum, sed etiam illius populus: præterea non forsitan quispiam a recto aberraverit si dixerit, etiam Romanum ducem iisdem verbis designari, ejusque ducis populum. Per quæ arbitror significari exercitus Romanorum principum, qui ex illo tempore gentis imperium tenuere, quique civitatem ipsam Hierusalem et in ea quondam venerabile et sanctum templum corruperunt. Siquidem ab iis etiam excisi sunt

ἕως τέλους πολέμου [nn] συντετμημένου ἀφανισμοῖς ἔφθα-
σαν, ὥστε ἤδη κατὰ τὴν προφητείαν παντελῆ ὑπομεῖναι
ἐρημίαν [o] μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν p. 400
αὐτῶν, μεθ' ἣν καὶ τὴν ἐσχάτην ὑπέμειναν πολιορκίαν.
Ἔχεις καὶ ταῦτα ἀκριβῶς ἐν ταῖς γραφείσαις αὐτῷ Ἰω-
106 σήπῳ ἱστορίαις. Τούτων δὲ περὶ τῶν συμβεβηκότων
τῷ Ἰουδαίων ἔθνει ἐν τῷ μεταξὺ χρόνῳ τῶν ἑπτὰ καὶ
ἑξήκοντα δύο ἑβδομάδων πεπροφητευμένων, ἀκολούθως
ἡ δήλωσις τῆς ὑπὸ τοῦ Σωτῆρος ἡμῶν καταγγελθείσης
107 καινῆς διαθήκης θεσπίζεται. Τοσούτων γοῦν διὰ μέσου
καὶ μεταξὺ τῶν ἑπτὰ καὶ ἑξήκοντα καὶ δύο ἑβδομάδων
εἰρημένων, ἐπιλέγεται, *καὶ δυναμώσει διαθήκην πολλοῖς* b
ἑβδομὰς μία, καὶ ἐν τῷ ἡμίσει τῆς ἑβδομάδος ἀρθήσεται
θυσία καὶ σπονδὴ, καὶ ἐπὶ τὸ ἱερὸν βδέλυγμα τῶν ἐρημώ-
σεων ἔσται, καὶ ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται
108 *ἐπὶ τὴν ἐρήμωσιν.* Τίνα δὲ τρόπον καὶ ταῦτα ἐπληροῦτο
[p] κατανοήσωμεν. Ἱστορεῖται δὲ ὁ πᾶς τῆς διδασκαλίας
καὶ παραδοξοποιΐας ὁμοῦ τοῦ Σωτῆρος ἡμῶν χρόνος
τριῶν ἥμισυ γεγονὼς ἐτῶν, ὅπερ ἐστὶν ἑβδομάδος ἥμισυ.

[nn] Vid. infra p. 403 a.b. et d. [o] κατὰ] μετὰ S. [p] κατανοήσομεν P.

tanquam in diluvio, et usque ad finem belli in compendium acti itineribus pervenere, usque adeo ut, quemadmodum prophetia dixerat, extremam tum passi sint solitudinem post ipsorum nefarias contra Salvatorem nostrum insidias: nam postquam id moliti sunt extremam sane obsidionem pertulere. Hæc quoque ipsa ad amussim explorata habes in iis, quas Josephus scripsit, historiis. Cæterum quum hæc de iis quæ intermedio VII et LXII hebdomadum tempore Judaicæ genti acciderunt per prophetiam prædicta sint, ordine deinceps novi per Salvatorem nostrum denuntiandi testamenti significatio canitur. Ergo ubi tam multa in medio inter septem et sexaginta duas hebdomadas dicta sunt, tum adjungitur, *Et confirmabit pactum multis hebdomada una, et in medio hebdomadis auferetur sacrificium et libatio, et in templo abominatio desolationum erit, et usque ad consummationem temporis consummatio dabitur in desolationem.* Sed jam hæc quonam pacto completa sint exploremus. Sane proditum est memoriæ omne doctrinæ eruditionisque miraculorum Salvatoris nostri tempus trium annorum et semis fuisse: quod quidem est

Τοῦτό πως Ἰωάννης ὁ εὐαγγελιστὴς ἀκριβῶς [q]ἐφιστᾶσιν
αὐτοῦ τῷ εὐαγγελίῳ παραστήσει. Εἴη ἂν οὖν ἑβδομὰς c
ἐτῶν μία ὁ πᾶς χρόνος τῆς μετὰ τῶν ἀποστόλων αὐτοῦ
συνδιατριβῆς, ὅ τε πρὸ τοῦ πάθους, καὶ ὁ μετὰ τὴν ἐκ
109 νεκρῶν ἀνάστασιν αὐτοῦ. Πρὸ μὲν γὰρ τοῦ πάθους
ἐπὶ τρία καὶ ἥμισυ ἔτη τοῖς πᾶσιν ἑαυτὸν παρέχων μα-
θηταῖς τε καὶ τοῖς μὴ τοιούτοις ἀναγέγραπται· καθ' ὃν
διδασκαλίαις παραδόξοις τε θεραπείαις τῆς θεότητος
αὐτοῦ τὰς δυνάμεις πᾶσιν ἁπλῶς Ἕλλησί τε καὶ Ἰου-
110 δαίοις παρείχετο. Μετὰ δὲ τὴν ἐκ νεκρῶν ἀνάστασιν
τὸν ἴσον, ὡς εἰκὸς, [r]τῶν ἐτῶν χρόνον τοῖς ἑαυτοῦ μαθη- d
ταῖς καὶ ἀποστόλοις συνῆν, δι' ἡμερῶν τεσσαράκοντα
ὀπτανόμενος αὐτοῖς καὶ [s]συναλιζόμενος, καὶ λέγων τὰ
περὶ τῆς βασιλείας τοῦ Θεοῦ, ὡς γοῦν αἱ Πράξεις τῶν
Ἀποστόλων περιέχουσιν· ὡς εἶναι ταύτην τὴν δηλου-
μένην τῆς προφητείας τῶν ἐτῶν ἑβδομάδα, καθ' ἣν
111 ἐνεδυνάμωσε διαθήκην πολλοῖς, τὴν καινὴν δηλαδὴ δια-
θήκην τοῦ εὐαγγελικοῦ κηρύγματος κρατύνων. Τίσι δὲ
πολλοῖς ταύτην ἐνεδυνάμωσεν, ἢ δηλονότι τοῖς ἑαυτοῦ

q ἐφιστῶσιν P. r τῶν ἐτῶν P. in marg. s συναυλιζόμενος] συναλιζόμενος P. cum Act. Apost. 1, 4. Vid. Valcken. adnot. Crit. p. 369.

hebdomadis unius dimidium. Hoc ipsum quodam modo Joannes evangelista attentissime ejus evangelium observantibus declarabit. Erit igitur hebdomas annorum una omne tempus quod cum apostolis suis versatus est, tum antequam passus est, tum postquam de morte ad vitam revenit: nam quod antequam sit passus per tres annos et semis omnibus et discipulis et non discipulis seipsum exhibuerit, palam ex iis quæ scripta sunt de ipso proditum est: quo tempore et documentis et admiratione dignis curationibus divinitatis suæ vires omnibus simpliciter tam Græcis quam Judæis ostendit. Ubi vero a morte ad vitam est restitutus, quod idem temporis eundemque annorum numerum cum suis versatus sit, discipulis et apostolis, rationi sane consentaneum est, per dies XL apparens eis et convescens, et de regno Dei loquens, quemadmodum quidem in Apostolorum Actis continetur, ut hæc sit illa, de qua prophetia loquitur, annorum hebdomas, *in qua confirmavit pactum multis*, munitius videlicet reddens novum evangelicæ prædicationis testamentum.

μαθηταῖς καὶ ἀποστόλοις, καὶ τοῖς ἐξ Ἑβραίων εἰς αὐτὸν πεπιστευκόσιν ἅπασι; Πλὴν ἀλλὰ τῆς μιᾶς ταύτης ἑβδομάδος, καθ' ἣν ἐνεδυνάμωσε τὴν δηλωθεῖσαν διαθήκην τοῖς πολλοῖς, ἐν τῷ ἡμίσει ἤρθη θυσία καὶ σπονδή, p. 401
112 τό τε βδέλυγμα τῆς ἐρημώσεως ἤρξατο, ἐπειδήπερ μεσαζούσης τῆς ἑβδομάδος ταύτης μετὰ τὸν ἥμισυ καὶ τριετῆ χρόνον τῆς διδασκαλίας αὐτοῦ, καθ' ὃν καιρὸν πέπονθε, τὸ καταπέτασμα τοῦ ναοῦ ἐρράγη ἀπὸ ἄνωθεν ἕως κάτω· ὡς ἐξ ἐκείνου δυνάμει ἦρθαι ἐξ αὐτῶν τὴν σπονδὴν καὶ τὴν θυσίαν, καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως ἐπὶ τὸ ἱερὸν [t] καταστῆναι, καταλιπούσης αὐτοὺς ἐρήμους τῆς ἀνέκαθεν εἰς ἐκεῖνο καιροῦ τὸν τόπον ἐφο-
113 ρώσης καὶ ἐπισκοπούσης δυνάμεως. Μέχρι γοῦν τοῦ b
σωτηρίου πάθους εἶναί τινα Θεοῦ δύναμιν ἐπισκοποῦσαν τὸ ἱερὸν καὶ τὸ ἅγιον τῶν ἁγίων ἡγεῖσθαι προσήκει. Οὐ γὰρ ἂν ἄλλως καὶ αὐτὸς ἅμα τοῖς πολλοῖς συνήδρευεν ἐν τῷ ἱερῷ τὰς κατὰ νόμους ἑορτὰς ἐπιτελῶν, μὴ οὐχὶ ἔτι συνεστῶτα καὶ Θεοῦ εἶναι ἄξιον τὸν τόπον
114 εἰδώς. Ἦσαν οὖν ἐν τῷ ἱερῷ καὶ προφητεύοντές τινες

[t] ἦρχθαι] καταστῆναι P.

Sed quibus *multis* id confirmavit? Nempe suis discipulis et apostolis, iisque omnibus quicunque ex Hebræis in fidem ejus venerunt. Cæterum in hujusce *unius hebdomadis medio*, in qua illud ipsum de quo diximus testamentum multis confirmavit, *sublatum est sacrificium, et libatio, abominatioque desolationis* inchoata est, quandoquidem hac ipsa hebdomade jam ad medium sui spatium ducta, post trium annorum tempns et semis doctrinæ illius, quo tempore passus est, velum templi scissum est a summo usque deorsum: ut ex illo jam vi quadam sublata fuerit ab eis libatio et sacrificium, et abominatio desolationis in templo sederit, utpote quum eos virtus illa reliquerit solos, quæ ab initio ad illud usque tempus et tutelam et providentiam ejus loci gerebat: nam ad illud usque tempus quo ille pro salute nostra passus est divinam quandam vim fuisse quæ et templum et sanctum sanctorum tueretur existimare par est. Alioqui quid oportebat illum una cum aliis multis sedere in templo et ex legibus festos dies celebrare, si novisset non amplius consistere locum illum, neque Dei præsentia dignum esse? Fuerunt igitur ad illud usque

εἰς ἐκεῖνο τοῦ καιροῦ, ὥσπερ Ἄννα ἡ [u]προφῆτις ἡ τοῦ
Φανουὴλ, καὶ Συμεὼν ὁ ἐπὶ τὰς ἀγκάλας αὐτὸν βρέφος
ἔτι ὄντα λαβὼν, οἳ καὶ προφητεύουσι τὰ ἀναγεγραμμένα. c
115 Οὐδ' ἂν αὐτὸς ὁ Κύριος ἡμῶν εἰρήκει τῷ λεπρῷ, ὕπαγε,
δεῖξον σεαυτὸν τῷ ἱερεῖ, καὶ προσένεγκε τὴν θυσίαν, ἣν προσ-
έταξε Μωσῆς εἰς μαρτύριον αὐτοῖς, μὴ οὐχὶ ἔτι δεῖν ἡγού-
μενος τὰ κατὰ νόμους ἐπιτελεῖσθαι αὐτόθι, ὡς ἐν ἁγίῳ
καὶ Θεοῦ ἀξίῳ τόπῳ· οὐδ' ἂν τοὺς ἀγοράζοντας καὶ
[x]πιπράσκοντας ἐξωθῶν ἔλεγε, γέγραπται ὅτι ὁ οἶκός μου
οἶκος προσευχῆς κληθήσεται, ὑμεῖς δὲ αὐτὸν ποιεῖτε σπή-
λαιον λῃστῶν, καὶ αὖθις, ἄρατε ταῦτα ἐντεῦθεν, καὶ μὴ
ποιεῖτε τὸν οἶκον τοῦ πατρός μου οἶκον ἐμπορείου, εἰ μὴ ἔτι
τίμιον σαφῶς δεῖν ἐνόμιζεν ὑπολαμβάνειν εἶναι τὸν d
116 τόπον. Ἀλλὰ γὰρ πλησιαζούσης αὐτῶν τῆς ἐσχάτης
δυσσεβείας, μετὰ ταῦτα πάντα ἀπεφήνατο εἰπὼν, ἰδοὺ
ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος, ὃ καὶ αὐτὸ ἐπληροῦτο,
ὅτε παθόντος αὐτοῦ τὸ καταπέτασμα τοῦ ναοῦ ὅλον δι'
ὅλου μέσον ἐρράγη, καθῄρητό τε ἐξ ἐκείνου δυνάμει ἡ
προσηνὴς τῷ Θεῷ κατὰ τὴν τοῦ νόμου διάταξιν θυσία

[u] προφήτης P. [x] ἐπιπράσκοντας S.

temporis nonnulli in templo divinantes, qualis Anna prophetica mulier filia Phanuel, et Simeon qui in ulnas ipsum adhuc infantem accepit, qui etiam cecinerunt ea quæ publicæ memoriæ prodita sunt.
Matth. 8, 4. Sed neque ipse Dominus noster dixisset leproso, *Abi, ostende te sacerdoti et offer sacrificium, quod præcepit Moses in testimonium eis,* si illo in loco non ultra existimasset quæ ad ritus legesque pertinent tanquam in sancto et Dei præsentia digno loco celebrari oportere,
Matth. 21, 13. neque vendentes et ementes ejiciens dixisset verba illa, *Scriptum est, Domus mea domus orationis vocabitur, vos autem eam facitis speluncam*
Jo. 2, 16. *latronum,* et rursus, *Auferte ista hinc, et nolite facere domum patris mei domum negotiationis,* nisi adhuc plane censuisset venerabilem esse locum putare oportere. At enim ubi illorum extremum scelus
Matth. 23, 38. appropinquavit, tum omnia indicavit dicens, *Ecce relinquitur vobis domus vestra deserta,* quod quidem ipsum completum est quo tempore dum ille cruci affixus est, velum templi medium toto penitus altitudinis suæ spatio scissum est, sublatumque est ex illo vi quadam Deo gratum ex institutione legis sacrificium et libatio, qua sublata, abo-

καὶ σπονδὴ, ἧς ἀρθείσης, καὶ τὸ βδέλυγμα τῆς ἐρημώσεως, κατὰ τὴν ἐν χερσὶ προφητείαν, ἐπηκολούθησε τῷ
117 τόπῳ. Εἰ δὲ καὶ ἐπί τινα χρόνον παραμένειν ἔδοξε τὰ τῆς ἐν τῷ τόπῳ λειτουργίας, ἀλλ' οὐκέτι γε ταῦτα ἀρεστὰ τῷ Θεῷ ἦν, ἀκρίτως καὶ οὐ κατὰ νόμον ἐπιτελού-
118 μενα. Ὥσπερ γὰρ πρόπαλαι ἐξολοθρευθέντος τοῦ p. 402
χρίσματος, καὶ τῶν κατὰ διαδοχὴν νομίμων ἀρχιερέων πεπαυμένων ἀπὸ τῆς Ὑρκανοῦ τελευτῆς, οἱ μετὰ ταῦτα παριόντες ἀτάκτως καὶ παρανόμως ἐδόκουν μέν τι ποιεῖν, οὐ μὴν κατὰ τοὺς πρέποντας ἔπραττον θεσμοὺς, δι' οὓς καὶ ἔφασκεν ἡ προφητεία, *ἐξολοθρευθήσεται χρίσμα, καὶ κρίμα οὐκ ἔστιν ἐν αὐτῷ*, τὸ ἄκριτον καὶ παράνομον αὐτῶν διαβάλλουσα· οὕτω δὴ καὶ ἐπὶ τῆς θυσίας καὶ τῆς σπονδῆς συμβεβηκέναι φήσεις, ὀρθῶς μὲν καὶ κατὰ b
νόμον πρὸ τοῦ πάθους τοῦ Σωτῆρος ἡμῶν ἐπιτελουμένης διὰ τὴν εἰσέτι τότε τὰ τῶν ἁγίων τόπων [y] ἐφορῶσαν δύναμιν, περιαιρεθείσης δὲ αὐτίκα μετὰ τὴν αὐτοῦ τελείαν καὶ θεοπρεπῆ θυσίαν, ἣν προσήνεγκεν αὐτὸς ἑαυτὸν ὑπὲρ τῶν ἁμαρτιῶν ἡμῶν, *αὐτὸς ὢν ὁ ἀμνὸς τοῦ Θεοῦ,*

[y] ἐφοροῦσαν] ἐφορῶσαν P.

minatio desolationis, secundum eam quæ nunc in manibus est prophetiam, in loco illo secuta est. Quod si per aliquod tempus permanere visa sunt ea quæ ad functionem illam in tali loco pertinent, non tamen eadem amplius grata Deo fuerunt, quippe quum et sine judicio et præter leges celebrarentur. Sicut enim antea, unctione abolita, et legitimis ex succedendi serie pontificibus post Hyrcani interitum abrogatis, qui posthac sine ordine et præter leges ad illud munus accedebant, videbantur illi quidem aliquid facere, et tamen id nullo laudabili instituto præstabant, propter quos etiam dixit prophetia, *peribit unctio, et judicium non est in ea,* talibus interim verbis judiciorum legumque in illis contemptum accusans: ita etiam circa libationem et sacrificium contigisse affirmabis, quæ recte quidem et ex lege antequam Salvator noster sit passus celebrabantur propter virtutem illam quæ ad illud usque tempus loci sanctitatem tuebatur. Cæterum et sublata est illico post illius perfectum Deoque conveniens sacrificium, quod ipse seipsum pro peccatis nostris obtulit, *quum ipse esset ille agnus Dei qui tollit peccata mundi:* quo quidem sacrificio

ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου, ἧς θυσίας πᾶσιν ἀνθρώ-
ποις κατὰ τὰ καινὰ μυστήρια τῆς καινῆς διαθήκης
119 παραδοθείσης, τὰ τῆς παλαιᾶς [z] περιῄρητο. Ὁμοῦ γὰρ
τῷ πληροῦσθαι τὸ φάσκον λόγιον, καὶ δυναμώσει δια- c
θήκην πολλοῖς ἑβδομὰς μία, τὰ τῆς παλαιᾶς διαθήκης
περιῄρητο. Πότε δὲ τὰ τῆς διαθήκης τῆς καινῆς ἐδυ-
ναμοῦτο, ἢ ὅτε ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν μέλλων
τελεῖν τὸ μέγα μυστήριον τῆς εἰς τὸν θάνατον αὑτοῦ
παρόδου, ᾗ νυκτὶ παρεδίδοτο, τὰ σύμβολα τῶν κατ᾽ αὐτὸν
ἀπορρήτων τῆς καινῆς διαθήκης λόγων τοῖς αὑτοῦ παρ-
εδίδου μαθηταῖς; Ὁμοῦ γὰρ ταῦτ᾽ ἐτελεῖτο, καὶ ἡ κατὰ d
Μωσέα παλαιὰ διαθήκη περιῄρητο, ὅπερ ἐδήλου τὸ
καταπέτασμα τοῦ ναοῦ κατὰ τὸν αὐτὸν ῥηγνύμενον
120 χρόνον. Ἀρθείσης γοῦν ἐξ ἐκείνου καὶ δυνάμει καὶ
ἀληθείᾳ καταλυθείσης θυσίας καὶ σπονδῆς, αἱ μετὰ
ταῦτα νομιζόμεναι αὐτόθι ἐπιτελεῖσθαι θυσίαι ἄσπονδοι
καὶ ἀνίεροι ἐν [a] βεβήλῳ τόπῳ καὶ ὑπὸ βεβήλων καὶ
121 ἀνιέρων ἐπετελοῦντο. Δέχου [b] δὲ καὶ τὰς περὶ τούτων
Ἰωσήπου [c] μαρτυρίας· κατὰ δὲ τὴν ἡμέραν τῆς πεντη-

[z] περὶ ἥριτο S. hic et infra. [a] βεβύλῳ et mox βεβύλων S. [b] δὴ S. [c] μαρτυρίαις S.

cunctis hominibus secundum nova novi testamenti mysteria tradito, quæ veteris propria erant sublata sunt. Eodem enim tempore et oraculum illud completum est, *et confirmabit pactum multis hebdomas una,* et quæ ad vetus testamentum spectant sublata sunt. Cæterum quando tandem quæ ad novum pertinent testamentum sunt confirmata, nisi quum Salvator ac Dominus noster magno illo sui ad mortem accessus mysterio functurus, qua nocte tradebatur, occultarum et ad ipsum spectantium novi testamenti rationum signa et notas suis discipulis tradidit? Eodem enim tempore et hæc perfecta sunt, et a Mose descriptum vetus testamentum sublatum est, quam rem plane declaravit velum templi quod per idem tempus scissum est. Sublato igitur ex illo deinceps, et non minus re vera quam vi soluto sacrificio ac libatione, quæ posthac existimabantur illic perfici sacrificia, sine gratia, rebus sacris aliena in profano loco a profanis et a re sacra alienis perficiebantur. Cæterum his de rebus etiam Josephi testimonium accipe : *Ipso autem die pentecostes noctu sacerdotes*

Joseph. B. J. VI. 5. 3.

κοστῆς νύκτωρ οἱ ἱερεῖς παρελθόντες εἰς τὸ ἱερὸν, ὥσπερ
αὐτοῖς ἔθος ἦν, πρὸς τὰς λειτουργίας, πρῶτον μὲν κινήσεως
ἔφασαν ἀντιλαμβάνεσθαι καὶ κτύπου· μετὰ δὲ ταῦτα
φωνῆς ἀθρόας λεγούσης, [d] μεταβαίνωμεν ἐντεῦθεν. Ταῦτα
δὲ ἱστορεῖ μετὰ τὸ πάθος τοῦ Σωτῆρος ἡμῶν γεγονέναι.
122 Καὶ πάλιν ὁ αὐτός φησι, Πιλάτον τὸν ἡγεμόνα, αὐτὸν δὴ
ἐκεῖνον τὸν ἐπὶ τοῦ Σωτῆρος ἡμῶν, τὰς Καίσαρος εἰκόνας
νύκτωρ εἰς τὸ ἱερὸν, ὅπερ οὐκ ἦν θέμις, εἰσκομίσαι, μεγίστην p. 403
τε ταραχὴν θορύβου τε καὶ στάσεως ἐμβεβλῆσθαι τοῖς
123 Ἰουδαίοις. Αὐτὰ δὴ ταῦτα καὶ ὁ Φίλων συμμαρτυρεῖ,
τὰς σημαίας φάσκων τὰς βασιλικὰς τὸν Πιλάτον νύκτωρ
ἐν τῷ ἱερῷ ἀναθεῖναι, ἀρχήν τε στάσεων καὶ συμφορῶν
124 ἐπαλλήλων ἐξ ἐκείνου τοῖς Ἰουδαίοις συμπεσεῖν. Οὐ δι-
έλιπον οὖν ἔκ τοτε τὸ πᾶν ἔθνος καὶ τὴν μητρόπολιν
αὐτῶν παντοίων κακῶν ἐπαναστάσεις ἕως τοῦ ὑστάτου
κατ᾽ αὐτῶν πολέμου καὶ τῆς ἐσχάτης πολιορκίας, καθ᾽
ἣν παντοίοις ἀφανισμοῖς λιμοῦ τε καὶ λοιμοῦ καὶ μα-
χαίρας καταποντισμοῦ δίκην τοῦ κατ᾽ αὐτῶν ὀλέθρου b
συρρεύσαντος, πάντες οἱ κατασυστάντες τοῦ Σωτῆρος
ἡμῶν ἡβηδὸν ἐξεκόπησαν· ὅτε καὶ τὸ βδέλυγμα τῆς

[d] μεταβαίνομεν S.

in templum ingressi, sicut eis mos erat, ad munera obeunda, primum quidem se motum quendam strepitumque sensisse dixerunt, deinde vero subitam vocem crebro repetentem, Migremus hinc. Hæc autem ille scribit facta esse post Salvatoris nostri mortem. Rursus idem ait, *Pilatum præsidem*, ipsum utique illum qui tempore Salvatoris nostri præfuit, *noctu in templum contra fas imagines Cæsaris intulisse, magnamque perturbationem seditionis atque tumultus Judæis injecisse.* Eadem hæc etiam Philo confirmat, qui ait, *Regias imagines Pilatum noctu in templo dicasse, initiumque seditionum et mutuarum inter ipsos calamitatum ex illo Judæis accidisse.* Non desierunt ergo posthac quæ universam gentem eorundemque principem civitatem invaderent omnis generis mala, usque ad ultimum illud quod contra illos gestum est bellum, extremamque illam obsidionem, in qua omnis generis internecionibus et famis et pestilentiæ et gladii, quum pernicies adversus eos diluvii instar conflueret, omnes quicunque adversus Salvatorem nostrum conspiraverant, cujuscunque essent ætatis, excisi

Vid. Joseph. Ant. XVIII. 3, 1. B. J. II. 9, 2. Philo Jud. cf. leg. ad Caium s. 38. p. 589, 590.

ἐρημώσεως ἐπὶ τὸ ἱερὸν ἔστη, ὃ καὶ εἰς δεῦρο διέμεινεν,
125 ὁσημέραι ἐπὶ τὸ χεῖρον ἐρημίας ἐλαῦνον. Εἰκὸς δὲ καὶ
ἐπιτείνειν αὐτὸ μέχρι τῆς τοῦ βίου συντελείας, κατὰ τὸν
ὑπὸ τῆς προφητείας ἀποφανθέντα ὅρον, φήσαντα, *καὶ
ἕως συντελείας καιροῦ συντέλεια δοθήσεται ἐπὶ τὴν ἐρήμωσιν.*
126 Ἥντινα φωνὴν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς ὁ
Χριστὸς ἐπεσφραγίσατο, εἰπών, *ὅτ' ἂν δὲ ἴδητε τὸ βδέ-* c
*λυγμα τῆς ἐρημώσεως τὸ ῥηθὲν διὰ Δανιὴλ τοῦ προφήτου
ἑστὼς ἐν τόπῳ ἁγίῳ, τότε γινώσκετε ὅτι ἤγγικεν ἡ ἐρήμωσις*
127 *αὐτῆς.* Εἰ δὲ δυσπίστως πρὸς ταῦτα ἔχοιεν οἱ ἐκ περι-
τομῆς, [e]ἐλεγκτέον αὐτοὺς μὴ μόνον ἀναιδῶς πρὸς τὰ
ἀληθῆ καὶ ἐναργῆ ἱσταμένους, ἀλλὰ καὶ τὰς προρρήσεις
ὡς ψευδεῖς, τὸ ὅσον ἐπ' αὐτοῖς, διαβάλλοντας, εἴγε αἱ
μὲν εἰς ἑβδομήκοντα ἑβδομάδας ἐτῶν τὸν πάντα περι-
ορίζουσι χρόνον, τὰ ἐν τῷ μεταξὺ συμβησόμενα θεσπί-
ζουσαι, αἱ δὲ σχεδὸν ἤδη χιλιοστοῦ ἔτους ἀπὸ τῆς d
προφητείας καὶ εἰς ἡμᾶς ἐλαύνοντος οὐδὲν τῶν γεγραμ-
μένων γεγονὸς ἐπιδείκνυνται, καίτοι ἐξολοθρευθέντος
αὐτῶν τοῦ χρίσματος, κατὰ τὴν θείαν πρόρρησιν, καὶ

[e] ἐλεγτέον S.

sunt: quo sane tempore etiam desolationis illius abominatio in templo constitit quæ quidem ad hunc usque diem permansit singulis diebus in deteriorem solitudinem corruens. Par autem est eam itidem usque ad vitæ consummationem duraturam, juxta terminum quem prophetia indicaverat illis verbis, *et usque ad consummationem temporis consummatio dabitur in solitudinem,* quam vocem Salvator ac Dominus noster Jesus Christus quasi signo impresso confirmavit dicens, *Quum autem videritis abominationem desolationis, quæ*
Matth. 24, 15. *dicta est per Danielem prophetam stantem in loco sancto, tunc scitote*
Luc. 21, 20. *quod appropinquavit desolatio ejus.* Quod si Judæi non credere se ista respondeant, arguendi sunt tanquam ii qui non solum impudenter rebus veris ac manifestis repugnent, sed etiam vaticinia sua ut falsa, quantum in ipsis est, calumnientur, si illa quidem in LXX annorum hebdomadas universum tempus includunt, dum quæ intermedio tempore eventura sunt divinant, ipsi vero quum jam ab ipsa prophetia usque ad nos prope millesimus agatur annus nihil eorum quæ scripta sunt factum esse demonstrant, tametsi ipsorum unctio, ut divinum prædixerat oraculum, deleta est, et sanctum eorundem

τοῦ ἁγιάσματος αὐτῶν, καὶ τῶν πρὶν οἰκητόρων δια-
φθαρέντων καὶ ἐκκοπέντων ἐν κατακλυσμῷ πολέμου
συντετμημένου ἀφανισμοῖς, καὶ τοῦ γε πάντων παρα-
δοξοτάτου εἰσέτι νῦν αὐτόθι ὁρωμένου, λέγω δὴ τοῦ
βδελύγματος τῆς ἐρημώσεως εἰς δεῦρο [f] ἑστῶτος ἐν τῷ
πρὶν ἁγίῳ τόπῳ, περὶ οὗ καὶ ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν
128 τὰς ἐκτεθείσας προήκατο φωνάς. Ὧν σαφῶς ὑπ' ὀφθαλ-
μοῖς ὁρωμένων ἡμῖν εἰσέτι νῦν, θαυμάσαι ἐστὶ τοὺς ἐκ p. 404
περιτομῆς οὐχ οὕτως ἀντιβλέπειν τοῖς ἐναργέσι τολμῶν-
τας, ὅσον ἀβλεπτοῦντας καὶ τὴν διάνοιαν ἐσκοτωμένους
πρὸς τὸ μὴ ὁρᾷν τὰ οὕτω σαφῆ καὶ ἐναργῆ τῶν θείων
129 γραφῶν ἀποτελέσματα. Ὃ καὶ πεπόνθασι κατὰ τὴν
εἰς αὐτοὺς πληρωθεῖσαν κἀν τούτῳ τοῦ Ἡσαΐου φωνὴν,
δι' ἧς ἐθέσπισεν αὐτοῖς, εἰπὼν, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ
συνῆτε, καὶ βλέποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη
γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως
ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν ἐκάμμυσαν, μήποτε b
ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ [g] τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ
καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ ἰάσωμαι αὐτούς.
130 Ἀλλ' ἐπεὶ καὶ περὶ τῶν πεπιστευκότων ἐθνῶν εἰς

[f] ἑστῶς (το supra) P. ut vulg. S. [g] τοῖς add. P. qui mox ἰάσομαι.

una cum prioribus incolis disperditum atque excisum in diluvio belli contracti internecionibus, et in eo loco adhuc cernitur id quod omnium admirationem superat: dico autem abominationem desolationis adhuc stare eo in loco qui antea sanctus erat, qua de re etiam Salvator ac Dominus noster exposita nuper verba enuntiavit. Quæ quidem res quum planissime sub oculos nobis subjectæ sint, atque etiam nunc cernantur, Judæos admirari operæ pretium est, non tam quod adversus ea quæ ita perspicua sunt intendere oculos audeant, quam quod ita caligent, eorumque mens ita involvatur tenebris, ut non videant ea, quæ tam clara tamque evidentia sunt divinarum scripturarum eventa, quod quidem eis secundum illam Esaiæ vocem, quæ in hoc quoque adversus illos completa est, accidit, ubi utitur illis verbis: *Auditu audietis, et non intelligetis: et intuentes intuebimini, et non videbitis. Crassum enim factum est cor populi hujus, et auribus suis graviter audierunt, et oculos suos clauserunt, ne quando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur,* Es. 6, 9.

τὸν Χριστὸν τοῦ Θεοῦ πάλαι πρότερον εἴρητο, οἷς οὐκ ἀνηγγέλη περὶ αὐτοῦ, ὄψονται, καὶ οἳ οὐκ ἀκηκόασι, συνήσουσιν, τῇ αὐτοῦ χάριτι καὶ τῇ τοῦ πέμψαντος αὐτὸν πατέρος, ἡμεῖς τε κατὰ τὸ δυνατὸν τὰ φανέντα εἰς τοὺς τόπους εἰρήκαμεν, καὶ τὰ τῷ πρὸ ἡμῶν Ἀφρικανῷ εὐγνωμόνως δόξαντα παρεθήκαμεν ἐχόμενα καὶ αὐτὰ ἀκριβείας, ὅθεν καὶ αὐτοῖς ὡς καλῶς ἔχουσι χρηστέον. c

ΑΠΟ ΤΟΥ [h] ΜΙΧΑΙΑ.

Σημεῖα χρόνων τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους καθόδου τάδε ἔσεσθαι ὁ προφήτης θεσπίζει, καθαίρεσιν παντελῆ τῶν παρὰ Ἰου-

3 Ἀκούσατε λαοὶ πάντες, καὶ προσεχέτω ἡ γῆ, καὶ πάντες d
οἱ ἐν αὐτῇ, καὶ ἔσται Κύριος [k] ἐν ὑμῖν εἰς μαρτύριον, Κύριος
ἐξ οἴκου ἁγίου αὐτοῦ. Διότι ἰδοὺ Κύριος [l] κύριος ἐκπορεύεται
ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται, καὶ [m] ἐπιβήσεται ἐπὶ
τὰ ὕψη τῆς γῆς. Καὶ [n] σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν
αὐτοῦ, καὶ αἱ κοιλάδες τακήσονται ὡς κηρὸς ἀπὸ προσώπου
πυρὸς, καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει. Δι' ἀσέ- p. 405
βειαν Ἰακὼβ πάντα ταῦτα, καὶ δι' ἁμαρτίαν οἴκου Ἰσραήλ.

2 Εἶτα μεθ' ἕτερα πλεῖστα μεταξὺ ἐπισυνάπτει λέγων,

Ἀκούσατε δὴ ταῦτα οἱ ἡγούμενοι οἴκου Ἰακὼβ, καὶ οἱ κατάλοιποι οἴκου Ἰσραὴλ, οἱ βδελυσσόμενοι κρίμα, καὶ πάντα

[h] μιχαίου S. [i] ἐν add. P. om. S. [k] κύριος add. P. [l] ἐπικείσεται] ἐπιβήσεται P. [m] σαλευθήσεται] σαλευθήσονται P. vid. infra p. 405 D 10.

et sanem eos. Sed quoniam de gentibus quæ in fidem Christi Dei venerunt olim prius dictum fuerat, *quibus nunciatum non est de illo, ii videbunt, et qui non audierunt, ii intelligent:* nos item illius atque ejus, qui misit illum, patris beneficio, pro viribus, quæ visa sunt dicenda in hos locos jam diximus, nec non quæ Africano superioris ætatis viro sunt visa, illi ipsi accepta referentes apposuimus, quæ ipsa quoque diligenter atque accurate excogitata sunt: quare illis ut bene inventis erit utendum.

Es. 52, 15.

A MICHÆA.

Mic. 1, 2. Signa hæc temporum descensus Domini ad homines futura canit propheta, extremum rituum atque instituto-

3 *Audite populi omnes, et attendat terra, et omnes qui in ea sunt, et erit Dominus vobis testimonium. Dominus de domo sancta sua: quoniam ecce Dominus egredietur de loco suo. Et descendet, et insistet super altitudines terræ. Et commovebuntur montes subter eo: et valles liquescent sicut cera a facie ignis, et sicut aqua quæ defertur in præceps. Propter impietatem Jacob omnia hæc, et propter peccatum domus Israel.* Deinde post alia plurima quæ in medio collocat, verba hæc adjungit: [Mic. 3, 9.] *Audite jam hæc duces domus Jacob, qui reliqui estis domus*

τὰ ὀρθὰ διαστρέφοντες, οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασι,
3 καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις. Οἱ ἡγούμενοι αὐτῆς μετὰ δώρων
ἔκρινον, καὶ οἱ ἱερεῖς αὐτῆς μετὰ μισθοῦ ἀπεκρίνοντο, καὶ οἱ
προφῆται αὐτῆς μετὰ ἀργυρίου ἐμαντεύοντο, καὶ ἐπὶ τὸν
Κύριον ἐπανεπαύοντο, λέγοντες, Οὐχὶ Κύριος ἐν ἡμῖν ἐστί; b
οὐ μὴ ἐπέλθῃ ἐφ' ἡμᾶς κακά. Διὰ τοῦτο δι' ὑμᾶς Σιὼν ὡς
ἀγρὸς ἀροτριαθήσεται, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον
4 ἔσται, καὶ τὸ ὄρος τοῦ [o] οἴκου εἰς ἄλσος δρυμοῦ. Καὶ ἔσται
ἐπ' ἐσχάτων τῶν ἡμερῶν ἐμφανὲς τὸ ὄρος Κυρίου, ἕτοιμον
ἐπὶ τὰς κορυφὰς τῶν ὀρέων, καὶ [p] μετεωρισθήσεται ὑπεράνω
τῶν βουνῶν, καὶ σπεύσουσιν ἐπ' αὐτὸ λαοὶ, καὶ πορεύσονται
ἔθνη πολλὰ, καὶ ἐροῦσι, δεῦτε καὶ ἀναβῶμεν εἰς τὸ ὄρος
Κυρίου, καὶ εἰς τὸν οἶκον τοῦ Θεοῦ Ἰακὼβ, καὶ δείξουσιν c
ἡμῖν τὴν ὁδὸν αὐτοῦ, καὶ πορευσόμεθα ἐν ταῖς τρίβοις αὐτοῦ.
Ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱε-
ρουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον πολλῶν ἐθνῶν, καὶ ἐλέγξει
5 ἔθνη ἰσχυρὰ ἕως εἰς γῆν μακράν. Καὶ συγκόψουσι τὰς
μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰ δόρατα αὐτῶν εἰς δρέ-
πανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ' ἔθνος μάχαιραν, καὶ οὐ
μὴ μάθωσιν ἔτι πολεμεῖν, καὶ ἀναπαύσεται ἕκαστος [q] ὑπο-
κάτω τῆς ἀμπέλου αὐτοῦ, καὶ ὑποκάτω συκῆς αὐτοῦ, καὶ οὐκ

δαίοις σεμνῶν [n] ἐθῶν, ἐπίγνωσιν τοῦ παρὰ τοῖς προφήταις καταγγελλομένου Θεοῦ, εἰρήνην βαθυτάτην πάντων τῶν ἐθνῶν.

[n] ἐθνῶν] ἐθῶν P. [o] οἴκου Κυρίου] Κυρίου om. P. habet S.
[p] μετεωριθήσεται S. [q] ὑποκάτω—αὐτοῦ καὶ om. S.

Israel, qui abominamini judicium, et omnia recta pervertitis, qui ædificatis Sion in sanguinibus, et Hierusalem in injustitiis. Duces ejus cum muneribus judicabant, et sacerdotes ejus cum mercede respondebant, et prophetæ ejus cum argento divinabant, et super Dominum requiescebant, dicentes, Nonne Dominus in nobis est? non venient super nos mala. Idcirco propter vos Sion ut ager arabitur, et Hierusalem ut pomorum custodia erit, et mons domus Domini in lucum sylvæ: et erit in novissimis diebus manifestus mons Domini, paratus super vertices montium, et extolletur super colles, et festinabunt ad eum populi, et ibunt gentes multæ et dicent, venite ascendamus in montem Domini et in domum Dei Jacob: et ostendent nobis viam ejus, et ambulabimus in semitis ejus: nam ex Sion exibit lex, et verbum Domini de Hierusalem, et judicabit inter multas gentes, et redarguet gentes fortes usque ad terram longinquam. Et concident gladios suos in vomeres, et hastas suas in falces: et non arripiet ultra gens contra gentem gladium, et non discent amplius bella gerere. Et quiescet unusquisque sub vite sua, et sub ficu

rum, quæ apud Judæos cum veneratione servabantur, interitum, agnitionem ejus Dei qui a prophetis denuntiabatur, pacem omnium gentium profundissimam.

ἔσται ὁ ἐκφοβῶν αὐτούς, ὅτι τὸ στόμα Κυρίου [r]παντοκρά-
τορος ἐλάλησε ταῦτα.
6 Ἤδη καὶ πρότερον ταῦτα ἡμῖν εἰς τοὺς τόπους τεθε-
ώρηται. Δέδεικται δὲ ὅπως οὐδ' ἄλλοτέ ποτε ἢ ἀπὸ d
τῶν χρόνων τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰς ἀν-
θρώπους ἐπιφανείας τὰ πάλαι σεμνὰ τῶν Ἰουδαίων, ὄρη
Σιὼν ἐπικαλούμενα καὶ Ἱερουσαλὴμ, τά τε ἐπὶ τούτων
οἰκοδομήματα, ὁ νεὼς δηλαδὴ καὶ τὸ ἅγιον τῶν ἁγίων
καὶ τὸ θυσιαστήριον καὶ ὅσα ἄλλα αὐτόθι εἰς τιμὴν
ἀνέκειτο τοῦ Θεοῦ ἐκ μέσου ἀρθέντα σεσάλευται, ἀκο-
λούθως τῷ λόγῳ φήσαντι, ἰδοὺ Κύριος Κύριος ἐκπορεύεται
ἐκ τοῦ τόπου αὐτοῦ, καὶ καταβήσεται ἐπὶ τὰ ὕψη τῆς γῆς,
7 καὶ σαλευθήσονται τὰ ὄρη ὑποκάτωθεν αὐτοῦ. Ὧν σαλευ-
θέντων, τῶν ἐκ περιτομῆς αἱ ψυχαὶ, κοιλάδες ὀνομαζό-
μεναι διὰ τὸ ταπεινὸν αὐτῶν παραθέσει τῶν παλαιῶν
ὑψωμάτων, [s]τὸν τῶν προειρημένων ἀφανισμὸν ἀπολο-
φυρόμεναι, ὡς κηρὸς ἀπὸ προσώπου πυρὸς ἐκτακήσονται, p. 406
καὶ ὡς ὕδωρ καταφερόμενον ἐν καταβάσει, διὰ τὸ πλῆ-
θος τῶν ἐν αὐταῖς ἀπὸ τῶν κρειττόνων ἐπὶ τὰ χείρω

[r] παντοκράτορον S. [s] τὸν τῶν] τούτων S.

sua, et non erit qui deterreat eos: quoniam os Domini omnipotentis locutum est hæc. Jam antea hæc suo loco nos contemplati sumus: ubi ostendimus quemadmodum non alias quam post adventum Salvatoris nostri Jesu Christi ad homines, quæ olim apud Judæos dignitatem venerationemque habebant, montesque Sion et Hierusalem vocabantur, quæque in iis ædificia erant, templum videlicet sanctumque sanctorum, atque altare, atque alia quæcunque ibidem in Dei honorem dedicata fuerant, de medio sublata concussaque sunt, sicut oraculum illud prædixerat, *Ecce Dominus Dominus egredietur de loco suo, et descendet super altitudines terræ, et concutientur montes subter eo,* quibus concussis Judæorum animæ, quæ valles nominantur ob ipsarum humilitatem dum priscis altitudinibus conferuntur, eorum quæ nuper dicta sunt interitum deplorantes tanquam cera a facie ignis liquescent, et quasi aqua quæ defertur in præceps, propter multitudinem eorum qui in illis quotidie a melioribus ad deteriora labuntur: et omnia hæc ait futura propter impietatem domus Jacob et propter peccatum domus Israel. Quænam vero sit hæc impietas et

8 καταπιπτόντων ὀσημέραι. Πάντα δὲ ταῦτά φησιν ἔσε-
σθαι δι' ἀσέβειαν οἴκου Ἰακὼβ, καὶ δι' ἁμαρτίαν οἴκου
Ἰσραήλ. Τίς δ' ἦν ἡ ἀσέβεια καὶ ἡ ἁμαρτία προϊὼν
ἑξῆς ἐπιλέγει, οἱ βδελυσσόμενοι κρίμα, καὶ πάντα τὰ ὀρθὰ
διαστρέφοντες, οἱ οἰκοδομοῦντες Σιὼν ἐν αἵμασιν, καὶ Ἱε-
ρουσαλὴμ ἐν ἀδικίαις, ἐν οἷς αἵμασι κἀκεῖνο ἦν τὸ τῶν
ὑστάτων κακῶν παραίτιον αὐτοῖς γενόμενον, ἐφ' ᾧ τὴν
ἀσεβῆ φωνὴν εἰς ἑαυτοὺς ἐπεσπάσαντο, φήσαντές, τὸ b
9 αἷμα αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐπὶ τὰ τέκνα ἡμῶν. Διὰ γοῦν
φησὶν αὐτὰ ταῦτα, ὡς ἀγρὸς Σιὼν ἀροτριαθήσεται, καὶ
Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον ἔσται, ἅπερ οὐδ' ἄλλοτε
πώποτε ἢ μετὰ τὰ κατὰ τοῦ Σωτῆρος ἡμῶν τετολμημένα
10 ἀληθῆ τὴν ἔκβασιν εἴληχεν. Ἐξ ἐκείνου γάρ τοι καὶ
εἰς δεῦρο ἐσχάτης ἐρημίας καταλαβούσης τοὺς τόπους,
τὸ μὲν πρὶν διαβόητον αὐτῶν Σιὼν ὄρος, ἀντὶ τῆς πάλαι
ἐν αὐτῷ μελέτης καὶ ἀσκήσεως τῶν προφητικῶν καὶ
θείων λόγων, ὧν παῖδες τὸ πρὶν Ἑβραίων καὶ θεοφιλεῖς c
προφῆται ἱερεῖς τε καὶ διδάσκαλοι τοῦ παντὸς ἔθνους ἐν
[t] αὐτῇ διὰ σπουδῆς ἐποιοῦντο, διὰ Ῥωμαίων ἀνδρῶν κατ'
οὐδὲν τῆς λοιπῆς διαφέρουσα χώρας γεωργεῖται, ὡς καὶ

[t] αὐτῇ] αὐτῷ S.

quod peccatum progressus longius adjungit: *Qui abominamini,* inquit, *judicium, et omnia recta pervertitis, qui ædificatis Sion in sanguinibus, et Hierusalem in injustitiis,* in quibus sanguinibus etiam ille fuit, qui illis extremorum malorum initium causamque præbuit, propter quem impiam illam vocem contra seipsos emiserunt, dicentes, *Sanguis ejus super nos et super filios nostros.* Itaque propter ipsa Matth. 27, 25. hæc, inquit, *Sion quasi ager arabitur, et Hierusalem quasi pomorum custodia erit:* quæ quidem nullo unquam alio tempore, quam post illa quæ contra Salvatorem nostrum ausi sunt, verum exitum accepere. Ex illo enim ad hunc usque diem, locis illis extrema solitudine occupatis, mons Sion qui apud illos antea celeberrimus erat, loco antiquæ illius meditationis atque exercitationis quæ in illo vigebat propheticorum divinorumque oraculorum, quæ antea viri Hebræi Deique familiares prophetæ sacerdotesque et magistri totius gentis in eodem magno cum studio reddebant, per viros Romanos in nulla re a reliqua regione differens aratur et colitur, ut nos quoque ipsi

ἡμᾶς αὐτοὺς ὀφθαλμοῖς παραλαβεῖν βουσὶν ἀρούμενον,
καὶ κατασπειρόμενον τὸν τόπον· ἡ δὲ Ἱερουσαλὴμ αὐτὴ
ὡς ὀπωροφυλάκιον τῆς ἐν αὐτῇ παλαιᾶς ὀπώρας δια-
φθαρείσης γέγονε, μᾶλλον δὲ εἰς λιθολογίαν, κατὰ τὴν
11 Ἑβραϊκὴν ἀνάγνωσιν. Ὁ γοῦν Ἀκύλας φησὶ, *διὰ
τοῦτο χάριν ὑμῶν Σιὼν χώρα ἀροτριαθήσεται, καὶ Ἱερουσα-* d
λὴμ λιθολογηθήσεται, ὑπὸ γὰρ ἀλλοφύλων ἀνδρῶν κατ-
οικισθεῖσα εἰσέτι καὶ σήμερον λιθολογεῖται, πάντων καθ'
ἡμᾶς αὐτοὺς τῶν τὴν πόλιν οἰκούντων τοὺς ἀπὸ τῆς
πτώσεως αὐτῆς λίθους ἀναλεγομένων εἴς τε τὰ ἴδια καὶ
12 κοινὰ καὶ δημόσια οἰκοδομήματα. Καὶ ἔστιν ὀφθαλμοῖς
παραλαβεῖν σκυθρωπὸν θέαμα, τοὺς ἐξ αὐτοῦ [u]τοῦ ἱεροῦ
καὶ αὐτῶν τῶν πάλαι ἀδύτων καὶ ἁγίων λίθους εἰς τὰ
τῶν εἰδώλων τεμένη εἴς τε τὰ τῶν πανδήμων [x]θεαμάτων
κατασκευάσματα ἀπειλημμένους· ὧν οὕτως ἐναργῶς τοῖς
πᾶσιν ὁρωμένων, καὶ ὁ καινὸς νόμος καὶ λόγος ὁ τῆς
καινῆς τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ τοῦ Χριστοῦ διαθήκης
13 ἐκεῖθέν ποθεν προελθὼν δῆλος ἂν εἴη. Ἐφ' ᾧ μυρία p. 407
πλήθη λαῶν, ἔθνη τε παντοῖα τῶν πατρίων ἀποστάντα
Θεῶν καὶ τῆς παλαιᾶς δεισιδαίμονος πλάνης, τὸν ἐπὶ

[u] τοῦ om. S. [x] θαυμάτων S.

inspexerimus boum opera locum et arari et seminari. Ipsa vero Hierusalem tanquam pomorum custodia, corrupto vetere qui in ipsa erat fructu, effecta est, ac potius lapidum collectio, sicut in contextu Hebraico legitur. Sic enim Aquila convertit, *Idcirco propter vos Sion terra arabitur et de Hierusalem lapides colligentur*. Ab externis enim hominibus habitata hodie quoque lapides legentibus præbet, quum omnes qui nostris temporibus eam urbem incolunt ruinæ illius lapides colligant tam de privatis, quam de communibus et publicis ædificiis: et licet oculis tristissimum spectaculum intueri, ex ipso templo et ex ipsis quondam adytis, et ex iis quæ sancta vocabantur, lapides pro simulachrorum fanis, proque spectaculis, quo omnes populi concurrant, ædificandis assumi, quæ quum adeo evidenter ab omnibus cernantur, quod nova item lex, quodque novum novi a Salvatore nostro Jesu Christo conditi testamenti verbum illinc omnino profectum sit, sane constiterit. Quandoquidem innumerabiles populorum conventus, omnisque generis nationes, relictis diis ipsorum

14 πάντων Θεὸν ἀνακαλεῖται. Διὸ καὶ κατηξίωται τῆς
βαθυτάτης εἰρήνης, ὡς μηκέτι πολυαρχίας εἶναι μὴ δὲ
βασιλείας κατὰ τόπους, μὴ δὲ ἔθνος ἐπ' ἔθνος ῥομφαίαν
[y]αἴρειν, μὴ δ', ὡς τὸ πρὶν, πολέμοις τοῖς κατ' ἀλλήλων
σχολάζειν, ἀναπαύεσθαι δὲ τῶν γεωργῶν ἕκαστον ὑποκάτω
ἀμπέλου, καὶ ὑποκάτω συκῆς αὑτοῦ, μηδενὸς ἐκφοβοῦντος
15 αὐτοὺς, κατὰ τὴν προφητείαν. Ὧν οὕτως οὐδ' ἄλλοτέ b
πω ἐξ αἰῶνος πρότερον ἢ κατὰ τὴν τῶν Ῥωμαίων ἐπι-
κράτησιν ἀπὸ τῶν χρόνων τῆς ἐπιφανείας τοῦ Σωτῆρος
ἡμῶν καὶ εἰς δεῦρο [z]συντελουμένων, ἀναμφίλεκτον ἡγοῦ-
μαι τὴν ἀπόδειξιν εἰληφέναι τὸν χρόνον τῆς θεσπιζο-
μένης εἰς ἀνθρώπους τοῦ Κυρίου παρουσίας.

ΑΠΟ ΤΟΥ ΖΑΧΑΡΙΟΥ.

4 Τέρπου καὶ εὐφραίνου, θύγατερ Σιὼν, διότι ἰδοὺ ἐγὼ ἔρ- c
χομαι, καὶ κατασκηνώσω ἐν μέσῳ σου, λέγει Κύριος, καὶ
καταφεύξονται ἔθνη πολλὰ ἐπὶ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, καὶ ἔσονται αὐτῷ εἰς λαὸν, καὶ κατασκηνώσουσιν ἐν
μέσῳ σου, καὶ ἐπιγνώσῃ ὅτι Κύριος παντοκράτωρ ἐξαπέ-
σταλκέ με πρός σε.

2 Καὶ μεθ' ἕτερα πλεῖστα μεταξὺ ἐπιλέγει,

Σημεῖα χρόνων τῆς τοῦ Θεοῦ Λόγου εἰς ἀνθρώπους παρουσίας, κλῆσίς

y αἱρεῖν] αἴρειν P. z συν τελουμένων P.

patriis, relictoque vetere superstitionis errore, unum supremum Deum invocant: quare etiam profundissimæ pacis compotes evaserunt, quando non amplius multiplices principatus, neque regna per loca cernuntur, *neque gens adversus gentem gladium sumit, neque ut antea mutuis inter se bellis student, sed agricola omnis sub vite et sub ficu sua quiescit, nemine illos exterrente,* sicut prophetia prædixerat. Quæ quum sic nunquam alias ante a condito ævo, nisi post adventum Salvatoris nostri, Romanis imperium obtinentibus, ad hunc usque diem contigerint, indubitata demonstratione ostensum esse arbitror ejus, quem prophetæ canebant, Domini adventus ad homines tempus.

A ZACHARIA.

4 *Gaude et lætare, filia Sion, quia ecce ego venio, et habitabo in medio tui, dicit Dominus. Et confugient gentes multæ ad Dominum in die illa, et erunt ei in populum. Et habitabunt in medio tui: et cognosces quod Dominus omnipotens misit me ad te.* Et post alia plurima quæ

Zach. 2, 10. Signa temporum Dei ad homines adventus, et vocatio gentium, extremaque urbis Hierusalem eversio.

τε ἐθνῶν, ὑστάτη τε καθαίρεσις τῆς Ἱερουσαλήμ.

Χαῖρε σφόδρα, θύγατερ Σιών, κήρυσσε, θύγατερ Ἱερουσαλήμ. d Ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραῒμ, καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν. Καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν δι' ἐκβολὰς γῆς.

3 Ταῦτα περὶ τῆς τοῦ Σωτῆρος ἡμῶν παρουσίας θεσπίσας καὶ νῦν ὁ λόγος, μεθ' ἕτερα περὶ τῆς ἐσχάτης ἐρημώσεως τῆς Ἱερουσαλὴμ, τοτὲ μὲν ἐπικεκρυμμένως καὶ δι' αἰνιγμάτων, τοτὲ δὲ [a] ἀκαλύπτως ἀναφωνεῖ· δι' αἰνιγμάτων μὲν ἐν οἷς φησὶ,

Διάνοιξον ὁ Λίβανος τὰς πύλας σου, καὶ καταφαγέτω p. 408 πῦρ τὰς κέδρους σου. Ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, διότι μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος. Φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν· φωνὴ ὠρυομένων λεόντων, ὅτι τεταλαιπώρηκε τὸ φρύαγμα τοῦ Ἰορδάνου.

4 Ταῦτα μὲν δι' αἰνιγμάτων. Τὴν δὲ τούτων ἑρμηνείαν ἀνακαλύπτως ὁ αὐτὸς προφήτης ἐπιφέρει λέγων,

[a] ἀκαλύπτως] ἀνακαλύπτως infra p. 408 A 10.

Zach. 9, 9. in medio ponit, adjungit: *Gaude vehementer, filia Sion. Prædica, filia Hierusalem: ecce rex tuus venit tibi justus et Salvator, ipse mansuetus et impositus super jumentum et pullum adolescentem. Et perdet currus ex Ephræm, et equum ex Hierusalem: et perdetur arcus bellicus, et abundantia pacis ex gentibus. Et principatum obtinebit a mari usque ad mare, et a fluminibus per ejectiones terræ.* Hæc ubi de Salvatoris nostri adventu hoc item loco oraculum cecinit, tum post alia quæ interponit, etiam de extrema Hierusalem desolatione, nunc occulte ac per obscuros sermones, nunc explicite atque aperte verba facit,

Zach. 11, 1. obscure quidem ac figurate ubi ait, *Aperi Libane portas tuas, et comedat ignis cedros tuas. Ululet pinus, quoniam cecidit cedrus, quoniam magnopere magnifici afflicti sunt. Ululate quercus Basanitidis, quoniam convulsus est saltus consitus. Vox lamentantium pastorum, quoniam afflicta est magnificentia eorum. Vox rugientium leonum, quoniam afflicta est superbia Jordanis.* Et hæc quidem per ænigmata: sed eorum interpretationem aperte idem propheta adjungit, dicens,

Ἰδοὺ ἐγὼ τίθημι τὴν Ἱερουσαλὴμ ὡς πρόπυλα σαλευόμενα b ἅπασι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ Ἰουδαίᾳ, καὶ ἔσται περιοχὴ ἐπὶ Ἱερουσαλήμ. Καὶ ἔσται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, θήσομαι τὴν Ἱερουσαλὴμ λίθον καταπατούμενον πᾶσι τοῖς ἔθνεσι. Πᾶς ὁ καταπατῶν αὐτὴν ἐμπαίζων ἐμπαίξεται, καὶ ἐπισυναχθήσονται ἐπ' αὐτὴν πάντα τὰ ἔθνη τῆς γῆς.

5 Καὶ μετὰ βραχέα ἐπιλέγει,

Καὶ ἐπιβλέψονται πρός με [b]εἰς ὃν ἐξεκέντησαν, ἀνθ' ὧν κατωρχήσαντο, καὶ κόψονται ἐπ' αὐτὸν κοπετὸν ὡς ἐπ' ἀγαπητῷ, καὶ ὀδύνην ὡς ἐπὶ πρωτοτόκῳ. [c]Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ μεγαλυνθήσεται ὁ κοπετὸς Ἱερουσαλὴμ, ὡς κοπετὸς Ῥοῶνος c ἐν πεδίῳ ἐκκοπτομένου· καὶ κόψεται ἡ γῆ κατὰ φυλὰς, φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Νάθαν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ οἴκου Λευὶ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς· φυλὴ τοῦ Συμεὼν καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν [d]καθ' ἑαυτάς· πᾶσαι αἱ ὑπολελειμμέναι φυλαὶ, [e]φυλὴ καθ' ἑαυτὴν, καὶ αἱ γυναῖκες αὐτῶν καθ' ἑαυτάς.

6 Καὶ πάλιν μεθ' ἕτερα τὴν ἐσχάτην τῆς Ἱερουσαλὴμ d πολιορκίαν σαφέστερον κηρύττει, λέγων,

Ἰδοὺ ἡμέραι ἔρχονται τοῦ Κυρίου, καὶ διαμερισθήσονται

[b] εἰς ὃν ἐ. add. S. [c] Ἐν om. S. [d] μεθ' S. [e] φυλὴ om. S.

Ecce ego pono Hierusalem ut vestibula quæ quatiuntur omnibus populis in circuitu, et in Judæa: et erit ambitus in circuitu contra Hierusalem. Et erit in die illa, ponam Hierusalem lapidem, qui conculcetur ab omnibus gentibus. Omnis qui conculcet eam, illudens illudetur: et congregabuntur super eam omnes gentes terræ. Et post pauca adjungit, *Et respicient ad me, quem confixerunt, propterea quod insultaverunt: et plangent super eo planctum, ut super dilecto, et dolore, ut super primogenito. In die illa magnificabitur planctus Hierusalem, ut planctus Rhoonos in campo ejus qui exciditur. Et planget terra tributim: tribus domus David seorsum, et mulieres eorum seorsum: tribus domus Nathan seorsum, et mulieres eorum seorsum: tribus domus Levi seorsum, et mulieres eorum seorsum: tribus Simeon seorsum, et mulieres eorum seorsum: omnes reliquæ tribus, tribus seorsum, et mulieres eorum seorsum.* Rursus post alia, extremam urbis Hierusalem obsidionem planius enuntiat, dicens, *Ecce dies veniunt Do-*

Zach. 12, 2.
Zach. 12, 10.
Zach. 14, 1.

τὰ σκῦλά σου ἔν σοι, καὶ ἐπισυνάξω πάντα τὰ ἔθνη ἐπὶ Ἱερουσαλὴμ εἰς πόλεμον, καὶ ἁλώσεται ἡ πόλις, καὶ διαρπαγήσονται αἱ οἰκίαι, [f]καὶ αἱ γυναῖκες μολυνθήσονται, καὶ ἐξελεύσεται τὸ ἥμισυ τῆς πόλεως ἐν αἰχμαλωσίᾳ, οἱ δὲ κατάλοιποι τοῦ λαοῦ μου οὐ μὴ ἐξολοθρευθῶσιν ἐκ τῆς πόλεως. Καὶ ἐξελεύσεται Κύριος, καὶ παρατάξεται ἐν τοῖς ἔθνεσιν ἐκείνοις, καθὼς ἡμέρα παρατάξεως αὐτοῦ ἐν ἡμέρᾳ παρατάξεως αὐτοῦ, ἐν ἡμέρᾳ πολέμου, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν τὸ κατέναντι Ἱερουσαλήμ.

7 Εἶτα μεθ' ἕτερα τὰ μεταξύ φησιν,

Καὶ ἔσται Κύριος εἷς, καὶ τὸ ὄνομα αὐτοῦ [g]ἓν, κυκλοῦν πᾶσαν τὴν γῆν, καὶ τὴν ἔρημον.

8 Καὶ αὖθις μεθ' ἕτερα, περιγράφων τὴν βίβλον τῆς p. 409 προφητείας, τὴν κλῆσιν τῶν ἐθνῶν διὰ τούτων θεσπίζει,

Καὶ ἔσται ὅσοι ἐὰν καταλειφθῶσιν ἐκ πάντων τῶν ἐθνῶν τῶν ἐλθόντων ἐπὶ Ἱερουσαλὴμ, καὶ ἀναβήσονται κατ' ἐνιαυτὸν, [h]τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι, καὶ τοῦ ἑορτάζειν τὴν ἑορτὴν τῆς σκηνοπηγίας. Καὶ ἔσται, ὅσοι ἐὰν μὴ ἀναβῶσιν ἐκ πασῶν τῶν φυλῶν τῆς γῆς εἰς Ἱερουσαλὴμ τοῦ προσκυνῆσαι τῷ βασιλεῖ Κυρίῳ παντοκράτορι, καὶ οὗτοι ἐκείνοις προστεθήσονται. Ἐὰν δὲ φυλὴ Αἰγύπτου μὴ

[f] καὶ] καὶ αἱ S. [g] ἓν κυκλοῦν] ἐγκυκλοῦν P. vid. infra p. 412 B 4. ut vulg. S. [h] τοῦ om. P.

mini, et dividentur spolia tua in te, et congregabo omnes gentes ad Hierusalem in bellum, et capietur civitas, et diripientur domus, et mulieres polluentur, et egredietur dimidium civitatis in captivitatem: reliqui autem de populo meo non peribunt de civitate, et egredietur Dominus, et comparabitur ad prælium in gentibus illis, sicut dies prælii ejus, in die belli, et stabunt pedes ejus in die illa in monte Olivarum quod est contra Hierusalem. Deinde post alia quæ in medio ponit,
Zach. 14, 9. hæc ait, *Et erit Dominus unus, et nomen ejus unum complectens*
Zach. 14, 16. *omnem terram et desertum.* Rursus post alia, dum prophetiæ libro terminum ponit, vocationem gentium his verbis divinat: *Et erit, quicunque relicti fuerint ex omnibus gentibus, quæ venerint in Hierusalem, et ascendent singulis annis, ut adorent regem Dominum omnipotentem, et celebrent diem festum tabernaculorum. Et erit, quicunque non ascenderint ex omnibus tribubus terræ in Hierusalem ut adorent regem Dominum omnipotentem, etiam hi illis addentur. Si autem*

ἀναβῇ, μὴ δὲ ἔλθῃ ἐκεῖ, καὶ ἐπὶ [i]τούτους ἔσται ἡ πτῶσις, ἣν b πατάξει Κύριος πάντα τὰ ἔθνη τῆς γῆς, ὅσα ἐὰν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας. Αὕτη ἔσται ἡ ἁμαρτία Αἰγύπτου καὶ ἡ ἁμαρτία πάντων τῶν ἐθνῶν, ὅσα ἂν μὴ ἀναβῇ τοῦ ἑορτάσαι τὴν ἑορτὴν τῆς σκηνοπηγίας.

9 Ταῦτα καὶ ὁ Ζαχαρίας μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον, Δαρείου Περσῶν βασιλεύοντος, προφητεύει, τῆς Ἱερουσαλὴμ ἄρτι τότε ἀνεγηγερμένης ἐκ τῆς προτέρας ἐρημίας, ἣν ὑπὸ Βαβυλωνίων πέπονθε. Συνάγεται δὲ ὁ πᾶς χρόνος ἀπὸ τῆς Δαρείου τοῦ Πέρσου ([k]βασι- c λείας), [l]καθ' ἣν ὁ Ζαχαρίας προφητεύει, καὶ ἐπὶ Αὔγουστον Ῥωμαίων βασιλέα, εἰς ἐτῶν ἑβδομάδας ἑπτὰ καὶ ἑξήκοντα δύο τὰς ἐν τῷ Δανιὴλ φερομένας, ἃ γίνεται ἔτη τετρακόσια ὀγδοήκοντα τρία, ὡς ἀπεδείξα-
10 μεν ἐν τοῖς μικρῷ πρόσθεν γεγυμνασμένοις. Οὔτε δὲ ἐπὶ [m]τῆς Μακεδόνων ἀπὸ Ἀλεξάνδρου καὶ μέχρις Αὐγούστου [n]παραταθείσης τῶν ἐμφερομένων τοῖς τοῦ

[i] τούτων] τούτους P. [k] Adde βασιλείας post Πέρσου. ED. PARIS. ἀπὸ τῆς βασιλείας S. in marg. exadversum B 10. [l] καθ' ἣν—προφητεύει] Hæc verba desunt h. l. in ed. Steph. et mss. leguntur tamen in iisdem paullo infra post γεγυμνασμένοις. Posuisse hoc loco videtur editor Parisinus ex sententia interpretis Latini. [m] τῆς om. P. [n] παρατεθείσης S. et mox ἐμφαιρομένων.

tribus Ægypti non ascenderit, neque venerit illuc, etiam super his erit ruina, qua percutiet Dominus omnes gentes terræ, quæcunque non ascenderint ad celebrandum solenne tabernaculorum. Hoc erit peccatum Ægypti, et peccatum omnium gentium, quæcunque non ascenderint ad celebrandum diem festum tabernaculorum. Hæc sane Zacharias post reditum de Babylone, Dario apud Persas regnante, vaticinatur, quo tempore urbs Hierusalem a priore desolatione excitata instaurataque nuper fuerat, quæ desolatio illi a Babyloniis fuerat illata. Colligit autem omne tempus a Dario Persarum, sub quo Zacharias prophetiæ munere fungitur, ad Augustum Romanorum regem, annorum hebdomadas septem et sexaginta duas, quæ apud Danielem feruntur: quæ summa annorum efficitur quadringentorum octoginta trium, ut ostendimus in iis quæ paulo ante a nobis tractata sunt. Cæterum post imperium Macedonum ab Alexandro usque ad Augustum, etiam si ipsius Augusti regnum complectare, nihil sane quod prophetæ verbis

11 προφήτου λόγοις συνίσταταί τι πεπληρωμένον. Πότε γὰρ κατ' ἐκείνους τοὺς χρόνους τοῦ παρὰ τοῖς προφήταις θεολογουμένου Κυρίου ἀνθρώποις ἐπιστάντος, ἔθνη πολ- d λὰ ἐπιγνόντα αὐτὸν, καὶ μόνον Θεὸν αὐτὸν ὁμολογήσαντα, ἐπ' αὐτὸν καταπέφευγε, καὶ γέγονεν αὐτῷ εἰς λαόν; [o]ἢ πότε κατὰ τοὺς Περσῶν ἢ Μακεδόνων χρόνους ὁ προφητευόμενος βασιλεὺς ἐλήλυθεν, ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον, καὶ πῶλον νέον; ἐλθών τε τοῦ Ἰουδαίων ἔθνους Ἐφραῒμ ὀνομαζομένου καὶ τῆς Ἱερουσαλὴμ αὐτῆς τὴν βασιλικὴν παράταξιν, ἅρματα καὶ ἵππον ἐπικαλουμένην, ἐξολόθρευσε, τό τε ὁπλιτικὸν τοῦ Ἰουδαίων ἔθνους καθεῖλε; τοῦτο γὰρ ἐδήλου τὸ λόγιον φάσκον, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον, καὶ ἐξολο-
12 θρευθήσεται τόξον πολεμικόν. Ταῦτα γὰρ περὶ τῆς καθ- p. 410 αιρέσεως τῆς βασιλικῆς ἀξίας τοῦ Ἰουδαίων ἔθνους ἐθεσπίζετο, ἐφ' ᾗ πάλιν τὰ τῆς τῶν ἐθνῶν εἰρήνης συμφώνως τοῖς πρόσθεν ἀποδεδομένοις ἐπιλέγεται, διὰ τοῦ,
13 καὶ πλῆθος εἰρήνης ἐξ ἐθνῶν. Ἀνθ' οὗ ὁ Ἀκύλας καὶ οἱ

[o] ἢ πότε] ἢ om. ed. Par.

concordet, aut simile sit, invenias esse completum. Quando enim per illa tempora is Dominus, quem prophetæ ut Deum celebrant, cum hominibus versatus est, et gentes multæ illum agnoverunt, eundemque solum Deum confessæ sunt, et ad ipsum confugientes factæ sunt ei in populum? vel quando tandem toto Persarum aut Macedonum tempore is rex, de quo propheta loquitur, *venit impositus jumento et pullo adolescenti?* et veniens Judaicæ gentis, quæ Ephræm hoc loco dicitur, et ipsius Hierusalem regiam aciem, quæ curruum atque equi vocabulo nominatur, perdidit, et armatas Judaicæ gentis copias delevit? Hoc enim significabat oraculum illud dicens, *Ecce rex tuus venit tibi justus et salvator, ipse mansuetus et impositus super jumentum et pullum adoleseentem: et perdetur arcus bellicus.* Hæc de eversione regiæ dignitatis Judaicæ gentis prædicta sunt, qua prædicta eversione, rursus ea quæ ad pacem gentium pertinent, consentanea iis quæ prius exposita sunt, adjunguntur hoc modo, *Et abundantia pacis ex gentibus,* pro quo Aquila et reliqui interpretes reddiderunt, *et loquetur pacem gentibus,* quod quidem maxime ab Augusti

λοιποὶ ἑρμηνευταὶ ἐκδεδώκασι, καὶ λαλήσει εἰρήνην τοῖς
ἔθνεσιν, ὃ καὶ μάλιστα ἀπὸ τῆς Αὐγούστου βασιλείας
συνίσταται καὶ πρὸς λέξιν πεπληρωμένον, πάσης μὲν
ἐξ ἐκείνου καταλυθείσης πολυαρχίας, εἰρήνης δὲ τὰ
14 πλεῖστα τῆς οἰκουμένης ἔθνη διαλαβούσης. Τίς δὲ πρὸ
τῶν Ῥωμαϊκῶν χρόνων ἐπὶ τῶν Περσικῶν ἢ τῶν Μα-
κεδονικῶν τοιοῦτος γέγονεν Ἰουδαίων βασιλεύς, ὡς ἄρξαι b
αὐτὸν ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν
ἕως περάτων τῆς οἰκουμένης; Τοῦτο γοῦν ἐδήλωσαν οἱ
λοιποὶ ἑρμηνευταί. Ὁ γοῦν Ἀκύλας φησί, *καὶ λαλήσει
εἰρήνην τοῖς ἔθνεσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἀπὸ θαλάσσης* [p] *ἕως
θαλάσσης, καὶ ἀπὸ ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης.*
15 Ὧι συνᾴδει καὶ τὸ ἐν ἑβδομηκοστῷ πρώτῳ Ψαλμῷ περὶ
τοῦ ἐκ σπέρματος Σολόμωνος γενησομένου Χριστοῦ
ὧδέ πῃ εἰρημένον, *ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιο-
σύνη, καὶ πλῆθος εἰρήνης, ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη, καὶ* c
*κατακυριεύσει ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ
ποταμοῦ ἕως περάτων τῆς οἰκουμένης·* ταῦτα γὰρ περὶ
τοῦ υἱοῦ Σολόμωνος ἐλέγετο οὐδὲν λειπόμενα τῶν ἐν
16 τῷ προφήτῃ εἰρημένων. Πότ᾽ οὖν ταῦτα, καὶ πῶς, ἢ

p ἕως θαλάσσης add. P.

imperio constat vel ad verbum esse completum, quum ex illo omnis quidem principum multitudo disperierit, pax autem plurimas orbis gentes complexa sit. Quis porro ante Romana tempora vel Persico vel Macedonico stante imperio talis extitit rex Judæorum, ut dominatus sit a mari usque ad mare, et a fluminibus usque ad terminos orbis terræ? Itaque hoc significarunt reliqui interpretes. Aquila enim sic ait, *Et loquetur pacem gentibus, et potestas ejus a mari usque ad mare, et a fluminibus usque ad terminos orbis terræ.* Cui concordat etiam illud quod in LXXI Psalmo de Christo canitur, qui erat de semine Solomonis oriturus, quod quidem in hunc modum se habet: *Orietur in diebus ejus justitia, et abundantia pacis donec auferatur luna,* Ps. 71, 7. *et dominabitur a mari usque ad mare, et a flumine usque ad terminos orbis terræ.* Hæc enim de filio Solomonis dicta sunt quæ nihil differunt ab iis, quæ apud prophetam leguntur. Quando igitur hæc, vel quomodo, aut quibus tandem temporibus extiterint, si quis est qui possit, interpretetur. Aut quonam alio tempore post Babylo-

κατὰ ποίους χρόνους γέγονεν, ὁ βουλόμενος ἑρμηνευέτω,
ἢ πότε ἄλλοτε μετὰ τὴν ὑπὸ Βαβυλωνίοις πολιορκίαν
δεύτερον ἐμπρησμὸν ὑπέμεινεν Ἱερουσαλὴμ, καὶ ὁ ἐν
17 αὐτῇ κατερρίφη νεώς. Ὃ καὶ αὐτὸ θαῦμα μέγα ἔχει, 10 d
ὡς ᾐνίξατο ὁ προφήτης εἰπὼν, *διάνοιξον ὁ Λίβανος τὰς
θύρας σου, καὶ καταφαγέτω πῦρ τὰς κέδρους σου.* Λίβα-
νον γὰρ ἐν τούτοις συνήθως αὐτὸ τὸ ἱερὸν ὀνομάζει·
ἐπεὶ καὶ δι' ἑτέρων προφητειῶν ἀποδέδεικται Λίβανος
18 αὐτὸς ὁ νεὼς ἐπικεκλημένος. Τοῦτο δὲ καὶ αὐτοὶ παῖδες
Ἰουδαίων εἰσέτι νῦν ὁμολογοῦσιν· ἐπεὶ καὶ Ἡσαΐας
ἐμφερῆ τῷ μετὰ χεῖρας προφήτῃ θεσπίζων ἔφησεν, *ἰδοὺ
Κύριος Σαβαὼθ συνταράσσει τοὺς ἐνδόξους μετὰ ἰσχύος,
καὶ οἱ ὑψηλοὶ τῇ ὕβρει συντριβήσονται. Ὁ δὲ Λίβανος σὺν
τοῖς ὑψηλοῖς πεσεῖται, καὶ ἐξελεύσεται ῥάβδος ἐκ τῆς ῥίζης
Ἰεσσαὶ, καὶ ἄνθος ἐκ τῆς ῥίζης ἀναβήσεται, καὶ ἐπανα-
παύσεται ἐπ' αὐτὸν πνεῦμα τοῦ Θεοῦ.* Οἷς ἐπιλέγει, *καὶ
ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν,
19 ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.* Καὶ ἐνταῦθα γὰρ ὁμοῦ τῇ ἐκ p. 411
σπέρματος Ἰεσσαὶ καὶ Δαβὶδ γενέσει τοῦ Χριστοῦ Λι-
βάνου καθαίρεσις καὶ ἐθνῶν κλῆσις συνῆπται. Λίβανον
δὲ τὴν Ἱερουσαλὴμ διαρρήδην [q] ὁ Ἰεζεκιὴλ σημαίνει

q ὁ καὶ] καὶ om. P.

nicam obsidionem alterum perpessa sit incendium Hierusalem, et quod in ipsa templum erat dejectum sit. Quod etiam ipsum magnam affert admirationem, quemadmodum propheta id significaverit, dicens, *Aperi Libane portas tuas, et comedat ignis cedros tuas.* Nam Libanum in his verbis more suo templum ipsum nominat: quoniam in aliis quoque prophetiis ostensum est, Libanum ipsum templum vocari. Id autem ipsi quoque Judæi adhuc confitentur, quandoquidem Esaias
Es. 10, 33. huic prophetæ, qui nunc tractatur, similia canens dixit, *Ecce Dominus Sabaoth conturbabit gloriosos cum robore, et excelsi contumelia conterentur. Libanus autem cum excelsis cadet, et egredietur virga de radice Jessæ, et flos de radice ascendet, et requiescet super eum spiritus Dei:* quibus adjungit, *Et erit radix Jessæ, et qui surgit ut imperet gentibus, in ipso gentes sperabunt.* Etenim hic quoque una cum ortu Christi de semine Jessæ et David Libani eversio et gentium vocatio conjuncta est. Libanum autem ipsam Hierusalem intelligi Ezechiel

λέγων, ὁ ἀετὸς ὁ μέγας, ὁ μεγαλοπτέρυγος, ὁ ἔχων τὸ ἥγημα εἰσελθεῖν εἰς τὸν Λίβανον, καὶ [r] ἀπέκνισε τὰ ἁπαλὰ
20 τῆς κέδρου. Ταῦτα γοῦν ὁ αὐτὸς ἑξῆς διασαφῶν ἐπιλέγει, ὅτ' ἂν ἔλθῃ Ναβουχοδονόσορ ἐπὶ Ἱερουσαλὴμ, καὶ λάβῃ τοὺς ἄρχοντας αὐτῆς, καὶ τὰ ἑξῆς. Ἀλλὰ ταῦτα b μὲν ὁ Ἰεζεκιὴλ περὶ τῆς πρώτης ἐδήλου πολιορκίας, μεθ' ἣν ὁ Ζαχαρίας περὶ τῆς δευτέρας θεσπίζει. Πότε οὖν μετὰ τοὺς Ζαχαρίου χρόνους ἐπὶ τῆς Μακεδόνων βασιλείας ἐμπρησμὸν ὑπέμεινεν ὁ νεώς; Ἀλλ' οὐκ ἔστιν
21 εἰπεῖν. Μετὰ γὰρ [s] τὴν ὑπὸ Βαβυλωνίων πυρπόλησιν, οὐδ' ἄλλοτε δευτέραν ἢ κατὰ Τῖτον καὶ [t] Οὐεσπασιανὸν Ῥωμαίων αὐτοκράτορας τὴν διὰ πυρὸς ὑπέμεινε φθορὰν, ἐφ' ᾗ πάλιν διὰ αἰνίγματος τοὺς πάλαι ἄρχοντας τοῦ ἔθνους ἐπὶ θρήνους καὶ ὀλοφυρμοὺς ἀνακαλεῖ φάσκων ὁ λόγος, [u] ὀλολυξάτω πίτυς, διότι πέπτωκε κέδρος, ὅτι c μεγάλως μεγιστᾶνες ἐταλαιπώρησαν. Ὀλολύξατε δρύες τῆς Βασανίτιδος, ὅτι κατεσπάσθη ὁ δρυμὸς ὁ σύμφυτος· φωνὴ θρηνούντων ποιμένων, ὅτι τεταλαιπώρηκεν ἡ μεγαλω-
22 σύνη αὐτῶν. Τότε γοῦν καὶ γέγονεν ἡ Ἱερουσαλὴμ ὡς

[r] ἀπέκρισε] ἀπέκνισεν S. cum Theodoreto. [s] τὴν om. S. [t] Οὐεσπεσιανὸν] Οὐεσπασιανὸν P. ut vulg. S. [u] ὀλολύξατο S.

plane significat his verbis, *Aquila grandis magnarum alarum, quæ habet authoritatem ingrediendi in Libanum, et evulsit tenera cedri.* Et hæc ipsa deinceps explanans idem propheta, adjungit, *Quum venerit Nabuchodonosor in Hierusalem, et acceperit principes ejus*, et quæ sequuntur. Cæterum, Ezechiel quidem hæc de prima Hierusalem obsidione prædixit: post cujus obsidionis tempus Zacharias de secunda divinat. Quando igitur post Zachariæ tempora sub imperio Macedonum templum incensum est? Certe nunquam. Siquidem post Babyloniorum depopulationem atque incendium nullam ignis alteram vastationem unquam perpessa est urbs, nisi sub Vespasiano ac Tito Romanorum imperatoribus, ob quam sane vastationem rursus obscure et per figuras eos, qui olim genti imperabant, ad deplorationes et lamenta invitat oraculum, dicens, *Ululet pinus, quoniam cecidit cedrus, quoniam magnopere magnifici afflicti sunt: ululate quercus Basanitidis, quoniam convulsus est saltus consitus, vox lamentantium pastorum, quoniam afflicta est magnificentia eorum.* Tunc sane facta est Hierusalem quasi vestibula quæ quatiuntur omnibus populis in cir-

Ez. 17, 3.
Ez. 17, 12.

πρόθυρα σαλευόμενα πᾶσι τοῖς λαοῖς κύκλῳ, καὶ ἐν τῇ
Ἰουδαίᾳ γέγονε περιοχὴ, ὅ τε νενομισμένος αὐτοῖς ἅγιος
καὶ ἱερὸς τόπος εἰσέτι καὶ σήμερον λίθος τυγχάνει κατα-
πατούμενος πᾶσι τοῖς ἔθνεσι, καὶ πᾶς ὁ καταπατῶν
αὐτὴν ἐμπαίζων ἐμπαίξεται, ἀκολούθως τῇ προφητείᾳ.
23 Ἀλλὰ καὶ ἀνθ' ὧν κατωρχήσαντο τοῦ ταῦτα θεσπίσαν- d
τος Κυρίου, οὐ διαλέλοιπεν αὐτοὺς κοπετὸς καὶ ὀδυρμὸς
καὶ θρῆνος. Οὐ πώποτε γοῦν ἄλλοτε ἢ μετὰ τὴν τοῦ
Σωτῆρος ἡμῶν παρουσίαν καὶ εἰς τὸν καθ' ἡμᾶς χρόνον
πᾶσαι αἱ φυλαὶ τοῦ Ἰουδαίων ἔθνους θρήνων καὶ κοπε-
τῶν ἄξια πεπόνθασι διὰ τὴν καταλαβοῦσαν αὐτοὺς ἐκ
Θεοῦ πληγὴν, ὑφ' ἧς καὶ ἡ μητρόπολις αὐτῶν ἀλλοφύ-
λοις ἔθνεσιν ἐξεδόθη, καὶ τὸ ἱερὸν κατεσκάφη, αὐτοί τε
τῆς ἰδίας χώρας ἀπελήλαντο, ἐν τῇ πολεμίᾳ ἐχθροῖς
δουλεύοντες· ὧν ἕνεκα πᾶς ὁ οἶκος αὐτῶν καὶ πᾶσα
ψυχὴ αὐτῶν εἰσέτι καὶ σήμερον θρήνοις ὑποβέβληται.
24 Διό φησιν ἡ προφητεία, *καὶ κόψεται φυλὴ κατὰ φυλὴν,*
φυλὴ οἴκου Δαβὶδ καθ' ἑαυτὴν, καὶ [x] *αἱ γυναῖκες αὐτῶν* p. 412
καθ' ἑαυτὰς, καὶ τὰ τούτοις ἑπόμενα. Ποῖαι δὲ μετὰ
τοὺς τοῦ Ζαχαρίου χρόνους γεγόνασιν ἡμέραι, ἐν αἷς

[x] *αἱ* add. P.

cuitu, et in Judæa facta est munitio ambiens, et ab eis sacrosanctus existimatus locus usque in hodiernum diem lapis existit, qui conculcatur ab omnibus gentibus, et quicunque illum conculcat illudens illudetur, sicut prophetia prædixerat. Quinetiam propterea quod illi Domino, qui hæc cecinerat, insultaverunt, non defecit eos neque planctus, neque luctus, neque lamentatio. Nunquam igitur alias nisi post Salvatoris nostri adventum usque ad hanc tempestatem omnes tribus Judæorum quicquam lamentatione planctuve dignum passæ sunt propter plagam quæ ipsos Deo feriente deprehenderit, ex qua etiam ipsorum mater civitas externis gentibus tradita est, et templum eversum suffossumque est, ipsique de propria regione expulsi sunt, in terra hostili inimicis servientes. Quas ob res omnis ipsorum domus omnisque ipsorum anima in hunc usque diem lamentationibus afflicta est. Quapropter propheta sic ait, *Et plangent singulæ tribus per seipsas: tribus domus David seorsum, et mulieres eorum seorsum,* et quæ sequuntur. Sed qui tandem post Zachariæ tempora secuti

διεμερίσθη τὰ σκῦλα τῆς Ἱερουσαλὴμ, καὶ ἐπισυνήχθη πάντα τὰ ἔθνη ἐπ᾽ αὐτὴν εἰς πόλεμον, ἥλω τε ἡ πόλις, καὶ διηρπάγησαν αἱ οἰκίαι, καὶ αἱ γυναῖκες ἐμολύνθησαν ἀπήχθησάν τε εἰς αἰχμαλωσίαν, ὁμοῦ τε καὶ κατὰ τὸ αὐτὸ ὁ Κύριος συμμαχῶν τοῖς ἔθνεσι τοῖς τὴν Ἱερουσαλὴμ πολεμοῦσι παρετάξατο ἐν αὐτοῖς; ἢ πότε ἔστησαν οἱ πόδες αὐτοῦ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν; ἢ πότε γέγονε b Κύριος εἰς βασιλέα ἐπὶ πᾶσαν τὴν γῆν, αὐτός τε εἷς Κύριος ἐπὶ πάντας ἀνθρώπους, καὶ τὸ ὄνομα αὐτοῦ [y]ἐγκυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν ἔρημον; Ταῦτα γὰρ οὐδ᾽ ἄλλοτέ πω πρότερον ἔχοι ἄν τις εἰς πέρας δεῖξαι ἀχθέντα ἢ κατὰ τοὺς Ῥωμαίων χρόνους, καθ᾽ οὓς ἐμπρησμὸν ὑπέμεινε δεύτερον μετὰ τὸν ὑπὸ Βαβυλωνίων ὁ νεὼς αὐτῶν, ἥ τε πόλις ἐξ ἐκείνου καὶ εἰς δεῦρο ὑπὸ ἀλλοφύλων ἐθνῶν κατοικισθεῖσα δείκνυται. Ὅτε καὶ ὁ Κύριος ἡμῶν Ἰησοῦς ὁ Χριστὸς τοῦ Θεοῦ τὰς οἰκείας c ἐποιεῖτο διατριβὰς ἐπὶ τοῦ ἐλαιῶνος τοῦ [z]κατάντικρυς τῆς Ἱερουσαλὴμ ὄρους, πληρουμένου τοῦ φάσκοντος λόγου, καὶ στήσονται οἱ πόδες αὐτοῦ ἐπὶ τὸ ὄρος τῶν ἐλαιῶν

[y] ἐνκυκλοῦν S. [z] ἄντικρυς] κατάντικρυς P. κατ᾽ ἄντικρυς S.

sunt dies, in quibus spolia Hierusalem divisa sunt, et gentes universæ ad bellum contra eam coiverint, et civitas capta sit, et domus direptæ, et mulieres pollutæ atque in servitutem abactæ? et quando simul sub idem tempus Dominus gentibus Hierusalem oppugnantibus subveniens comparavit se ad prælium cum illis? aut quando steterunt pedes ejus in monte olivarum? aut quando extitit Dominus in regem per universam terram, ipseque unus Dominus apud omnes homines, et nomen ejus ambiens universam terram et solitudinem? Hæc enim nunquam quisquam antea ad suum finem perducta demonstrare poterit nisi Romanorum temporibus, quibus post Babylonicum incendium altero rursus incendio ipsorum templum vastatum est, et civitas ex illo ad hunc usque diem ab externis gentibus habitari ostenditur. Quo tempore etiam Dominus noster Jesus Christus Dei versari in oliveto consuevit, quod est in monte contra Hierusalem, completumque est oraculum quod ait, *Et stabunt pedes ejus in monte Olivarum, qui est contra Hierusalem,* hoc est religioso pioque vivendi instituto per orbem terrarum condito et erecto omnes secundum

τὸ κατέναντι Ἱερουσαλὴμ, τοῦτ' ἔστι, τοῦ θεοσεβοῦς πολιτεύματος καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀνοικοδομηθέντος, πάντα τὰ ἔθνη, κατὰ τὴν προφητείαν, τὴν ἑορτὴν τῆς σκηνοπηγίας ἐν παντὶ τόπῳ τῷ Θεῷ τῶν προφητῶν πανηγυρίζει, Αἰγύπτιοί τε ἐξ ἐκείνου τὸν τῶν ὅλων Θεὸν ἐπιγνόντες τὰς σκηνὰς αὐτῶν ἐφ' ἑκάστης
πόλεως καὶ χώρας κατεπήξαντο· εἶεν δ' ἂν αὗται αἱ d
26 κατὰ τόπον ἐκκλησίαι τοῦ Χριστοῦ. Ταύτας γὰρ πολὺ κρείττους τῶν παρὰ Μωσεῖ σκηνῶν ἡ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ δύναμις καθ' ὅλης συνεπήξατο τῆς ἀνθρώπων οἰκουμένης εἰς τὸ πᾶν γένος ἀνθρώπων καὶ πάντα τὰ ἔθνη σκηνοπηγίας ἑορτὴν τῷ ἐπὶ πάντων
27 Θεῷ ἐπιτελεῖν. Ὅτε τοίνυν καὶ ταῦτα τὰ πρόπαλαι τοῖς ἔθνεσι προαναφωνηθέντα καθ' ἡμᾶς αὐτοὺς ὁρῶμεν τὴν ἔκβασιν ἀπειληφότα, τά τε τοῦ [a] θρήνου καὶ τοῦ κοπετοῦ ταῖς φυλαῖς τοῦ Ἰουδαίων ἔθνους προκεκηρυγμένα, τά τε τῆς πυρπολήσεως τοῦ ἱεροῦ καὶ τῆς ἐσχάτης αὐτῶν ἐρημίας, ὁμοίως καὶ ταῦτα ταῖς προρρήσεσιν εἰσέτι καὶ σήμερον ὀφθαλμοῖς θεωρεῖται, τί λεί-
πεται ἐπὶ τούτοις ἢ καὶ τὸν προφητευόμενον βασιλέα p. 413
τὸν Χριστὸν τοῦ Θεοῦ ἐληλυθέναι ὁμολογεῖν, τῶν κατὰ

[a] θρόνου S. et infra αἰσχάτης.

prophetiam diem festum tabernaculorum celebrabunt Deo prophetarum, et Ægyptii ex illo Deum universi agnoscentes tabernacula sua in singulis civitatibus et regionibus figent. Hæ porro sint Christi in omni loco conditæ ecclesiæ. Has enim multo præstantiores Mosaicis tabernaculis Salvatoris nostri Jesu Christi potentia in omni ab hominibus habitato orbe per omne hominum genus per omnes gentes fixit, ut Deo omnia sub se habenti celebrent diem festum tabernaculorum. Quando igitur hæc quæ jam diu gentibus denuntiata fuerunt nostris temporibus videmus exitum sortita esse, et quæ de lamento et planctu tanto ante ad Judaicas tribus divinitus inclamata sunt, quæque de vastatione incendioque templi extremaque ipsorum solitudine prædicta, ea ipsa nusquam ab oraculis discrepantia usque in hodiernum diem vel oculis possumus intueri, quid amplius superest, nisi ut regem, de quo prophetæ loquuntur, eum qui

τὴν παρουσίαν αὐτοῦ σημείων ἐφ' ἑκάστῳ τῶν εἰρημένων ἐναργῆ τὴν ἔκβασιν εἰληφέναι ἀποδεδειγμένων;

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

5 Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς b Αἴγυπτον, καὶ σεισθήσεται [b] τὰ χειροποίητα Αἰγύπτου ἀπὸ προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς, καὶ ἐπεγερθήσονται Αἰγύπτιοι ἐπ' Αἰγυπτίους, καὶ πολεμήσει ἄνθρωπος τὸν ἀδελφὸν αὐτοῦ, καὶ ἄνθρωπος τὸν πλησίον αὐτοῦ. Ἐπεγερθήσονται πόλις ἐπὶ πόλιν, καὶ νόμος ἐπὶ νόμον, καὶ ταραχθήσεται τὸ πνεῦμα τῶν Αἰγυπτίων ἐν c αὐτοῖς, καὶ τὴν βουλὴν αὐτῶν διασκεδάσω, καὶ ἐπερωτήσουσι τοὺς θεοὺς αὐτῶν, καὶ τὰ ἀγάλματα αὐτῶν, καὶ τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας.

Σημεῖα χρόνων τῆς τοῦ Κυρίου παρουσίας, Αἰγυπτίων ἐπίγνωσις τοῦ τῶν προφητῶν Κυρίου.

2 Καὶ ἑξῆς μετὰ πλεῖστα δι' αἰνιγμάτων εἰρημένα ἐπιλέγεται,

[c] Τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται θυσιαστήριον τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, καὶ στήλη πρὸς τὸ ὅριον αὐτῆς τῷ Κυρίῳ, καὶ ἔσται εἰς σημεῖον εἰς τὸν αἰῶνα τῷ Κυρίῳ ἐν χώρᾳ Αἰγύπτου, ὅτι κεκράξονται πρὸς Κύριον διὰ τοὺς θλίβοντας d αὐτοὺς, καὶ ἀποστελεῖ αὐτοῖς Κύριος ἄνθρωπον, ὃς σώσει

[b] τὰ add. P. [c] Τῇ] ἐν τῇ ed. Par. ἐν om. Steph. cum mss.

Christus Dei est, venisse fateamur, quum utique illius adventus signa in singulis, quæ de illo dicta sunt, evidentem exitum accepisse jam demonstraverimus?

AB ESAIA.

Es. 19, 1. Signa temporum adventus Domini: Ægyptiorum agnitio Domini prophetarum.

5 *Ecce Dominus sedet super nube levi, et veniet in Ægyptum, et commovebuntur manufacta Ægypti a facie ejus, et cor eorum vincetur in ipsis, et excitabuntur Ægyptii contra Ægyptios, et bellum geret homo contra fratrem suum, et homo contra proximum suum: excitabitur civitas in civitatem, et lex in legem, et turbabitur spiritus Ægyptiorum in ipsis, et consilium eorum dissipabo, et interrogabunt Deos suos et simulachra sua, et Pythones, et eos qui de terra vocem emittunt.* Et deinceps post plurima quæ figurate et obscure dicta sunt adjungitur, *In die illa erit altare Domino in terra Ægypti, et titulus juxta terminum ejus Domino: et erit in signum in æternum Domino in terra Ægypti, quoniam clamabunt ad Dominum propter affligentes se, et*

Es. 19, 19.

αὐτούς, κρίνων σώσει αὐτούς, καὶ γνωστὸς ἔσται Κύριος τοῖς Αἰγυπτίοις, καὶ γνώσονται οἱ Αἰγύπτιοι Κύριον τὸν Θεὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ [d] ποιήσουσι θυσίας, καὶ εὔξονται εὐχὰς τῷ Κυρίῳ, καὶ ἀποδώσουσι.

3 Καὶ ταῦτα προλαβόντες ἐκ μέρους διεσαφήσαμεν. Εἰ μὲν οὖν μὴ τοὺς πατρῴους θεοὺς καταλιπόντες Αἰγύπτιοι καθ' ἡμᾶς αὐτοὺς ὁρῶνται τὸν τῶν προφητῶν Θεὸν ἐπικαλούμενοι, εἰ μὴ καθ' ὅλης τῆς Αἰγύπτου κατὰ πάντα τόπον καὶ πόλιν καὶ χώραν ἀνεγήγερται θυσιαστήριον τῷ παρὰ μόνοις Ἑβραίοις θεολογουμένῳ Θεῷ, εἰ μὴ σέσεισται τὰ χειροποίητα Αἰγύπτου, τῆς p. 414 περὶ αὐτὰ δαιμονικῆς δυνάμεως ἐκλελοιπυίας, καὶ τῆς παλαιᾶς δεισιδαιμονίας ἐκ τῆς τῶν Αἰγυπτίων ψυχῆς ἀρθείσης, καὶ ἔτι πρὸς τούτοις εἰ μὴ καθ' ἑκάστην πόλιν καὶ καθ' ἕκαστον οἶκον πόλεμος ἐμφύλιος τοῖς Αἰγυπτίοις συνίσταται, τῶν μὲν τὸν Κύριον καὶ τὸ σέβας τοῦ Θεοῦ τῶν προφητῶν ἀποδεξαμένων καὶ ἀποστραφέντων τὴν ἐξ αἰῶνος πολύθεον πλάνην, τῶν δὲ διὰ τὸ τοῖς πατρίοις ἔτι προστετηκέναι κακοῖς τοὺς τὸν Κύριον παραδεξαμένους πολεμούντων, εἰ μὴ εἰσέτι καὶ b

[d] ποιήσονται] ποιήσουσι P.

mittet eis Dominus hominem, qui salvabit eos, judicans salvabit eos, et cognitus erit Dominus Ægyptiis, et cognoscent Ægyptii Dominum Deum in die illa, et facient sacrificia, et vovebunt vota Domino, et reddent. Hæc nos quidem antea quoque citavimus, et in parte saltem planiora reddidimus : quod si non patriis diis relictis Ægyptios hoc ipso tempore videmus prophetarum Deum invocantes, si per universam Ægyptum in omni loco, et civitate, et regione, altare illi Deo erectum non est, qui apud solos Hebræos laudibus celebratur, si manufacta Ægypti commota non sunt, et dæmonica vis quæ circum illa versabatur non defecit, vetusque Ægyptiorum superstitio ex animis eorum sublata non est, præterea, si per singulas civitates et per singulas domos bellum intestinum apud Ægyptios non grassatur, dum alii quidem Dominum et cultum Dei prophetarum accipiunt, erroremque quo ab initio Deos multos colebant aversantur, alii vero, propterea quod patriis adhuc malis affecti iis adhærent, eos qui Dominum acceperint oppugnant, si non hodie quoque dum suos

δεῦρο ἐπερωτᾶν πειρώμενοι τοὺς ἑαυτῶν θεοὺς καὶ τὰ ἀγάλματα καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας καὶ τοὺς ἐγγαστριμύθους [e] ἀτελῆ καὶ ἄπρακτον τὴν ἐπὶ τάδε καταφυγὴν ποιοῦνται διὰ τὸ μηκέθ' ὁμοίως ἐνεργεῖν δύνασθαι ὥσπερ τὸ πρὶν τοὺς δαίμονας, εἰ μὴ πάντα ταῦτα ἔργοις αὐτοῖς τέλος εἰληφότα δείκνυται, μή πώ μοι νομίζοιτο τὸ προφητικὸν πεπληρῶσθαι [f] λόγιον, μὴ δὲ τὸν θεσπιζόμενον Κύριον ἐπιδεδημηκέναι τῷ βίῳ τῶν ἀνθρώπων. c

4 Εἰ δὲ αὐτοῖς ἔργοις κατὰ πολὺ τῶν λόγων ἐναργεστέροις εἰσέτι δεῦρο θεωροῦνται οἱ τὴν Αἴγυπτον οἰκοῦντες, οἱ μὲν τὸν Θεὸν τῶν προφητῶν ἐπεγνωκότες καὶ δι' αὐτὸν τοὺς πατρίους καταλελοιπότες θεούς, οἱ δὲ πρὸς τούτους στασιαστικῶς ἔχοντες, καὶ οἱ μὲν τοὺς θεοὺς αὐτῶν εἰσέτι νῦν ἐπικαλούμενοι καὶ τὰ ἀγάλματα καὶ τοὺς ἐκ τῆς γῆς φωνοῦντας μηδέν τε ἐνεργεῖν [g] δυναμένους, οἱ δὲ τῷ Κυρίῳ τῶν προφητῶν ἐν πάσῃ τῇ Αἰγυπτίων χώρᾳ θυσιαστήριον καθ' ἑκάστην ἐκκλησίαν συστησάμενοι, ἔν τε ταῖς θλίψεσι καὶ τοῖς κατ' αὐτῶν διωγμοῖς οὐκέτι τὰ κνώδαλα, οὐδὲ τὰ ἑρπετὰ τῆς γῆς, ὡς θεούς, οὐδὲ d
τοὺς ἀγρίους θῆρας καὶ τὰ ἄλογα ζῷα ὁμοίως τοῖς αὐτῶν

[e] ἀτελεῖ S. [f] λόγιον om. P.S. [g] δυναμένους] δυνάμενοι P. et sic interpres.

Deos suaque simulachra, eosque qui de terra voces emittunt, et Pythones, rogare conantur, infectum atque inane ad cuncta hæc perfugium experiuntur, propterea quod non amplius ut antea itidem vim suam exercere dæmones possunt, si non universa hæc reipsa finem suum invenisse ostenduntur, sane nondum quisquam mihi arbitretur propheticum esse completum oraculum, neque Dominum illum ipsum, quem prophetæ canunt, apud homines vixisse. Si vero re ipsa, quæ verbis longe est evidentior, qui Ægyptum incolunt cernuntur interim pars quidem prophetarum Deum agnovisse et propter illum patrios Deos reliquisse, alii vero contra hos seditiones assidue concitare, et alii Deos suos, suaque simulachra, eosque qui de terra voces emittunt invocantes nihil posse proficere, alii Domino prophetarum in omni Ægyptia regione altare per singulas ecclesias erexisse, inque afflictionibus et sibi infestis insectationibus non amplius belluas neque reptilia terræ Deos, neque agrestes feras et bruta animalia, parentum suorum instar, sed supremum Deum invocare, solumque eum ejusque

πατράσι ἀλλὰ τὸν ἐπὶ πάντων Θεὸν ἐπικαλούμενοι, καὶ μόνον αὐτὸν καὶ τὸν αὐτοῦ φόβον ἐν ταῖς αὐτῶν διανοίαις κατειληφότες, εὐχόμενοί τε αὐτῷ εὐχὰς ἀλλ' οὐκέτι τοῖς δαίμοσι, καὶ ἀποδιδόντες τὰς θεοπρεπεῖς ἐπαγγελίας, πῶς οὐχ ἕπεται συνομολογεῖν καὶ τὰ πρὸ τῶν ἀποτελεσμάτων εἰς ἔργον ἤδη κεχωρηκέναι; Ἦν δὲ ταῦτα, τοῦ Κυρίου παρουσία εἰς Αἴγυπτον οὐκ ἀσώματος ἀποβησομένη, ἀλλὰ *διὰ νεφέλης κούφης*, ἢ καὶ μᾶλλον *διὰ πάχους ἐλαφροῦ*· οὕτως γὰρ τὸ Ἑβραϊκὸν περιέχει, τὴν ἔνσαρκον αὐτοῦ παρουσίαν αἰνιττόμενον.

5 Τοῦτον [h]δὴ οὖν αὐτὸν προϊὼν ἑξῆς ὁ λόγος ἄνθρωπον Σωτῆρα ἀπεκάλεσε, φήσας, *καὶ ἀποστελεῖ αὐτοῖς Κύριος* p. 415 *ἄνθρωπον, ὃς σώσει αὐτούς.* Πάλιν γοῦν κἀνταῦθα τὸ Ἑβραϊκὸν *καὶ ἀποστελεῖ αὐτοῖς Κύριος Σωτῆρα, ὃς σώσει αὐτοὺς* ἔχει. Ὧν οὕτως ἐναργῆ τὴν ἀπόδειξιν παρεχομένων, ἡγοῦμαι καὶ τοὺς χρόνους σαφεῖς γεγονέναι, καθ' οὓς τὰ τῆς εἰς ἀνθρώπους τοῦ Κυρίου παρουσίας ἐθεσπίζετο.

6 Τοσαῦτα διὰ βραχέων καὶ τὰ περὶ τῶν χρόνων τῆς τοῦ Κυρίου εἰς ἀνθρώπους ἐπιφανείας συνῆκται· πλείονα

[h] δὲ] δὴ P.

timorem in suis mentibus conceptum tenere, vovereque eidem vota non autem dæmonibus ut prius, et quæ ipsi Deo conveniant promissa reddere, cur non sequitur, ut fateamur etiam ea, quæ ipsos eventus antecesserunt in opus jam processisse, nec futura amplius in posterum sed in præteritum abiisse? Porro ipsa hæc sunt ipsius Domini ad Ægyptios olim futurus non sine corpore adventus, sed *per nubem levem*, ac potius *per crassitudinem agilem.* Sic enim Hebraicus habet contextus, dum illius corporeum adventum obscure significat. Proinde hunc ipsum progressa longius oratio hominem Salvatorem vocavit, his verbis, *Et mittet eis Dominus hominem, qui salvabit eos.* Nam hic rursus in Hebraico sic est, *Et mittet eis Dominus Salvatorem, qui salvabit eos.* Quæ quum adeo evidentem demonstrationem exhibeant, arbitror etiam constitisse, quibus temporibus ea futura canerentur, quæ ad Domini adventum ad homines pertinebant.

Hæc sane paucis a nobis collecta sunt de temporibus quibus Dominus fuit ad homines venturus. Plura autem per otium quispiam

δ' ἂν τις ἐπὶ σχολῆς εὕροι, καὶ τὰς λοιπὰς ἐκπεριιὼν γραφάς· ἡμεῖς γε μὴν τοῖς εἰρημένοις ἀρκεσθέντες μετι- b
μεν ἤδη καὶ ἐπὶ τὰς λοιπὰς προφητείας. [i]Διὸ τὰ οἰκονομηθέντα ἐν ἀνθρώποις ἀκολούθως αὐτῷ ἐκ τῶν θείων προρρήσεων ἀναλεξόμεθα.

ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ ΛΟΓΟΣ Θ. p. 416

1 ΤΙ δὴ λείπεται ἐπὶ τούτοις, ἀλλ' ἢ ταῖς ὑποσχέσεσιν ἀκολούθως διελθεῖν τὰ οἰκονομηθέντα ἐπὶ τῆς ἐνανθρωπήσεως αὐτοῦ δὴ τοῦ Θεοῦ Λόγου; Περὶ οὗ τὰ προπεπονημένα ἐκ ὀκτὼ τοῖς πρὸ τούτου συγγράμμασι p. 417
διεληλύθαμεν, τοτὲ μὲν τὴν κατ' [k]αὐτὸν θεολογίαν διερευνώμενοι, τοτὲ δὲ τὴν οὐρανόθεν εἰς ἡμᾶς κάθοδον καὶ τόν τε τρόπον ὁμοῦ καὶ τὴν προσηγορίαν καὶ τὸν χρόνον τῆς ἀφίξεως αὐτοῦ διασκοπούμενοι. Ὧν ἀποδεδειγμένων, καιρὸς ἤδη τὰ κατὰ τὴν ἐπιφάνειαν αὐτοῦ συνιδεῖν, παραστῆσαί τε ὅπως καὶ τούτων ἕκαστα παρ'
2 Ἑβραίοις προαναπεφώνητο. Τό γε μὴν [l]τῶν προρρήσεων ἀποτέλεσμα διὰ τῆς τῶν ἱερῶν εὐαγγελιστῶν

[i] δι' ὧν] διὸ P.S. et sic interp. [k] αὐτῶν S. [l] τῆς προρρήσεως] τῶν προρρήσεων P.

inveniet, si reliquas item scripturas percurrerit: nos autem his contenti quæ hactenus dicta sunt, jam nunc reliquas quoque aggrediamur prophetias. Quare quæ ab illo inter homines suo ordine sunt administrata ex divinis oraculis colligamus.

LIB. IX.

Nihil sane posthac reliquum esse video, nisi ut ea quæ polliciti sumus sequentes eam dispensationis partem persequamur, quæ humanæ a Deo Verbo assumptæ naturæ propria est. Qua de re ea, quæ superioribus octo libris continentur, a nobis tractata sunt, modo quæ ad ejus rei theologiam pertinent scrutantibus, modo illius ad nos de cœlo descensum, simulque et modum et appellationem et tempus illius adventus explorantibus. Quibus demonstratis rebus, tempus jam fuerit ea contemplari, quæ quo tempore ille in apertum prodiit gesta sunt, quoque modo ea singula apud Hebræos prædicta sint ostendere. Oraculorum tamen efficacia veritasque et sanctorum

μαρτυρίας καὶ τῆς δι' αὐτῶν ἱστορηθείσης τῶν πραγμάτων ἀποβάσεως ἐπισφραγισθήσεται. Πρῶτον οὖν ἁπάν- b
των, ἐπειδὴ τὰ περὶ τῆς γενέσεως αὐτοῦ γένους τε καὶ φυλῆς καὶ σπέρματος ἀποδέδεικται, φέρε τὰ περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει αὐτοῦ νέου τινὸς καὶ ξενίζοντος παρὰ τοὺς συνήθεις [1]ἀστέρος θεασώμεθα, ἐπεὶ καὶ τοῦτο πάλαι πρότερον ἐκ μακρῶν ἄνωθεν χρόνων παρὰ Μωσεῖ βοώμενον τοῦτον ἱστόρηται τὸν τρόπον.

ἈΠῸ ΤΩ͂Ν ἈΡΙΘΜΩ͂Ν.

I Περὶ τῶν κατὰ τὴν ἐνανθρώπησιν αὐτοῦ πραχθησομένων, καὶ περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει Σωτῆρος ἡμῶν ἀστέρος.

Μωσῆς ἐν Ἀριθμοῖς περὶ τοῦ φανέντος ἐπὶ τῇ γενέσει τοῦ Σωτῆρος ἡμῶν ἀστέρος φησὶ,

[m]Φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς ὁρῶν, ἀκούων λόγια Θεοῦ, ἐπιστάμενος ἐπιστήμην ὑψίστου, d
καὶ ὅρασιν τοῦ Θεοῦ ἰδὼν, ἐν ὕπνῳ ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ. Δείξω αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω, καὶ οὐκ ἐγγίζει. Ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει τοὺς ἀρχηγοὺς Μωὰβ, καὶ προνομεύσει πάντας υἱοὺς Σήθ. Καὶ ἔσται Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἡσαῦ ὁ ἐχθρὸς αὐτοῦ, καὶ Ἰσραὴλ

[1] ἀστέρος] ἀστέρας S. v. p. seq. [m] φησὶ om. P.

evangelistarum testimonio et ipso rerum quæ ab illis proditæ sunt eventu declarabitur. Quum igitur primum omnium ea, quæ ad illius et ortum, et genus, et tribum, et semen pertinent, demonstrata sint, nunc jam quid de sidere illo sit dicendum, quod novum et insolitum præter consueta et nobis cognita sidera in ortu illius emicuit, quæso contemplemur. Nam hoc ipsum quoque jampridem ab antiquis usque et primis temporibus apud Mosem celebratum invenitur, atque in hunc modum expositum.

A NUMERIS.

I De rebus secundum humanam ab illo assumptam naturam gerendis, et de stella quæ in ortu Salvatoris nostri apparuit.

Moses in Numeris de stella, quæ in ortu Salvatoris nostri visa est, hæc ait [Num. 24, 15]: *Dixit Balaam filius Beor, dixit homo qui vere videt, qui audit verba Dei, qui novit scientiam altissimi, et qui visionem Dei vidit, in somno aperti oculi ejus: ostendam illi, sed non nunc: beatum dico, sed non appropinquat: orietur stella ex Jacob, et surget homo ex Israel, et franget ductores Moab, et captivos ducet omnes filios Seth, et erit Edom hæreditas, et erit hæreditas Esau inimicus ejus, et Israel fecit in robore,*

ἐποίησεν ἐν ἰσχύϊ, καὶ ἐξεγερθήσεται ἐξ Ἰακὼβ, καὶ ἀπολεῖ σωζόμενον ἐκ πόλεως.

2 Ἐπὶ ταύτῃ φησὶ τῇ προφητείᾳ κινηθέντας τοὺς διαδόχους Βαλαὰμ, (σεσῶσθαι γὰρ αὐτὴν, ὡς καὶ ἦν εἰκὸς, παρ' αὐτοῖς, ὁπηνίκα συνεῖδον ἐν οὐρανῷ ξενίζοντά τινα παρὰ τοὺς συνήθεις [n] ἀστέρα, κατὰ κορυφῆς, ὡς ἂν εἴποι τις, καὶ κατὰ κάθετον τῆς Ἰουδαίας ἐστηριγμένον,) σπουδὴν πεποιῆσθαι ἐπὶ τὴν Παλαιστινῶν ἀφικέσθαι γῆν, ἱστορίας ἕνεκα τοῦ διὰ φανέντος ἀστέρος σημαινο- p. 418
3 μένου βασιλέως. Μαρτυρεῖ τούτοις ὁ εὐαγγελιστὴς Ματθαῖος λέγων·

Τοῦ δὲ Ἰησοῦ γεννηθέντος ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἐν ἡμέραις Ἡρώδου τοῦ βασιλέως, ἰδοὺ μάγοι ἀπὸ ἀνατολῶν παρεγένοντο εἰς Ἱερουσαλὴμ λέγοντες, Ποῦ ἐστιν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; εἴδομεν γὰρ αὐτοῦ τὸν ἀστέρα ἐν τῇ ἀνατολῇ, καὶ ἤλθομεν προσκυνῆσαι αὐτῷ. Ὅτε καὶ παραπεμφθέντες εἰς Βηθλεὲμ ἐπορεύθησαν, καὶ ἰδοὺ πάλιν ὁ αὐτὸς ἀστὴρ, ὃν εἶδον ἐν τῇ ἀνατολῇ, προῆγεν αὐτοὺς, ἕως ἐλθὼν ἐστάθη ἐπάνω οὗ ἦν τὸ παιδίον. Ἰδόντες δὲ τὸν b
ἀστέρα ἐχάρησαν χαρὰν μεγάλην σφόδρα, καὶ εἰσελθόντες εἰς τὴν οἰκίαν, εἶδον τὸ παιδίον μετὰ Μαρίας τῆς μητρὸς αὐτοῦ, καὶ πεσόντες προσεκύνησαν αὐτῷ.

[n] ἀστέρα] ἀστέρας P.

et excitabitur ex Jacob, et perdet eum, qui servatur de civitate. Hoc vaticinio commotos ait successores Balaam (id enim incolume extitisse adhuc, ut par est, apud illos, quum in cœlo ignotum quoddam sidus præter cognita nobis et consueta supra verticem, ut sic dixerim, et ad perpendiculum terræ Judææ constitutum inspexerunt) festinasse ut in Palæstinam terram pervenirent, utque sciscitarentur de rege, qui per eam stellam quam ipsi viderant, significabatur. Fidem his facit evangelista Matthæus, his verbis: *Quum autem Jesus* Matth. 2, 1.
natus esset in Bethleem Judææ in diebus Herodis regis, ecce magi ab oriente venerunt in Hierusalem dicentes, Ubi est, qui natus est rex Judæorum? vidimus enim stellam ejus in oriente, et venimus adorare eum. Quo tempore iidem missi in Bethleem abierunt, et ecce rursus eadem stella quam viderant in oriente antecedebat eos, donec veniens staret supra ubi erat puer: videntes autem stellam gavisi sunt gaudio magno valde, et ingressi domum viderunt puerulum cum Maria matre

4 Ταῦτα μὲν τὸ ἱερὸν εὐαγγέλιον. Ὁ δέ γε τῆς προφητείας λόγος ἐπὶ τῇ τοῦ ἀστέρος ἐπιτολῇ καὶ [o]τῇ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ γενέσει τίνα φησὶν ἔσεσθαι συνιδεῖν ἄξιον, θραῦσιν ἀρχηγῶν Μωὰβ, καὶ προνομὴν υἱῶν Σὴθ, καὶ τῶνγε λοιπῶν τοῦ Ἰουδαίων ἔθνους πολεμίων κληρονομίαν, οὗτοι δὲ ἦσαν Ἐδὼμ καὶ Ἡσαῦ.
5 Τί δὲ ᾐνίξατο διὰ τούτων, ἢ διὰ μὲν τῶν ἀρχηγῶν c Μωὰβ τὴν τῶν ἀοράτων ἀρχόντων καθαίρεσιν, αὐτῶν δὴ τῶν πάλαι παρὰ τοῖς Μωαβίταις θεολογουμένων δαιμόνων ; Ἀλλ᾽ οὐχ ἑτέρων ἐμνήσθη, διὰ τὴν [p]εἰδωλολατρείαν τοῦ Ἰσραὴλ τὴν ἐπὶ τῆς ἐρήμου γενομένην, ὅτε ἐτελέσθη ὁ λαὸς τῷ Βεελφεγώρ· (δαίμων δὲ ἦν οὗτος ὡς θεὸς παρὰ τῷ βασιλεῖ Μωὰβ τῷ Βαλὰκ τιμώ-
6 μενος.) Ἐπεὶ οὖν νενίκητο ὁ Ἰσραὴλ [q]κατὰ τοῦτο τοῦ καιροῦ πρὸς τῶν ἀοράτων ἀρχόντων τοῦ Μωὰβ, λέγω δὲ τῶν παρὰ τοῖς Μωαβίταις νενομισμένων θεῶν, (εἰδω- d λολάτρησαν γοῦν καὶ προσεκύνησαν τοῖς γλυπτοῖς, ὥς φησιν ἡ γραφὴ, καὶ ἐτελέσθησαν τῷ Βεελφεγὼρ, δαίμων δὲ οὗτος τῶν Μωαβιτῶν ἦν, ὅτε καὶ ἐξεπόρνευσαν εἰς

[o] τοῦ χ̅υ̅ S. [p] εἰδωλολατρίαν S. [q] κατοῦτο S.

ejus, et procumbentes adoraverunt eum. Hactenus quidem evangelium sanctum. At vero ipsius prophetiæ oraculum quid ait tandem fore aut in illius novi sideris eruptione, aut in Salvatoris nostri Jesu Christi ortu, dignum quod cognoscatur? nempe fractionem ductorum Moab, et direptionem filiorum Seth, præterea reliquorum Judaicæ gentis hostium hæreditatem, qui quidem hostes erant Edom et Esau. Cæterum, quid aliud tandem significavit his verbis, quam per ductores Moab invisibilium hostium eversionem, ipsorum, inquam, dæmonum, qui olim apud Moabitas deorum loco ferebantur? Atqui aliorum mentionem non fecit, propter simulachrorum ipsius Israel cultum, quo in deserto usus est, quo tempore populus initiatus est Beelphegor. Erat porro hic dæmon, qui ut Deus a rege Moab ipso Balac colebatur. Quoniam igitur victus est Israel illo tempore a principibus Moab visum effugientibus, dico autem ab iis, qui apud Moabitas pro diis colebantur (sane idcirco et simulachra coluerunt, et adora-
Ps. 106, 28. verunt sculptilia, ut ait scriptura, *Et initiati sunt Beelphegor,* qui Beelphegor dæmon erat apud Moabitas, quo tempore iidem cum

τὰς Μωαβίτιδας·) εἰκότως τὸ [r]μέλλον ἔσεσθαί ποτε καὶ
τὴν εἰς τοὐναντίον τῶν πραγμάτων μεταβολὴν κατὰ και-
ρὸν ὁ Βαλαὰμ θεσπίζει λέγων, ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ,
καὶ ἀναστήσεται ἄνθρωπος ἐξ Ἰσραὴλ, καὶ θραύσει ἡγε-
7 μόνας Μωάβ. Ὡσεὶ σαφέστερον ἔλεγε, τοὺς μεγαλαυ-
χήσαντας κατὰ τοῦ Ἰσραὴλ δαίμονας τῶν Μωαβιτῶν
ἐπὶ τῇ γενέσει τοῦ προφητευομένου θραῦσίν ποτε καὶ
πτῶσιν παθεῖν, ὧν θραυσθέντων, τοὺς υἱοὺς Σὴθ, καὶ p. 419
Ἐδὼμ, καὶ Ἠσαῦ, καὶ τὰ λοιπὰ ἔθνη, ἃ διὰ τούτων
σημαίνεσθαι ἡγοῦμαι, τὰ πάλαι καταδεδουλωμένα τῇ
δαιμονικῇ πλάνῃ, μεταβαλόντα τῆς δεισιδαιμονίας οἰκεῖα
τοῦ θεσπιζομένου γενήσεσθαι. Καὶ ἔσται γάρ φησιν
Ἐδὼμ κληρονομία, καὶ ἔσται κληρονομία Ἠσαῦ ὁ ἐχθρὸς
8 αὐτοῦ. Οἱ γὰρ πάλαι ἐχθροὶ τοῦ Θεοῦ καὶ τοῦ Ἰσραὴλ,
φησὶ, γενήσονται κληρονομία τοῦ προφητευομένου. Αὐ-
τὸς γὰρ ἦν ᾧ εἴρητο πρὸς τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ,
αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοὶ ἔθνη τὴν κληρονομίαν σου.
Ὧν εἰς τὸν κλῆρον τῶν ἁγίων μεταστάντων, τἀναντία b
9 τῷ Ἰσραὴλ ἔσεσθαι θεσπίζει. Φησὶ γοῦν, καὶ Ἰσραὴλ
ἐποίησεν ἐν ἰσχύϊ. [s]Ὁ δὲ ἐποίησεν ἐν ἰσχύϊ τὴν πάν-

[r] μέλλων S. [s] Τὸ] ὁ S.

fœminis Moabitarum fornicati sunt) merito quod olim erat futurum, rerum utique in contrarium mutationem in tempore divinat Balaam, dicens, *Orietur stella ex Jacob, et surget homo ex Israel, et franget duces Moab.* Tanquam si manifestius diceret, Moabitarum dæmonas, qui nunc adversus Israel gloriati sunt, in ortu ejus de quo ipse vaticinatur fractionem tandem et ruinam passuros: quibus fractis, filios Seth, et Edom, et Esau, et reliquas gentes, quas his nominibus significari arbitror, ut olim dæmonico errori addictæ erant, sic rejecta superstitione, familiares illius futuras qui venturus canitur. *Et erit,* inquit, *Edom hæreditas, et erit hæreditas Esau inimicus ejus.* Veteres, inquit, hostes Dei atque Israel erunt hæreditas ejus, qui canitur futurus, ipse enim est cui dictum est a Deo et patre suo, *Postula a* Ps. 2, 8.
me, et dabo tibi gentes hæreditatem tuam. Quæ quum in sortem sanctorum transierint, contraria ipsi Israel fore divinat. Ait igitur, *et Israel fecit in robore:* fecit autem in robore omnium maximum scelus; quapropter excitabitur et exurget. Quis tandem iste nisi is qui a

των μεγίστην ἀσέβειαν· διὸ ἐξεγερθήσεται ἀπ᾽ αὐτῶν
10 καὶ ἐξαναστήσεται. Τίς οὗτος ἢ ὁ προφητευόμενος τοῦ Θεοῦ Λόγος, ὃς καὶ ἀπώλεσε σωζόμενον ἐκ πόλεως; Οἶμαι δὲ τὴν Ἱερουσαλὴμ αἰνίττεσθαι, ἐξ ἧς ὤλετο πᾶς σωζόμενος, ἢ καὶ τὸ πᾶν τοῦ ἔθνους αὐτῶν πολίτευμα. Ταῦτα δὲ [t]ὁποίου τέλους ἔτυχεν, ὁμοῦ τῇ τοῦ Σωτῆρος c ἡμῶν εἰς ἀνθρώπους ἐκλάμψει τῶν μὲν πρὶν εἰδωλολατρῶν ἐθνῶν εἰς τὸν αὐτῶν μεταστάντων κλῆρον, τοῦ δὲ Ἰουδαίων ἔθνους καὶ τῆς μητροπόλεως αὐτῶν πεπονθότων ὁποῖα οὐδεπώποτε, οὐ μακρῶν δεῖν οἶμαι λόγων.

11 Ἀλλὰ τὰ μὲν τῆς συμφωνίας τῆς τε προφητικῆς προρρήσεως καὶ τῆς εὐαγγελικῆς συμπεράνσεως ὧδέ πως ἐχέτω [u]τέλους· τί δ᾽ ἦν τὸ αἴτιον τῆς ἐπιλάμψεως τοῦ φανέντος ἀστέρος συνιδεῖν ἄξιον. Εἰς σημεῖα φησὶν ὁ Μωσῆς, καὶ εἰς καιροὺς τεθεῖσθαι τοὺς πάντας ἐν τῷ στερεώματι ὑπὸ τοῦ Θεοῦ ἀστέρας· ξένος δὲ [x]ἦν καὶ οὐ συνήθης, οὐδὲ τῶν πολλῶν καὶ γνωρίμων εἷς, ἀλλά τις d καινὸς καὶ νέος [y]ἀστὴρ ἐπιφανεὶς τῷ βίῳ σημεῖον ξένου φωστῆρος ἐδήλου καταλάμψαντος τῷ παντὶ κόσμῳ, ὃς

[t] ὅποι] ὁποίου P. [u] τέλος] τέλους P. [x] οὖν] ἦν P.
[y] ἀστὴρ P. in marg.

prophetis canitur Deus Verbum, qui etiam perdidit eum qui servatur ex civitate? Quibus verbis ipsam Hierusalem significari arbitror: ex qua periit omnis quicunque superstes mansit, aut etiam omne ejus gentis civile institutum. Hæc autem quemnam exitum sortita sint, quum gentes prius simulachra colentes una cum Salvatoris nostri inter homines exortu in illorum sortem translatæ sint, Judaica vero gens et Judæorum mater civitas ea perpessæ sint, quæ nunquam antea, non longiori arbitror oratione indigere ut apertius ostendatur.

Attamen quæ ad consensum pertinent tum propheticæ prædictionis, tum evangelicæ consummationis, talem sane habeant exitum. Cæterum quæ tandem causa extitit, propter quam stella, quæ tum visa est, illuxerit, quæ quidem causa contemplatu digna sit? Moses quidem *in signa* ait *et tempora* in firmamento a Deo posita fuisse sidera universa. At vero hoc et peregrinum et insolitum, neque idem ex multis et cognitis unum, sed novum potius quoddam neque antea visum sidus, quod vitæ hominum illuxit, recentis cujusdam luminaris signum, quod universum mundum illustraret, indicabat:

ἦν ὁ Χριστὸς τοῦ Θεοῦ, μέγας καὶ νέος ἀστήρ, οὗ τὴν εἰκόνα συμβολικῶς ὁ φανεὶς τότε τοῖς μάγοις ἐπεφέρετο.
12 Ἐπειδὴ γὰρ καθ' ὅλης τῆς ἱερᾶς καὶ θεοπνεύστου γραφῆς ὁ προηγούμενος τῆς διανοίας σκοπὸς μυστικώτερα καὶ θεῖα βούλεται παιδεύειν μετὰ τοῦ καὶ τὴν πρόχειρον διάνοιαν σώζεσθαι ἐν μέρει [z] τῶν ἱστορικῶς πεπραγμένων, εἰκότως καὶ ἡ μετὰ χεῖρας πρόρρησις ἐπληροῦτο πρὸς λέξιν ἐπὶ τῇ τοῦ προαναφωνηθέντος ἀστέρος ἐπὶ
13 τῇ γενέσει τοῦ Σωτῆρος ἡμῶν προφητείᾳ. [a] Γίγνονται p. 420
μὲν οὖν καὶ ἐφ' ἑτέρων ἐπιδόξων καὶ ἐπιφανῶν ἀνδρῶν ξενιζόντων ἀστέρων ἐκλάμψεις, οἷον τῶν καλουμένων παρά τισι κομητῶν, ἢ [b] δοκίδων, ἢ πωγωνιῶν, ἤ τινων ἑτέρων τούτοις παραπλησίων ἐπὶ μεγάλοις πράγμασιν
14 ἐξ ἔθους ἀναφαινομένων. Ἀλλὰ τί γὰρ κρεῖττον ἢ μεῖζον τῷ παντὶ κόσμῳ γένοιτ' ἄν ποτε, [c] ἢ τὸ διὰ τῆς σωτηρίου ἐπιφανείας πᾶσιν ὑπάρξαν ἀνθρώποις νοερὸν φῶς, εὐσεβείας καὶ θεογνωσίας ἀληθοῦς κατάληψιν b
λογικαῖς ψυχαῖς κομιζόμενον; οὗ δὴ χάριν τὸ μέγα

[z] τῶν add. P. [a] σημ S. in marg. [b] δωκίδων—πωγωνίων P.
[c] ἢ τὸ] οἷον τὸ P. Mox τῆς add. S.

quod quidem luminare Christus Dei erat, ingens illud novumque sidus, cujus imaginem ex comparatione ac similitudine quadam illud, quod tunc magis apparuit, referebat. Quum enim per totam sacrosanctam et a divino spiritu traditam scripturam, si quis eam ad sensum interpretetur, primum sit propositum ut mystica quædam divinaque doceat, servato tamen saltem in parte etiam vulgari apertoque sensu eorum quæ historice gesta sunt: merito hoc quoque quod nunc tractatur oraculum in ejus sideris prophetia, quod in ortu Salvatoris nostri oriturum denunciabatur, etiam ad verbum completum est. Existunt quidem aliis quoque gloriosis et illustribus viris insolitarum stellarum ignes, ut earum quæ a quibusdam crinitæ vocantur, item quæ trabes, aut quæ barbæ similitudinem ferentes, utque etiam quarundam aliarum his similium, quæ magnis imminentibus rebus solent existere. At enim quid tandem aut excellentius aut majus toti mundo unquam contigerit, quam quod per salutarem adventum omnibus illuxit mortalibus intelligentiæ lumen, quod et pietatis et veræ agnitionis Dei perceptionem animis rationalibus attulit? cujus gratia ingens signum id, de quo antea dictum est, indi-

σημεῖον ὁ [d] προφανεὶς ἐδήλου ἀστήρ, μέγαν καὶ νέον
φωστῆρα ἐπιλάμψαντα τῷ παντὶ κόσμῳ τὸν Χριστὸν
15 τοῦ Θεοῦ πᾶσιν αἰνιττόμενος. Κατὰ τὸ αὐτὸ δὲ ἡ
προφητεία ἄνθρωπον ὁμοῦ καὶ ἀστέρα θεσπίζει, δι' ὧν
φησὶν, ἀνατελεῖ ἄστρον ἐξ Ἰακὼβ, καὶ ἀναστήσεται ἄν-
θρωπος ἐξ Ἰσραὴλ, τὸν μὲν οὐράνιον φωστῆρα τὸν Θεὸν
Λόγον εἶναι, τὸν αὐτὸν δὲ ἄνθρωπον ὀνομάζουσα. Δια-
φόρως δὲ αὐτὸν καὶ ἐν ἑτέροις ἀνατολὴν ὁμοῦ καὶ φῶς
καὶ ἥλιον δικαιοσύνης ἀποκαλεῖ, ὡς ἐν τοῖς πρώτοις c
16 ἀπεδείξαμεν. Εἶτα τὸ μὲν θειότερον αὐτοῦ, ἅτε φωτίζον
πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον, τῷ τῆς ἀνατολῆς
ἐπεφήμισε προσρήματι φήσας, ἀνατελεῖ ἄστρον ἐξ Ἰακώβ.
Τὸν δὲ ἄνθρωπον, διὰ τὸ συμβὰν περὶ αὐτὸν πάθος, ὡς
ἂν πεπτωκότα ἀναστήσεσθαι θεσπίζει, ὁμοίως οἷς καὶ
Ἡσαΐας περὶ αὐτοῦ φησὶ, καὶ ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαὶ,
καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν, ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι.
Καὶ σαφές γε τίνα τρόπον τὸ φῶς τοῦ Σωτῆρος ἡμῶν
ἐκ τοῦ Ἰακὼβ ἀνατεῖλαν, τοῦτ' ἔστιν ἀπὸ τοῦ ἐκ περι-
τομῆς λαοῦ, πᾶσι τοῖς ἔθνεσιν ἀλλ' οὐχὶ τῷ Ἰακὼβ, d
17 ὅθεν καὶ προῆλθεν, ἐξέλαμψε. Τοῦτο δὲ καὶ ἀπὸ πλεί-

[d] προφανὴς] προφανεὶς P.

cabat sidus, dum ingens et novum luminare quod totum illustravit mundum Christum utique Dei omnibus significat. Eodem vero loco prophetia et hominem et sidus futurum divinat, his verbis, *Exorietur stella ex Jacob, et surget homo ex Israel:* utpote quæ et cœleste luminare Deum Verbum esse significet, et tamen eundem hominem appellet. Varie porro illum aliis quoque in locis et ortum simul et lumen et solem justitiæ vocat, ut in prioribus libris ostendimus.
Jo. 1, 9. Cæterum quod quidem in illo divinius est, *tanquam id quod illuminet omnem hominem venientem in hunc mundum*, ortus vocabulo celebravit, in hunc modum, *Orietur stella ex Jacob.* Hominem vero eundem propter afflictionem ac mortem quam pertulit, tanquam eum qui ceciderit, surrecturum divinat, quibus similia de eodem Esaias canit, *Et erit radix Jessæ, et qui surgit ut imperet gentibus: in eo gentes sperabunt.* Et manifestum quidem est, quonam modo Salvatoris nostri lumen de Jacob exortum, hoc est, de Judaico populo, non ipsi Jacob unde profectum est sed omnibus gentibus illuxerit.

στων ἑτέρων πάρεστιν ἐκλαβεῖν προφητειῶν, ὡς πρὸς
αὐτὸν φασκουσῶν τὸν Χριστὸν, ἰδοὺ τέθεικά σε εἰς δια-
θήκην γένους, εἰς φῶς ἐθνῶν· οὐ μὴν ἀλλὰ καὶ ἐκ τῶν τοῦ
Βαλαὰμ λόγων, δι' ὧν φησὶν, ἐξελεύσεται ἐκ τοῦ σπέρ-
18 ματος αὐτοῦ ἄνθρωπος, καὶ κυριεύσει ἐθνῶν πολλῶν. Τίνος
δὲ ἐκ σπέρματος ἢ τοῦ Ἰσραὴλ, ὡς ἡ σύμφρασις παρ-
έστησε; Καὶ δὴ κυριεύσας ἐθνῶν ὁ τοῦ Σωτῆρος ἡμῶν
Λόγος [e]ἀκολούθως τῇ προφητείᾳ τὰς πάλαι πρότερον
αὐτῶν ἀρχούσας ἀοράτους καὶ μοχθηρὰς δυνάμεις καθ-
εῖλε, καὶ τὰ πνευματικὰ τῆς πονηρίας, τό τε στῖφος τὸ
δαιμονικὸν, ἀρχηγοὺς Μωὰβ, καὶ Σὴθ, καὶ Ἐδὼμ, καὶ
Ἠσαῦ τροπικώτερον ἐν τοῖς μετὰ χεῖρας ὠνομασμένα. p. 421
19 Ἀσαφῶς δὲ κείμενον παρὰ τοῖς Ἑβδομήκοντα τὸ, δείξω
αὐτῷ, καὶ οὐχὶ νῦν, μακαρίζω καὶ οὐκ ἐγγίζει, σαφέστερον
ὁ μὲν Ἀκύλας ἐξέδωκεν, ὄψομαι αὐτὸν, καὶ οὐ νῦν, προσ-
κοπῶ [f]αὐτὸν, ἀλλ' οὐκ ἐγγύς· ὁ δὲ Σύμμαχος λευκό-
20 τερον, φήσας, ὁρῶ αὐτὸν, ἀλλ' οὐκ ἐγγύς. Λέγοιτο δ'
ἂν ταῦτα ὑπὸ τοῦ Βαλαὰμ ὡς μακροῖς ὕστερον μετ'
αὐτὸν χρόνοις μελλόντων ἐπιτελεσθήσεσθαι τῶν δηλου-

[e] ἀκολούθως—αὐτῶν add. P. cum interprete. [f] αὐτὸν add. P.

Hoc vero quum ex aliis plurimis prophetiis discere possumus, tanquam ad ipsum Christum dicentibus, *Ecce posui te in testamentum generis, in lumen gentium:* tum etiam ex ipsius Balaam verbis, quæ sic habent, *Egredietur de semine ejus homo, et dominabitur gentibus multis.* Atqui de quonam alio semine, quam de Israel, ut facile constat ex ipsius orationis contextu? Proinde jam gentium dominatu accepto Salvatoris nostri Verbum, cum ipsa prophetia concordans, omnes quæcunque illis quondam imperabant invisibiles et perniciosas potestates delevit, nec non spiritualia malitiæ, catervamque dæmonicam, quæ ductores Moab, et Seth, et Edom, et Esau, figuratius in iis, quæ nunc tractamus, denominata sunt. Quum autem apud LXX obscurius positum sit illud, *Ostendam illi, sed non nunc, beatum dico sed non appropinquat,* idem illud apertius Aquila edidit, *Videbo illum sed non nunc, prospicio illum, sed non prope.* Symmachus autem candidius, *Video,* inquit, *illum, sed non prope.* Dici vero hæc videntur a Balaam, tanquam longis deinceps post ipsum temporibus perficienda essent ea, quæ ab ipso canebantur: nam duobus millibus an-

μένων· μετὰ γοῦν δισχιλιοστὸν ἔτος τῆς προρρήσεως
ἐπληροῦτο ταῦτα ἐπὶ τῆς τοῦ Σωτῆρος ἡμῶν εἰς ἀνθρώ- b
πους ἐπιδημίας.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

Ὡς ὁ Κύριος ἐπιβὰς οὗ ἀνείληφεν ἐξ ἁγίας παρθένου σώματος, ἥξειν εἰς Αἴγυπτον ῥητῶς τε καὶ κατὰ διάνοιαν ἐθεσπίζετο, πᾶσά τε ἐπὶ τῆς παρουσίας αὐτοῦ καθαιρεθήσεσθαι τῶν ἐθνῶν δεισιδαιμονία.

2 Ἰδοὺ Κύριος κάθηται ἐπὶ νεφέλης κούφης, καὶ ἥξει εἰς
Αἴγυπτον, καὶ σεισθήσεται τὰ χειροποίητα Αἰγύπτου ἀπὸ
προσώπου αὐτοῦ, καὶ ἡ καρδία αὐτῶν ἡττηθήσεται ἐν αὐτοῖς.

Τὸ δ' αἴτιον τοῦ τὸν Κύριον ἥξειν εἰς Αἴγυπτον
θεσπίζεσθαι τόδε μοὶ εἶναι δοκεῖ. [g] Πρῶτοι μὲν πάντων
Αἰγύπτιοι τῆς πολυθέου καὶ δαιμονικῆς πλάνης ἀπάρξα- d
σθαι λέγονται, καὶ τοῖς λοιποῖς πᾶσιν ἀνθρώποις αἴτιοι
καταστῆναι δεισιδαιμονίας, ἀλλὰ καὶ πάντων μᾶλλον
περὶ τὰς δαιμονικὰς ἐνεργείας τε καὶ [h] περιεργίας ἠσχο-
2 λῆσθαι. Οὗτοι δὲ καὶ ὑπὸ τῆς ἐνθέου γραφῆς ἐχθροὶ
τοῦ λαοῦ τοῦ Θεοῦ ἄνωθεν καὶ ἐξ ἀρχῆς γεγονέναι με-
μαρτύρηνται, καὶ ὅγε παλαιὸς αὐτῶν βασιλεὺς ὁμολογῶν
μὴ εἰδέναι τὸν Κύριον ἀναγέγραπται, ὅτε δὴ ἔφασκεν,
οὐκ οἶδα τὸν Κύριον, καὶ τὸν Ἰσραὴλ οὐκ [i] ἐξαποστέλλω.
Τὸ δὴ οὖν μέγα θαῦμα τῆς ἐνθέου τοῦ Χριστοῦ δυνά-

[g] Πρῶτοι] πρῶτον P. [h] περιεργείας] περιεργίας P. ut vulg. S. [i] ἐξαποστελῶ] ἐξαποστέλλω P.

norum post illud vaticinium complecta sunt hæc, quo videlicet tempore Salvator noster cum hominibus versatus est.

AB ESAIA.

Es. 19, 1. Quemadmodum Dominus insistens illud quod de sancta virgine assumpsit corpus, venturus in Ægyptum, et secundum verba, et secundum sententiam prædictus est, omnisque in ejus adventu evertenda gentium superstitio,

2 *Ecce Dominus sedet super nube levi, et veniet in Ægyptum: et commovebuntur manufacta Ægypti a facie ejus, et cor eorum vincetur in ipsis.* Causa porro cur Dominus ita in Ægyptum destinetur venturus hæc mihi esse videtur. Primi siquidem omnium Ægyptii errori colendi multos Deos ac dæmonas initium dedisse dicuntur, et reliquis universis mortalibus superstitionis authores extitisse, quin etiam omnium aliorum maxime dæmonicis operationibus et curiositatibus studuisse: iidem præterea ab ipsa scriptura divina hostes populi Dei fuisse perhibentur. Sed antiquus quoque ipsorum rex fateri se non nosse Dominum palam descriptus est, dum sic ait [Ex. 5, 2], *Non novi Dominum et Israel non emittam.* Ergo ingens quoddam divinæ Christi virtutis miraculum exhibere nobis volens prophetica oratio

μεως παραστῆσαι βουλόμενος ὁ λόγος θεσπίζει τοῦ
Κυρίου τὴν εἰς Αἴγυπτον ἄφιξιν, ἐφ' ᾗ μεταβολὴν οὐ p. 422
τὴν τυχοῦσαν τῶν Αἰγυπτίων ἔσεσθαι προφητεύει, λέ-
γων ἑξῆς, *καὶ γνώσονται οἱ Αἰγύπτιοι τὸν Κύριον, οἱ πρὶν*
μὴ [k] *εἰδότες αὐτόν, καὶ εὔξονται τῷ Κυρίῳ εὐχάς*, καὶ τὰ
3 τούτοις παραπλήσια. Ἀνωτέρω μὲν οὖν ἐν τῷ πρὸ
τούτου κεφαλαίῳ κληρονομία τοῦ θεσπιζομένου Ἐδὼμ
καὶ Ἠσαῦ ἐλέγετο, τῶν ἀλλοτρίων [l] τοῦ Ἰσραὴλ οὕτω
σημαινομένων· ἐνταῦθα δὲ ἡ Αἴγυπτος [m] καὶ ὁ τῆς Αἰ-
γύπτου λαὸς οὐκ ἔτι τῶν εἰδώλων ἀλλ' αὐτοῦ τοῦ παρὰ b
τοῖς Ἰουδαίων προφήταις θεολογουμένου Κυρίου θεσπί-
4 ζεται. Ἅπερ εἰ μὲν μὴ ὄψει συντελούμενα θεωρεῖται,
οὐκ ἔστιν εἰπεῖν τὴν θεσπιζομένην ἄφιξιν τοῦ Κυρίου
εἰς τὴν Αἴγυπτον γεγονέναι· εἰ δὲ ὑπὲρ πάντα λόγον
ἡ ἀλήθεια μαρτυρεῖ τοῖς πράγμασι, καὶ τοῖς ἀγνωμονε-
στάτοις ἐναργῶς δείκνυσιν αὐτοὺς Αἰγυπτίους τῆς μὲν
ἐξ αἰῶνος πατροπαραδότου δεισιδαιμονίας ἀνακεχωρη-
κότας, οἰκειωθέντας δὲ τῷ Θεῷ τῶν ταῦτα προαναφω-
νησάντων προφητῶν, καὶ τοῦτον μόνον σέβοντας, καὶ c
πάντα θάνατον ἀσπαζομένους ὑπὲρ τῆς εἰς αὐτὸν εὐσε-

[k] εἰδόντες S. [l] τοῦ add. P. [m] καὶ ὁ τ. Αἰ. add. P.

Domini in Ægyptum canit adventum, sub quem non levem futuram Ægyptiorum mutationem divinat deinceps sic dicens, *Et cognoscent Ægyptii Dominum, qui videlicet non cognoscebant illum prius, et vovebunt Domino vota*, et quæ his similia sequuntur. Superiori quidem proximo capite hæreditas ejus, qui venturus canitur, Edom et Esau dicebatur, quippe quum alieni ab Israel eo modo significarentur: hic vero et Ægyptus et Ægypti populus non simulachrorum amplius futurus canitur, sed ejus Domini qui apud Judæorum prophetas pro Deo celebratur. Quæ si oculis completa non cernuntur, ne dicamus sane adventum illum Domini, qui in Ægyptum futurus prædicitur, fuisse adhuc. Sed si supra omnem rationem rebus fidem ipsa veritas facit, atque etiam rudissimis et sensu omni carentibus evidenter ostendit ipsos Ægyptios ab ea superstitione recessisse, quam usque ab initio a patribus suis acceperant, illique Deo adhæsisse, qui a prophetis hæc ipsa divinantibus colebatur, et unum hunc interim colere, neque ullam mortem recusare pro cultu et pietate erga illum :

βείας, ὥρα μὴ ἄλλως ταῦτα γεγονέναι συνομολογεῖν ἢ
τοῦ Κυρίου ἐληλυθότος εἰς Αἴγυπτον ἀκολούθως τῇ
5 προκειμένῃ προρρήσει. Ἔστι μὲν οὖν καὶ ἄλλως τὸν
λόγον αἰνίττεσθαι τροπικῶς τὸν περίγειον κόσμον, εἰς
ὃν ὁ λόγος προφητεύει τὸν Κύριον ἐπὶ νεφέλης κούφης
ἥξειν, οὕτω τὸν ἐκ παρθένου καὶ Πνεύματος ἁγίου
ληφθέντα αὐτῷ ἄνθρωπον αἰνιττόμενος· χειροποίητα δὲ
Αἰγύπτου σεισθήσεσθαι, τὰ τῶν ἐθνῶν ξόανα καὶ τοὺς
ἐν αὐτοῖς δαίμονας, ὡς αὖ πάλιν Αἰγυπτίους ἡττωμένους, d
πάντας τοὺς πάλαι πρότερον περὶ τὴν [n] εἰδωλολατρείαν
6 ἐπτοημένους. Πλὴν ἀλλὰ καὶ σωματικῶς τοῦ Σωτῆρος
ἡμῶν ἐπικομισθέντος τῇ Αἰγυπτίων χώρᾳ, ὅτε κατὰ τὸν
χρησμὸν ἀναστὰς ὁ Ἰωσὴφ παρέλαβε τὴν Μαριὰμ καὶ
τὸ παιδίον καὶ ἦλθεν εἰς Αἴγυπτον, ἀπορρήτῳ δυνάμει
καὶ ἐνεργείᾳ τὰς αὐτόθι τὸ πρὶν οἰκούσας πονηρὰς δυνά-
μεις εἰκὸς οὐ μικρῶς κεκινῆσθαι, καὶ μάλιστα ὅτε διὰ
τῆς μετέπειτα διδασκαλίας αὐτοῦ μυρία πλήθη τῶν τὴν
Αἴγυπτον οἰκούντων, τῆς τῶν δαιμόνων ἀποφυγόντα
πλανήσεως, ἔτι καὶ νῦν τὸν τῶν ὅλων ὁμολογεῖ μόνον

[n] εἰδωλολατρείαν] εἰδωλολατρίαν P.

quid aliud jam superest, nisi ut fateamur non aliter ista contigisse, quam per Domini in Ægyptum adventum, sicut vaticinium proxime expositum significabat? Et nihil quidem impedit aliter quoque idem accipere oraculum, ut videlicet figurate terrenum hunc mundum significet, in quem verba ipsa Dominum super nube levi venturum vaticinentur, quippe quæ hoc modo hominem ab illo de virgine et Spiritu sancto assumptum intelligi velint: manu autem facta Ægypti commovenda, ipsa gentium simulachra, et in illis habitantes dæmonas, sicut rursus Ægyptios victos, omnes prioribus olim temporibus colendis simulachris addictos. Attamen quum etiam ipso corpore Salvator noster in terram Ægyptiam vectus sit, quo tempore oraculo monitus Joseph surrexit Mariamque una cum puerulo accepit et cum occulta sua virtute atque efficacia in Ægyptum pervenit, malignas ibi prius habitantes potestates non mediocriter commotas fuisse par est, et maxime quum postea per illius doctrinam innumerabiles eorum, qui Ægyptum incolunt, conventus ab errore ac fraude dæmonum recedentes, etiam nunc unum universi Deum se nosse

εἰδέναι Θεόν. Τὰ δ' ἐν τοῖς ἑξῆς ἐπιλεγόμενα, αἰνιγματώδη ὄντα πλείονός τε δεόμενα πραγματείας, ἐπ' οἰκείας σχολῆς ἑρμηνεύσομεν. p. 423

ἈΠῸ ΤΩ͂Ν ἈΡΙΘΜΩ͂Ν.

3 Φησὶ Βαλαὰμ υἱὸς Βεὼρ, φησὶν ὁ ἄνθρωπος ὁ ἀληθινῶς b
ὁρῶν, φησὶν ἀκούων λόγια ἰσχυροῦ, ὅστις ὅρασιν Θεοῦ εἶδεν ἐν ὕπνῳ, ἀποκεκαλυμμένοι οἱ ὀφθαλμοὶ αὐτοῦ, ὡς καλοὶ οἱ οἶκοί σου Ἰακὼβ, αἱ σκηναί σου Ἰσραὴλ, ὡσεὶ νάπαι σκιάζουσαι, καὶ ὡς παράδεισος ἐπὶ ποταμῶν, καὶ [o]ὡσεὶ σκηναὶ, ἃς ἔπηξε Κύριος, ὡσεὶ κέδροι παρ' ὕδατα. Ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, καὶ κυριεύσει ἐθνῶν πολλῶν, c
καὶ ὑψωθήσεται ἡ [p]Γὼγ βασιλεία, καὶ αὐξηθήσεται ἡ βασιλεία αὐτοῦ. Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰγύπτου, ὡς δόξα μονοκέρωτος αὐτῷ. Ἔδεται ἔθνη ἐχθρῶν αὐτοῦ, καὶ τὰ πάχη αὐτῶν ἐκμυλιεῖ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν. Κατακλιθεὶς ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἐγερεῖ αὐτόν; οἱ εὐλογοῦντές σε εὐλόγηνται, καὶ οἱ καταρώμενοί σε κεκατήρανται.

'Ως ὁ Χριστὸς εἰς Αἴγυπτον ἥξειν, κἀκεῖθεν ἐπανελεύσεσθαι προείρητο.

2 Ἀνωτέρω διὰ τῆς προτεταγμένης προφητείας φήσας ὁ χρησμὸς τὸν Κύριον ἥξειν εἰς Αἴγυπτον, ἐδήλου τὴν d

[o] ὡσεὶ] ὡς αἱ P. [p] γὼν S.

fateantur. Quæ vero deinceps sequuntur, quum obscurioribus figuris implicita sint, curæque ac diligentiæ majoris indigeant, alias seorsum, quum per otium licebit, interpretabimur.

A NUMERIS.

3 *Dixit Balaam filius Beor, dixit homo qui vere videt, dixit qui audit oracula fortis, qui visionem Dei vidit, in somno aperti oculi ejus, quam pulchræ domus tuæ Jacob, tabernacula tua Israel, ut saltus umbrosi, et quasi hortus juxta flumina, et quasi tabernacula quæ fixit Dominus, quasi cedri juxta aquas, egredietur homo de semine ejus, et dominabitur gentibus multis, et extolletur Gog regnum, et augebitur regnum ejus, Deus duxit illum ex Ægypto, quasi gloria rhinocerotis illi, devorabit gentes inimicorum suorum, et crassitudines eorum attenuabit, et jaculis suis feriet inimicum, accubans quievit ut leo, et ut catulus, quis excitabit illum? qui benedicunt tibi, ipsis benedictum est, et qui maledicunt tibi, ipsis maledictum est.* Superius per eam prophetiam quæ proxime exposita est, dum oraculum venturum in Ægyptum Domi-

Num. 24, 3. Quemadmodum Christus in Ægyptum venturus, atque illinc reversurus prædictus fuerit.

τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ διακομιδὴν, τὴν ἅμα
τοῖς γονεῦσιν εἰς Αἴγυπτον αὐτῷ γενησομένην· ἐν τού-
τοις δὲ τὴν ἐπάνοδον ἑξῆς καὶ ἀκολούθως τὴν ἀπ' Αἰ-
γύπτου, ἣν ἅμα τοῖς γονεῦσιν εἰς τὴν γῆν τοῦ Ἰσραὴλ
ἐποιήσατο, θεσπίζει λέγων, Θεὸς ὡδήγησεν αὐτὸν ἐξ Αἰ-
3 γύπτου. Μόνος δὲ ἦν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς
ὁ Χριστὸς τοῦ Θεοῦ καὶ οὐδὲ ἄλλος, ὁ ἐκ τοῦ σπέρματος
Ἰσραὴλ καὶ τοῦ Ἰουδαίων ἔθνους προελθὼν, καὶ πολλῶν
κατακυριεύσας ἐθνῶν, ὥστε ἀναμφιλόγως ὁμολογεῖσθαι
πέρας ἔχειν ἐπ' αὐτῷ καὶ τὴν παροῦσαν πρόρρησιν δι-
αρρήδην ἐκφωνοῦσαν ὅτι δὴ ἐκ τοῦ Ἰουδαίων ἔθνους
ἐξελεύσεταί τις ἄνθρωπος, καὶ κυριεύσει ἐθνῶν πολλῶν. p. 424
4 Ἢ λεγέτω ὁ βουλόμενος, εἰ ἔχοι ἄλλον συστῆσαι τῶν
πώποτε παρ' Ἑβραίοις ἐνδόξων πολλῶν ἐθνῶν ἄρξαντα·
ἀλλ' οὐκ ἂν εἴποι τις, ὅτι μὴ δὲ γέγονεν. Ἐπὶ δέ γε
τοῦ Σωτῆρος ἡμῶν, [q] κἂν ἡμεῖς μὴ λέγωμεν, αὐτή γε ἡ
ἀλήθεια βοήσει καὶ μέγα κεκράξεται, ἄντικρυς παρι-
στῶσα ὅπως ἡ ἔνθεος αὐτοῦ δύναμις διὰ τοῦ ἀναλη-
φθέντος αὐτῷ ἐκ σπέρματος Ἰσραὴλ τοῦ κατὰ σάρκα

[q] ἂν καὶ] κἂν P.

num affirmat, Salvatoris nostri Jesu Christi migrationem una cum parentibus suis in Ægyptum illi ipsi futuram indicabat. Hic autem reditum ab Ægypto, ut ordo postulat, quo in terram Israel una cum parentibus reversus est, canit his verbis, *Deus duxit illum ab Ægypto.* Solus autem extitit Salvator et Dominus noster Jesus, qui Christus est Dei, neque alius præterea quisquam, ex semine Israel et Judaica gente profectus, qui multis dominatus sit gentibus, ut absque hæsitatione fateri necesse sit præsens vaticinium in illo exitum suum invenisse, utpote quod palam enuntiet de Judaica gente egressurum quendam hominem, et dominaturum gentibus multis: aut quivis mihi dicat, utrum habeat ex iis qui apud Hebræos unquam illustres fuerint alium quem proferat, qui multarum gentium dominatum acceperit. Atqui nemo unquam istud dixerit, quoniam ne factum quidem est. At vero in Salvatore nostro, etiam si nos nihil dicamus, ipsa tamen nihilominus veritas clamabit et vehementer vociferabitur, planissime indicans, quemadmodum divina illius virtus per illum, qui ab ipso de semine Israel ratione corporis assumptus est, hominem

ἀνθρώπου ἐκυρίευσε, καὶ εἰσέτι νῦν [r]κυριεύει ἐθνῶν πολ-
5 λῶν. Αὐτὸς ἄρα οὗτος ἐκεῖνος ἦν καὶ οὐδ' ἄλλος, ὃν
ἡ προφητεία προηγόρευσε, καθ' ὃν καὶ ἡ Γὼγ [s]ὑψώθη b
βασιλεία τῆς Χριστοῦ δυνάμεως συναυξούσης. Τοῦτον
δ' ἐνταῦθά [t]φασιν αἰνίττεσθαι καθ' Ἑβραίους τὸν τρό-
πον τὴν τῶν Ῥωμαίων βασιλείαν, ᾗ καὶ συνήκμασεν
6 ἡ Χριστοῦ διδασκαλία. Μέμνηται δὲ τοῦ Γὼγ καὶ ὁ
προφήτης Ἰεζεκιὴλ, ἄρχοντα Ῥὼς Μοσὸχ καὶ Θοβὲλ
ὀνομάζων· διὰ μὲν τοῦ Ῥὼς τὴν Ῥωμαίων, ὡς ἔοικε,
πόλιν αἰνιττόμενος, ἐπεὶ καὶ ἀρχὴ καὶ κεφαλὴ κατὰ τὴν
Ἑβραίων φωνὴν διὰ τοῦ Ῥὼς δηλοῦται· διὰ δὲ τοῦ
Μοσὸχ, τὴν Μυσίαν καὶ τὰ πέριξ ταύτης ἔθνη, ὅσα νῦν c
οἰκεῖα Ῥωμαίων ἐστὶ, διὰ δὲ τοῦ Θοβὲλ τὴν Ἰβηρίαν
[u]ὁ Ἰώσηπος δηλοῖ, ἀπὸ τοῦ Θοβὲλ γεγονέναι φάσκων
Θοβεήλους τοὺς Ἴβηρας· ὧν ἁπάντων ἄρχοντα τὸν
Γὼγ ὑψωθήσεσθαί φησιν ἐπὶ τῆς τοῦ προφητευομένου
Χριστοῦ παρουσίας, ὃν ὁ Θεὸς ὡδήγησεν ἐξ Αἰγύπτου,
ὅτε κατὰ τὸν Ματθαῖον ἐπιβουλεύοντος τοῦ Ἡρώδου
παιδὶ ὄντι αὐτῷ χρηματισθεὶς ὁ Ἰωσὴφ παρέλαβε τὸ

[r] κυριεύσει] κυριεύει P. [s] ση^μ S. in marg. [t] φησιν] φασὶν S. [u] οὕτω πῶς] ὁ Ἰώσηπος δηλοῖ P. cum interprete, sine ὁ S.

dominata est, atque etiam nunc dominatur gentibus multis. Hic igitur ille ipse erat, non alius quispiam, quem prophetia prædixerat, cujus tempore etiam Gog regnum in sublime adauctum est, cum eo simul Christi virtute ac potentia crescente. Hoc autem modo aiunt Romanorum regnum secundum Hebræos significari, cum quo simul Christi doctrina robur atque incrementum accepit. Meminit autem Gog etiam propheta Ezechiel, dum *principem Ros, Mosoch et Thobel* nominat, ubi per illud quidem *Ros* Romanorum, ut par est, civitatem significat: quandoquidem principatus et caput ea voce apud Hebræos intelligitur, per *Mosoch* autem Mysiam, et ei finitimas gentes, quæcunque nunc sub Romanorum imperio sunt, et per *Thobel* Hiberiam Josephus intelligit, qui a Thobel dicit factos esse Thobeelos, qui Hiberes dicuntur, quibus omnibus imperantem Gog in sublime adaugendum ait, sub ejus Christi de quo prophetæ loquuntur adventum, quem Deus duxit ex Ægypto, quo tempore, ut apud Matthæum legitur, dum ipsi adhuc puero insidiatur Herodes, Joseph accepto

Ez. 38, 3.

Joseph. Ant. I. 6.

παιδίον καὶ τὴν μητέρα αὐτοῦ, καὶ ἐπανῆλθεν εἰς γῆν Ἰσραήλ. Δόξα δὲ μονοκέρωτος αὐτῷ τῷ Χριστῷ παρῆν, d
διὰ τὸ ἐν αὐτῷ εὐδοκηκέναι κατοικῆσαι πᾶν τὸ πλήρωμα
7 τῆς θεότητος, κατὰ τὸν ἱερὸν ἀπόστολον. Διόπερ ὡς κέρας ἐπιγραφόμενος τὸν τῶν ὅλων Θεὸν καὶ πατέρα αὐτοῦ, μονοκέρως καὶ ἐν ἑτέραις γραφαῖς ὠνομάσθη. Ὁ δ' αὐτὸς τοῦ Θεοῦ Λόγος τοῖς νοητοῖς καὶ λογικοῖς αὑτοῦ βέλεσι τὸν ἐχθρὸν καὶ ἀντικείμενον αὐτῷ διάβολον πάσας τε τὰς [x] ἀμφ' αὐτὸν ἀοράτους καὶ πονηρὰς δυνάμεις διὰ κρείττονος καὶ ἀκαταμάχου δυνάμεως ἤλαυνεν, εἰσέτι τε νῦν κυριεύει ἐθνῶν πολλῶν, ὧν τὰ πάχη καὶ τὸ [y] φρόνημα τῆς σαρκὸς λεπτύνων ἐπὶ τὴν στενὴν
8 ὁδὸν τῆς αἰωνίου ζωῆς ἐπιτηδείους κατασκευάζει. Ἀλλὰ p. 425
καὶ κατακλιθεὶς αὐτὸς οὗτος ὁ ἐξ Ἰσραὴλ προελθὼν ἄνθρωπος, ὁ κατακυριεύσας ἐθνῶν πολλῶν, ἀνεπαύσατο, φησὶν, ὡς λέων, οὕτω δηλῶν ἣν ἀνεδέξατο οἰκονομίαν, καθ' ἣν ὥσπέρ τις βασιλικὸς καὶ θαρραλέος θὴρ ἀνεπαύσατο, μηδενὸς αὐτοῦ τὴν ἀρχὴν καὶ τὴν βασιλείαν [z] μεταστήσασθαι δυναμένου, πάντες τε οἱ τὸν Χριστὸν

[x] ἀφ' P. ἀμφ' αὐτὸν om. S. [y] φρόνιμα S. [z] μεταστήσασθαι] μεταστήσεσθαι P.

oraculo accepit puerum et matrem ejus, et reversus est in terram Israel. *Rhinocerotis* vero *gloria* ipsi Christo adfuit, propterea quod
Col. 2, 9. placuerit in eo *habitare omnem plenitudinem divinitatis*, ut ait sanctus apostolus. Quapropter dum veluti cornu sibi universi Deum patrem adscribit, etiam *unicornis* in aliis quibusdam scripturis est nominatus. Idem porro Dei Verbum intelligibilibus rationalibusque suis sagittis inimicum sibique adversantem diabolum, omnesque circa illum versantes invisibiles et malignas potestates, præstantiori sua et inexpugnabili virtute confixit, atque etiam nunc gentibus multis dominatur, quarum crassitudines et fastum corporeæ massæ extenuans ad angustam æternæ vitæ viam ingrediendam idoneas comparat. Sed etiam recumbens idem hic homo ex Israel profectus, qui multis dominatus est gentibus, *quievit*, inquit, *ut leo*, quibus verbis quam ille assumpsit dispensationem significat, secundum quam quasi quidam regulus et quasi fera quædam audacior quievit, dum illius principatum ac regnum movere loco nemo est qui possit. Omnes autem qui Christo favent ac benedicunt, et tum oratione tum vita

εὐλογοῦντες, λόγῳ τε καὶ βίῳ σεμνύνοντες τὴν ἀρετὴν
τοῦ διδασκάλου, τῆς ἐκ Θεοῦ μετειλήφασιν εὐλογίας,
αὔξοντες ὁσημέραι καὶ πληθύνοντες, κατὰ τὸ, *αὐξάνεσθε,
καὶ πληθύνεσθε, καὶ πληρώσατε τὴν γῆν*, ἀληθέστερον
ἐπ' αὐτῶν καὶ θεοπρεπέστερον τῆς θείας ἐκτελουμένης b
φωνῆς· ὡς ἔμπαλιν οἱ ἀπὸ πρώτης τῆς κατ' αὐτοῦ ἐπι-
βουλῆς εἰσέτι καὶ νῦν αὐτὸν ἐν τοῖς αὐτῶν συνεδρίοις
ἀρώμενοι, τὴν ἐκ Θεοῦ κατάραν ἐξ ἐκείνου καὶ εἰσέτι
9 δεῦρο καθ' ἑαυτῶν ἐπεσπάσαντο. Διὸ καὶ τὴν ἐσχάτην
οὐ μόνον τῆς βασιλείας ἀλλὰ καὶ τοῦ πάλαι σεμνοτάτου
αὐτῶν ἁγιάσματος ἐρημίαν τε καὶ φθορὰν οὐ παύονται
[a] πρὸ ὀφθαλμῶν ὁρῶντες. Ἄξιον δὲ παραθεῖναι τοῖς
μετὰ χεῖρας τὴν πρὸς τὸν Ἰούδαν τοῦ Ἰακὼβ προφη-
τείαν, ἣν καὶ αὐτὴν ἐναργέστατα εἰς τὸν ἡμέτερον c
Σωτῆρα ἐφαρμόζειν προπαρεστήσαμεν, συνιδεῖν τε τὴν
10 ἐν ἑκατέροις συμφωνίαν. Ὡς γὰρ ἐνταῦθα εἴρηται
ἐξελεύσεται ἄνθρωπος ἐκ τοῦ σπέρματος αὐτοῦ, δῆλον δ'
ὅτι τοῦ Ἰακὼβ, οὕτως κἀκεῖ *ἐκ βλαστοῦ υἱέ μου ἀνέβης*
εἴρητο ὑπ' αὐτοῦ τοῦ Ἰακὼβ πρὸς τὸν προφητευόμενον.

[a] ὀφθαλμοῖς] πρὸ ὀφθαλμῶν P.

virtuti præceptoris addunt cultum ac reverentiam, favoris benedictionisque divinæ vicissim participes facti augescunt quotidie ac multiplicantur, utpote quum in ipsis divina illa vox, *Crescite et multiplicamini et replete terram*, et verius et Deo convenientius finem suum consequatur: sicut e contrario, qui a prima adversus illum conspiratione etiam nunc in suis illum conciliis execrantur, Dei in seipsos execrationem ex illo in hunc usque diem contraxerunt. Quapropter non regni solum, sed etiam sui illius, quod honore omni ac reverentia colebant, sanctuarii extremam solitudinem atque interitum in oculis habere atque intueri non desinunt. Non ab re autem fuerit hisce, quæ nunc tractamus, ipsius Jacob ad Judam prophetiam adjungere, quam etiam ipsam evidentissime Salvatori nostro accommodari jam demonstravimus, contemplarique eam, quæ in utrisque est, concordiam: quemadmodum enim hic dictum est, *egredietur homo de semine ejus*, (ipsius videlicet Jacob) ita etiam illic dictum est, *de germine fili mi ascendisti*, ab ipso Jacob, ad eum de quo ipse vaticinatur. Utque in præsenti dicitur illud, *et dominabitur gentibus*

Gen. 1, 28.

Gen. 49, 9.

11 Καὶ ὡς ἐπὶ τοῦ παρόντος λέγεται τὸ, καὶ κυριεύσει ἐθνῶν
πολλῶν, ὁμοίως καὶ ἐν ἐκείνοις τὸ, καὶ αὐτὸς ἔσται προσ-
δοκία ἐθνῶν. Καὶ πάλιν ἐνταῦθα μὲν, ἔδεται, φησὶν, ἔθνη
ἐχθρῶν αὐτοῦ, καὶ ταῖς βολίσιν αὐτοῦ κατατοξεύσει ἐχθρόν· d
ὡσαύτως δὲ καὶ ἐν ἐκείνοις αἱ χεῖρές σου ἐπὶ νώτου τῶν
12 ἐχθρῶν σου ἐλέγετο. Καὶ τὸ, σκύμνος λέοντος Ἰούδα,
καὶ τὸ, ἀναπεσὼν ἐκοιμήθης ὡς λέων, καὶ ὡς σκύμνος, τίς
ἐγερεῖ αὐτὸν, ἐν ἐκείνοις εἰρημένον, οὐδέν μοι δοκεῖ δια-
φέρειν τῆς μετὰ χεῖρας λέξεως φασκούσης, κατακλιθεὶς
ἀνεπαύσατο ὡς λέων, καὶ ὡς σκύμνος, τίς ἀναστήσει αὐτόν;
Ταῦτα δὲ εἰκότως εἰς ταυτὸν συνηγάγομεν, ἵν᾽ ὥσπερ
ἐπὶ στόματος δύο μαρτύρων τῆς ἐν ταῖς προφητείαις συμ-
φωνίας ἡ περὶ τοῦ Σωτῆρος ἡμῶν ἀπόδειξις βεβαιοτέραν
13 [b] λάβοι τὴν κύρωσιν. Πάντα δ᾽ οὖν τὰ εἰς τὴν τοῦ
Ἰακὼβ πρόρρησιν τεθεωρημένα ἁρμόσειεν ἂν καὶ εἰς
τὴν τοῦ Βαλαὰμ, τῆς ὁμοιότητος τῶν λεγομένων ἕνεκα. p. 426
Εἰ δὴ [c] οὖν ἐκεῖνα διὰ πολλῆς ἀποδείξεως ἐπὶ τὸν ἡμέ-
τερον Σωτῆρα πεπληρωμένα συνέστη, ἀκόλουθον ἂν εἴη
καὶ τὰ παρόντα ὁμολογεῖν.

[b] λάβει (οι supra) S. [c] οὖν add. P.

multis, sic in illis quoque illud, *et ipse erit expectatio gentium.* Et rursus hic quidem, *Devorabit*, inquit, *gentes inimicorum suorum, et jaculis suis feriet inimicum :* in illis autem simili ratione illud dictum est, *Manus tuæ in tergo inimicorum tuorum.* Item illud, *Catulus leonis Juda :* et illud, *Recumbens dormivisti, ut leo et ut catulus, quis excitabit illum*, quod in illis dictum est, nihil mihi differre videtur ab eo quod nunc tractamus oraculo, cujus illa sunt verba, *Recumbens quievit ut leo, et ut catulus, quis excitabit illum ?* Hæc autem non ab re unum in locum coëgimus, ut quasi *in ore duorum testium*, ejus quæ in prophetiis spectatur concordiæ de Salvatore nostro demonstratio firmiorem accipiat authoritatem. Sed omnia quæcunque in vaticinium Jacob contemplanda contulimus, huic item quod a Balaam dictum est accommodari poterunt propter eorum quæ dicta sunt similitudinem. Quod si illa in nostro Salvatore completa esse ampliori demonstratione tum constitit, sequitur jam ut præsentia quoque fateamur.

Matth. 18, 16.

ἈΠῸ ΤΟΥ͂ ὨΣΗΈ.

4 Καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα b
τὰ περιτετειχισμένα σου οἰχήσεται. Ὡς ἄρχων Σαλαμὰν
ἐκ τοῦ οἴκου Ἱεροβοάμ, ἐν ἡμέραις πολέμου μητέρα ἐπὶ
τέκνοις ἠδάφισαν. Οὕτω ποιήσω ὑμῖν οἶκος Ἰσραὴλ ἀπὸ
προσώπου τῶν ἀδικιῶν ὑμῶν. Ὄρθρου ἀπερρίφη βασιλεὺς
Ἰσραήλ, διότι νήπιος Ἰσραήλ, καὶ ἐγὼ ἠγάπησα [d]αὐτόν, καὶ
ἐξ Αἰγύπτου μετεκάλεσα τὰ τέκνα αὐτοῦ.

2 Δουλεύσας τῷ Ἑβραϊκῷ ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν c
μου ἐξέδωκεν ὁ Ἀκύλας. Ἀναγκαίως δὲ τὸ ῥητὸν ἐπεση-
μειωσάμην, ἐπείπερ καὶ ὁ Ματθαῖος τέθειται τὴν προ-
φητείαν, ὁπηνίκα εἰς Αἴγυπτον διακομισθῆναι τὸν Ἰη-
σοῦν κἀκεῖθεν ἐπανελθεῖν ἐπὶ τὴν γῆν τοῦ Ἰσραὴλ
ἐδήλου. Εἰ δὲ ἐπιμέμφοιτό τις τῇ εἰς Αἴγυπτον ἀνα-
χωρήσει τοῦ Σωτῆρος ἡμῶν, ἴστω κατὰ λόγον αὐτὴν
3 γεγονέναι. Οὔτε γὰρ ἐπισχεῖν τὸν Ἡρώδην τῆς αὐτο- d
προαιρέτου κακίας προσῆκον ἦν, οὔτ' [e]αὖ βρέφος ἔτ'
ὄντα τὸν Σωτῆρα τῶν θαυμάτων ἀπάρξασθαι καὶ πρὸ
καιροῦ τὴν θείαν ἐπιδείκνυσθαι δύναμιν, ὅπερ ἂν ἐπρά-
χθη, εἰ παραδόξως ἐπιβουλεύοντα αὐτῷ τὸν Ἡρώδην

Ἔτι περὶ τοῦ, ἐξ Αἰγύπτου ἐκάλεσα τὸν υἱόν μου, καὶ περὶ Ἡρώδου τοῦ βασιλέως, καὶ περὶ τῆς καθαιρέσεως τῆς Ἰουδαίων βασιλείας.

[d] αὐτοῦ S. [e] ἂν] αὖ P. ἂν S.

AB OSEE.

4 *Et exurget perditio in populo tuo, et omnia munita tua peribunt, ut princeps Salaman de domo Hieroboam. In diebus belli matrem super filiis alliserunt. Sic faciam vobis domus Israel a facie injuriarum vestrarum. Mane ejecti sunt: ejectus est rex Israel, quoniam infans Israel. Et ego dilexi eum: et ex Ægypto evocavi filios ejus.* Sed Aquila Hebraicæ elocutioni inserviens *ex Ægypto vocavi filium meum* interpretatus est. Ego autem necessario ad verbum notavi locum, quoniam Matthæus quoque posuit prophetiam, ubi in Ægyptum commigrasse Jesum et illinc rediisse in terram Israel indicavit: si quis autem Salvatoris nostri in Ægyptum profectionem accuset, sciat id totum maxima cum ratione factum fuisse. Neque enim Herodis voluntariam malitiam cohibere par erat, neque rursus Salvatorem puerum adhuc miracula exordiri jam tum, atque ante tempus divinam ostentare virtutem: quod sane factum fuisset, si mirabili quadam ratione insidiantem sibi Herodem punitus esset, neque ullo

Os. 10, 14. Item de illo quod dictum est, ex Ægypto vocavi filium meum, et de Herode rege, et eversione regni Judæorum.

μετῆλθεν, μηδαμῶς ὑπομείνας τὴν εἰς Αἴγυπτον ἅμα
4 τοῖς γονεῦσιν ἀναχώρησιν. Ἀλλὰ γὰρ ἦν τῆς κρείτ-
τονος οἰκονομίας ἐπὶ καιροῦ τοῦ προσήκοντος τῶν τῆς
θεότητος ἀπάρξασθαι θαυμάτων ᾧ γε διὰ παντὸς τοῦ
βίου τὸ πρᾷον καὶ ἀνεξίκακον μεμαρτύρηται, προχείρῳ
μὲν εἰς τὰς εὐποιΐας καὶ τὰς κοινὰς εὐεργεσίας [f]γενο-
μένῳ, μηδένα δὲ τῶν μὴ ἀκουόντων ἀμυνομένῳ, μὴ δ'
ὅτε ὡς πρόβατον ἐπὶ σφαγὴν ἤγετο, καὶ [g]ὡς ἀμνὸς ἐναν-
5 τίον τοῦ κείροντος ἄφωνος. Πῶς [h]οὖν εἰκὸς ἦν τὸν p. 427
τοιοῦτον δεῖν ἐν παιδίῳ μὴ οὐχὶ ὑποχωρῆσαι τῇ τοῦ
Ἡρώδου κακίᾳ, ᾧ καὶ ἐν ἀνδρὶ τὸ ἀναχωρεῖν καὶ τοὺς
πονηροὺς ἐκκλίνειν μεμαρτύρηται, ἐπικρύπτεσθαί τε καὶ
ὑποφεύγειν τὸν ἐπὶ ταῖς παραδοξοποιΐας ἔπαινον; παρ-
ῄνει γοῦν τοῖς ὑπ' αὐτοῦ θεραπευομένοις μηδενὶ λέγειν.
6 Εἰ δ' ἐπὶ τὸν λαὸν τὴν προφητείαν ἀναφέροι τις, φάσκων
περὶ τοῦ ἐκ σπέρματος τοῦ Ἰσραὴλ λαοῦ εἰρῆσθαι, ἐπι-
στησάτω τῇ τοῦ λόγου ἀκολουθίᾳ, ταῦτα ἔσεσθαι
φησάσῃ μετὰ τὸ εἰπεῖν ὡς πρὸς αὐτὴν τὴν Ἱερουσαλὴμ,
καὶ ἐξαναστήσεται ἀπώλεια ἐν τῷ λαῷ σου, καὶ πάντα b

[f] γενωμένω S. [g] ὃς S. [h] οὖν om. P.

modo illam in Ægyptum una cum parentibus secessionem pertulisset. Verum enim præstantioris cujusdam dispensationis ac sapientiæ fuit, suo atque accommodato tempore miraculorum, quæ ad divinitatem pertinent, initium facere eum cui in tota vita mansuetudinis et clementiæ testimonium redditum est, quique ad promerendum atque ad communia officia fungenda propensus extitit, nec aliquem unquam eorum qui non ipsi auscultaverunt ultus est, ne tunc quidem quum
Es. 53, 7. *ut ovis ad occisionem ducebatur, atque ut agnus coram tondente se obmutescebat.* Qui autem quæso convenisset, eum, qui talis erat, puerum adhuc Herodis malitiæ non concedere, cui etiam ad virilem ætatem profecto concedendi et malignos declinandi testimonium redditum est, quique et se occultare et in miraculis edendis laudem effugere consueverit? nam quos ipse curasset, iis imperabat ut nemini dicerent. Quod si quis prophetiam hanc ad populum referat, dicatque hæc de populo ex semine Israel oriundo dicta esse, is attendat verborum ordinem in quibus hæc futura dicuntur, postquam dictum est quasi ad ipsam Hierusalem, *et exurget perditio in populo tuo, et omnia munita tua peribunt:* et quæ quidem princeps passus

7 [i]τὰ περιτετειχισμένα σου οἰχήσεται. Καὶ ἅπερ, φησὶν
ὁ τοιόσδε ἄρχων πέπονθεν κατὰ τὸν ἐπελθόντα αὐτῷ
πόλεμον ἐν ᾧ μητέρα ἐπὶ τέκνοις ἠδάφισαν, τὰ παρα-
πλησία καὶ ὑμῖν αὐτοῖς ποιήσω διὰ τὰς κακίας ὑμῶν.
Ὑμῖν δὲ τίσι ἢ τοῖς καλουμένοις Ἰσραηλίταις, οἳ καὶ
ἀπερρίφητε σὺν τῷ βασιλεῖ ὑμῶν, τὸν Ἡρώδην αἰνιτ-
8 τόμενος. Καὶ ταῦτά [k]γε πάντα πεπόνθατε, διότι παῖς,
φησὶν, Ἰσραὴλ, καὶ ἐγὼ ἠγάπησα αὐτὸν, καὶ [l]ἐξ Αἰγύπτου c
ἐκάλεσα τὸν υἱόν μου. Πῶς γὰρ οἷόν τε κατὰ τὸ αὐτὸ
τοῖς αὐτοῖς ἐπιμέμφεσθαι, καὶ πάλιν τοὺς αὐτοὺς ἐπαι-
νεῖν; Ἀλλ' ἣν ὁ ἀληθὴς νοῦς ταύτην ἔχων [m]τὴν θεω-
ρίαν. Ἰσραὴλ γὰρ ὁ Χριστὸς καὶ καθ' ἑτέρας ἀνηγό-
ρευται προφητείας, ὥσπερ οὖν καὶ ἐπὶ τῆς παρούσης.
9 Ἐπειδὴ τοίνυν οὗτος, φησὶν, ὑπήκοός μοι γενόμενος,
μορφὴν δούλου εἴληφε, καὶ γέγονε παιδίον ἀγαπητὸν
ἐμοὶ, πᾶσαν τὴν ἐμὴν ἐκτελέσας βουλὴν, διὰ τοῦτο αὐτὸν d
μὲν ἀπὸ τῆς Αἰγύπτου εἰς ἣν ἐνανθρωπήσας κατελή-
λυθεν, οὕτω δηλουμένου τοῦ περιγείου τόπου, ἢ καὶ ἐξ
αὐτῆς τῆς προχείρου, οἷα γνήσιον [n]καὶ ἀγαπητὸν υἱὸν
ἀνεκαλεσάμην· ὑμᾶς δὲ, τοὺς πρὸς οὓς ὁ λόγος, σὺν καὶ

[i] τὰ add. P. [k] γε] τε P. [l] ἐξ] ἀπ' P. [m] τὴν add. S.
[n] καὶ om. P.

est in bello, in quo matrem super filiis terræ alliserunt, eadem vobis quoque ipsis faciam propter malitias vestras. Vobis porro quibus tandem aliis, nisi qui vocamini Israelitæ, quique etiam rejecti estis cum rege vestro? ubi Herodem obscurius indicat: et hæc omnia passi estis, *quoniam puer*, inquit, *est Israel, et ego dilexi eum: et de Ægypto vocavi filium meum.* Qui enim fieri potest, ut eodem in loco eosdem et accuset et laudet? Sed verus sensus est is, qui hanc habet contemplationem. Israel enim in alia prophetia dictus est Christus, quemadmodum in hac quoque quam nunc tractamus: quoniam igitur hic, inquit, obediens mihi factus formam servi accepit, et factus est puer mihi dilectus, dum omnia quæcunque volo efficit, idcirco illum ex Ægypto, ad quam hominis forma assumpta descendit, dum ea voce terrenus locus significatur, aut etiam ex illa vulgatiore tanquam legitimum dilectumque filium evocavi: vos autem ipsos, ad quos sermo directus est, una cum regno vestro interitus et perditio

τῇ [o] ὑμετέρᾳ βασιλείᾳ ὄλεθρος καὶ ἀπώλεια παραλήψε-
10 ται. Ταῦτα μὲν ἡ προφητεία· πρόδηλον δὲ ὅπως ἀπὸ τῶν τοῦ Σωτῆρος [p] ἡμῶν χρόνων πολιορκηθείσης τῆς Ἱερουσαλὴμ [q] καθῃρέθη καὶ εἰς τὸ παντελὲς ἀπερρίφη ἡ μέχρι τότε συστᾶσα τοῦ Ἰουδαίων ἔθνους αὐτονομία
11 τε καὶ ἀρχή. Πλὴν ἀλλὰ τρίτον ἤδη τὰ περὶ τῆς Αἰγύπτου καὶ τῆς αὐτόθι ἀφίξεως αὐτοῦ πεπροφήτευται. Εἰ δέ τις αὐτὰ μηδαμῶς ἐφαρμόζειν ἐπὶ τὸν ἡμέτερον λέγοι Σωτῆρα, [r] ἀλλά γε τῆς τοῦ Ματθαίου παραθέσεως ἀπὸ τῆς παρὰ Μωσεῖ μαρτυρίας αὐτῷ παρειλημμένα, ἣν καὶ ἀρτίως διεληλύθαμεν τὸ ὁ Θεὸς ὡδήγησεν αὐτὸν ἐξ p. 428
Αἰγύπτου διηγούμενοι, ἐπεὶ μὴ δ' αὐτὸς ὁ εὐαγγελιστὴς ἀπὸ τῆς τοῦ Ὠσηὲ προφητείας εἰλῆφθαι αὐτῷ τὸ λόγιον ἔφησεν, ὡς δύνασθαι καὶ πόθεν ἐπιζητήσαντας εὑρεῖν αὐτὸ κείμενον, ὅθεν εἰκὸς τὸν εὐαγγελιστὴν πεποιῆσθαι αὐτοῦ τὴν ἔκθεσιν.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

5 Φωνὴ βοῶντος ἐν τῇ ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, b
Περὶ τοῦ κατὰ τὴν εὐθείας ποιεῖτε τὰς τρίβους αὐτοῦ. Πᾶσα φάραγξ πληρω-

[o] ἡμετέρα S. [p] ὑμῶν S. [q] κατηρέθη S. [r] ἀλλὰ τά γε] ἀλλά γε P. Sequentia nescio an corrupta sint.

comprehendet. Hæc quidem ipsa prophetia: constat autem quemadmodum post Salvatoris nostri tempora, quum obsessa fuisset ac vastata Hierusalem, sublatus est et ad extremam perniciem rejectus, qui usque ad illud tempus steterat, Judaicæ gentis legum usus omnisque principatus. Veruntamen jam tertio, quæ ad Ægyptum pertinent, quæque ad iter quod in illam est factum, divinitus prædicta sunt. Quod si quis nullo modo fateatur ea nostro Salvatori convenire, at saltem quum ea Matthæus apposuerit de testimonio quod est apud Mosem ab illo accepta, ne neget, quod paulo ante tractavimus,
Num. 24, 8. dum illud, *Deus duxit illum ex Ægypto,* enarraremus, quando ne ipse quidem evangelista se ab ipsius Oseæ prophetia oraculum accepisse indicavit, ut undecunque quærentes possint illud ubicunque positum sit invenire: ibi videlicet unde par est evangelistam illud protulisse.

AB ESAIA.

5 *Vox clamantis in deserto: parate viam Domini: rectas facite se-*
Es. 40, 3. De Joannis *mitas ejus. Omnis vallis implebitur, et omnis mons et collis humilia-*

θήσεται, καὶ πᾶν ὄρος, καὶ βουνὸς ταπεινωθήσεται, καὶ ἔσται ἔρημον Ἰωάννου κηρύγματος.
τὰ σκολιὰ εἰς εὐθεῖαν, καὶ αἱ τραχεῖαι εἰς ὁδοὺς λείας. Καὶ
ὀφθήσεται ἡ δόξα Κυρίου, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτή-
ριον τοῦ Θεοῦ, ὅτι Κύριος ἐλάλησεν.

2 Ἔδει καὶ ταύτην ἐπὶ τῶν χρόνων τοῦ Σωτῆρος ἡμῶν
ἐπὶ πέρας ἐλθεῖν τὴν πρόρρησιν. Διόπερ κατὰ τὸν c
εὐαγγελιστὴν Λουκᾶν, ἐν ἔτει πεντεκαιδεκάτῳ τῆς ἡγεμο-
νίας Τιβερίου Καίσαρος, ἐπιτροπεύοντος Ποντίου Πιλάτου
τῆς Ἰουδαίας, καὶ τῶν τούτῳ συναριθμουμένων, ἐγένετο ῥῆμα
Θεοῦ ἐπὶ Ἰωάννην, τὸν τοῦ Ζαχαρίου υἱὸν, ἐν τῇ ἐρήμῳ. Ὃς
ἐλθὼν εἰς πᾶσαν τὴν περίχωρον τοῦ Ἰορδάνου, ἐκήρυσσε
βάπτισμα μετανοίας εἰς ἄφεσιν ἁμαρτιῶν· τούτοις δ' οὖν
ὁ εὐαγγελιστὴς ἐπιμαρτυρεῖ λέγων, καθὼς γέγραπται ἐν
βίβλῳ λόγων Ἡσαΐου τοῦ προφήτου· φωνὴ βοῶντος ἐν τῇ
3 ἐρήμῳ, ἑτοιμάσατε τὴν ὁδὸν Κυρίου, καὶ τὰ ἑξῆς. Τί δὴ
οὖν ἐβόα ἡ διὰ τοῦ Ἰωάννου φωνὴ ἐπὶ τῆς ἐρήμου κη- d
ρύσσουσα, ἢ τοῖς ἐκπορευομένοις ὄχλοις βαπτισθῆναι
ὑπ' αὐτοῦ, ὡς ἑρπετοῖς ἐρήμου τυγχάνουσιν, οἰκείως [s]τῷ
γεννήματα ἐχιδνῶν, τίς ὑπέδειξεν ὑμῖν φυγεῖν ἀπὸ τῆς μελ-
λούσης ὀργῆς; Πάλιν τε αὖ τὰς σκολιὰς ψυχὰς εἰς

[s] τῇ προφητείᾳ] τὸ P.

bitur: et erunt prava in rectam, et asperæ in vias planas: et videbitur gloria Domini. Et videbit omnis caro salutare Dei, quoniam Dominus locutus est. Hoc quoque vaticinium oportebat sub Salvatoris nostri tempus suum finem contingere. Quocirca, ut apud Lucam evangelistam scriptum est, *in anno quinto decimo imperii Tiberii Cæsaris, procurante Pontio Pilato Judæam, cæterisque imperantibus qui cum hoc connumerantur, factum est verbum Dei ad Joannem, Zachariæ filium, in deserto. Et quum venisset in omnem terram, quæ est circum Jordanem, prædicavit baptisma pœnitentiæ in remissionem peccatorum.* Hisce autem evangelista adjicit testimonium, dicens, *sicut scriptum est in libro sermonum Esaiæ prophetæ, Vox clamantis in deserto: parate viam Domini:* et quæ sequuntur. Quid igitur tandem aliud clamabat Joannis illa in deserto prædicans vox ad turbas exeuntes ut ab ipso baptizarentur, tanquam ad reptilia deserti, quam conveniens accommodatumque illud, *Germina viperarum, quis ostendit vobis fugere a ventura ira?* Et rursus dum pravas animas in rectas, et asperas in

In deserto prædicatione.

Luc. 3, 1.

εὐθείας, καὶ τὰς τραχείας εἰς ὁδοὺς λείας μετασκευά-
ζουσα ἔφασκε τοῖς αὐτοῖς, ποιήσατε οὖν καρποὺς ἀξίους
4 τῆς μετανοίας. Καὶ ταῦτά γε συνετελεῖτο προπαρα-
σκευάζοντος Ἰωάννου τοὺς ὀψομένους τὴν δόξαν Κυρίου,
καὶ τὸ καλούμενον σωτήριον τοῦ Θεοῦ, οὐκ ἄλλον ὄντα
τοῦ Χριστοῦ, ὡς ἐμαρτύρει λέγων, ἐγὼ μὲν ὑμᾶς ὕδατι
βαπτίζω, ἔρχεται δὲ ὁ ἰσχυρότερός μου ὀπίσω μου, οὗ οὐκ p. 429
εἰμὶ ἄξιος τὰ ὑποδήματα βαστάσαι, αὐτὸς ὑμᾶς βαπτίσει
5 ἐν Πνεύματι ἁγίῳ καὶ πυρί. Ὃς καὶ ἰδὼν τὸν Ἰησοῦν
ἐρχόμενον ἀνεφώνησεν, ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν
ἁμαρτίαν τοῦ κόσμου. Οὗτός ἐστι περὶ οὗ [t] ἐγὼ εἶπον
ὀπίσω μου ἔρχεται ἀνὴρ, ὃς ἔμπροσθέν μου γέγονε. Τὸν
αὐτὸν δὲ εἶναι τὸ σωτήριον τοῦ Θεοῦ καὶ ὁ Συμεὼν ἐμαρ-
τύρησεν, ὃς λαβὼν ἐπὶ ταῖς ἀγκάλαις βρέφος ὄντα τὸν
Ἰησοῦν, ἔφη, Νῦν ἀπολύεις τὸν δοῦλόν σου, δέσποτα, κατὰ
τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτή-
ριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, b
6 φῶς εἰς ἀποκάλυψιν ἐθνῶν. Οἷς συνᾴδει καὶ ὁ προφή-
της εἰπὼν, καὶ ὄψεται πᾶσα σὰρξ τὸ σωτήριον τοῦ Θεοῦ.
Τὸ γὰρ πᾶσα σὰρξ ἀντὶ πάντων εἴρηται τῶν ἐθνῶν.

[t] ἐγὼ om. S.

vias planas reparat, dicebat iisdem, *Facite igitur fructus dignos pœnitentiæ.* Et hæc scilicet complebantur, dum Joannes præparabat eos qui visuri erant gloriam Domini, et quod vocatur *salutare Dei*, quod quidem nihil aliud est quam Christus, sicut verbis illis testificabatur, *Ego quidem vos aqua baptizo : venit autem fortior me post me, cujus non sum dignus calciamenta gestare. Ipse vos baptizabit in Spiritu sancto et igne.* Qui etiam quum Jesum vidisset venientem, excla-
Jo. 1, 29. mavit, *Ecce agnus Dei qui tollit peccatum mundi. Hic est, de quo ego dixi : post me venit vir, qui ante me factus est.* Quod vero idem esset *salutare Dei* Simeon quoque testificatus est, qui accepto in
Luc. 2, 29. ulnas puero Jesu, dixit, *Nunc dimittis servum tuum Domine secundum verbum tuum in pace, quia viderunt oculi mei salutare tuum, quod parasti ante faciem omnium populorum, lumen ad revelationem gentium.* Quibus etiam propheta consentit, dum ait, *Et videbit omnis caro salutare Dei.* Illud enim, *omnis caro*, pro omnibus gentibus dictum est. Ut autem demonstretur quomodo hæc suum finem contigerint,

7 Ὅπως δὲ ταῦτα τέλους ἔτυχε, καὶ τὰ ἔθνη τὸν Χριστὸν
ἐπέγνω τοῦ Θεοῦ, μακρῶν οὐ δεῖ λόγων. Καὶ τὰ μὲν
ῥητὰ τοῦτον ἐπληροῦτο τὸν τρόπον. Τί δ' ἦν τὸ αἴτιον
τοῦ μὴ ἐν πόλεσι, μὴ δ' ἐπ' αὐτῆς τῆς Ἱερουσαλὴμ, ἀλλ'
ἐπὶ τῆς ἐρήμου Ἰωάννην παρελθόντα κηρύττειν; Ὁ μέν
τις φήσαι ἂν εἰς ἀποπλήρωσιν τῆς προφητείας τοῦτο c
8 αὐτὸν πεποιηκέναι. Ἀλλ' ὁ ἀκριβὴς εὐθέως ἐξετάζων,
αὕτη δὲ ἡ προφητεία τί ποτ' ἄρα σημαίνειν βουλομένη
τὴν ἔρημον καὶ τὰ κατ' αὐτὴν ἐδήλου, πεύσεται· πρὸς
ὃν φήσομεν ὅτι καὶ τοῦτο σημεῖον ἦν καθαιρέσεως τῆς
Ἱερουσαλὴμ, καὶ τοῦ πρὸς αὐτῇ θυσιαστηρίου, τῆς τε
κατὰ τὸν Μωσέως νόμον λατρείας, ὅτε μηκέτ' αὐτοῖς διὰ
τῶν κατὰ νόμον θυσιῶν τὰ τῆς [u] ἀφέσεως τῶν ἁμαρτιῶν
προὐξενεῖτο, ἀλλὰ διὰ καθάρσεως λουτροῦ ἐπὶ τῆς πάλαι
διψάδος καὶ ἐρήμου, λέγω δὲ τῆς τῶν ἐθνῶν ἐκκλησίας, d
παραδιδομένου, ἐν ᾗ καὶ ἡ προφητικὴ γενομένη φωνὴ
ἑτοιμάζειν παρακελεύεται τὴν ὁδὸν Κυρίου, τὰς μὲν
κάτω που εἰς βάθος κακίας ὡς ἐν φάραγγι κειμένας
ψυχὰς ἐπαρθήσεσθαι, τὰ δὲ πάλαι ὑψώματα τῆς Ἱερου-

[u] ἐφέσεως S.

et gentes Christum Dei agnoverint, multis non opus est verbis: et quæ quidem ad verbum solent considerari, in hunc completa sunt modum. Cæterum quid quæso fuit in causa, ut non in urbibus neque in ipsa Hierusalem, sed in deserto, Joannes suggestum sibi ad prædicandum elegerit? Ad hoc quispiam fortasse responderit, illum hoc fecisse ut prophetia compleretur. Sed qui exquisitius ac diligentius se doceri voluerit, illico interrogabit, atqui prophetia hæc quid tandem sibi volebat, quum desertum et ea quæ ad id genus pertinent enuntiabat? Cui respondebimus, quod hoc quoque signum erat evertendæ urbis Hierusalem, et ejus quod in ipsa erat altaris, ritusque illius qui secundum Mosaicam legem servabatur, quando non amplius per legitima sacrificia remissio illis peccatorum conciliabatur, sed per purgationem lavacri, quod in olim sitibunda ac deserta, dico autem in collecta de gentibus ecclesia, tradebatur, in qua etiam illa quæ facta est prophetica vox parare viam Domini jubet, dum malitias in imo quodam fundo quasi in convalle positas animarum auferendas, et veteres urbis Hierusalem atque eorum qui in

σαλὴμ, καὶ τῶν ἐπ᾽ αὐτῆς ἀρχόντων τε καὶ βασιλέων, ὄρη καὶ βουνοὺς ὀνομαζόμενα, ταπεινωθήσεσθαι θεσπί-
9 ζουσα. Ὧν ἐπιτελεσθέντων φησὶ, πᾶσα σὰρξ ὄψεται τὸ σωτήριον τοῦ Θεοῦ, δῆλον δ᾽ ὅτι πᾶσα ἡ ἐν σαρκὶ ἐπὶ γῆς ἀναστρέφουσα ψυχὴ Ἑλλήνων ὁμοῦ καὶ βαρβάρων καὶ πάντων ἀπαξαπλῶς τῶν ἐθνῶν, ἃ καὶ τῇ προρρήσει
10 ἀκολούθως εἰς πέρας ἐλθόντα δείκνυται. [x] Ζητῶν δὲ p. 430
παρ᾽ ἐμαυτῷ τί ἄρα ἦν τὸ ἐκπλῆξαν τοὺς πολλοὺς ἐν τῷ Ἰωάννῃ, ὡς θαυμάσαι αὐτὸν καὶ κηρύττοντι βάπτισμα μετανοίας πιστεῦσαι, πάντας τε πανταχόθεν τὰ οἰκεῖα ἀπολιπόντας συρρεῖν ἐπὶ τὴν ἔρημον, μάλιστα ὅτε μηδεμίαν αὐτοῦ πρᾶξιν ἱστοροῦσιν οἱ λόγοι, οὔτε γὰρ νεκροὺς ἐγείρας οὔτε ἕτερα θαύματα πεποιηκὼς ἀναγέγραπται· τί δὴ οὖν ἦν τὸ ἐκπλῆξαν τοὺς πάντας; ἢ μήποτε ὁ ξένος καὶ παραλλάττων [y] τοὺς πολλοὺς αὐτοῦ βίος; προῄει γὰρ ἐκ τῆς ἐρήμου ξένην ἠμφιεσμένος στολὴν, πᾶσαν δὲ τὴν κοινὴν ἀνθρώπων διατριβὴν ἐκ- b
τρεπόμενος, οὔτε γοῦν εἰς κώμην, οὔτε εἰς πόλιν, οὔτε εἰς κοινὸν σύλλογον ἀνδρῶν παρέβαλλεν, ἀλλὰ οὐδὲ τῆς

[x] Ζητῶ] ζητῶν P. [y] τῶν πολλῶν] τοὺς πολλοὺς P.

illa imperabant principum ac regum, qui montes et colles nominantur, altitudines dejiciendas vaticinatur, quibus perfectis, *omnis*, inquit, *caro videbit salutare Dei*. Hoc est omnis quæcunque corpori inclusa in terra versatur anima, tam barbarorum quam Græcorum, hoc est, omnium omnino gentium: quæ quidem ipsi vaticinio consentanea ad suum finem pervenisse demonstrantur. Dum igitur mecum tacitus quæro, oborta mihi est dubitatio, quid tandem illud esset in Joanne quo capta multitudo illa admiraretur hominem, et prædicanti baptisma pœnitentiæ fidem haberet, quidque illud quo ducti omnes undique rebus propriis relictis confluerent in desertum, quum præsertim nulla illius gesta memoriæ prodita sint: neque enim quod aut mortuos excitaverit, aut alia miracula fecerit, scriptum extat. Quid igitur illud erat quod admirabundos omnes redderet? Num forsitan novum et quod a multitudine abhorreret vitæ illius genus? Procedebat enim ex deserto inusitatum indutus habitum, omnemque communem hominum consuetudinem declinans: nam neque in vicum ullum, neque in urbem, neque in communem aliquem

11 κοινῆς μετεῖχε τροφῆς· γέγραπται γοῦν ὡς ἐκ τῆς τοῦ
παιδὸς ἡλικίας ἦν ἐν ταῖς ἐρήμοις, ἕως ἡμέρας ἀναδείξεως
αὐτοῦ πρὸς τὸν Ἰσραήλ· ἀλλὰ καὶ τὸ ἔνδυμα αὐτοῦ ἦν
ἐκ τριχῶν καμήλων πεποιημένον, ἡ δὲ τροφὴ αὐτοῦ ἀκρίδες
12 καὶ μέλι ἄγριον. Μή πη οὖν ὁρῶντες ἄνδρα, ναζιραῖον c
μὲν Θεοῦ τὴν τρίχα θεοπρεπὲς δὲ πρόσωπον ὑποφαί-
νοντα, σχῆμά τε ξένον περιβολῆς ἠμφιεσμένον, ἀθρόως
ποθὲν ἐξ ἀφανοῦς ἐρήμου φαινόμενον, καὶ μετὰ τὸ κή-
ρυγμα πάλιν εἰς τὴν ἔρημον καὶ εἰς τὸ ἀφανὲς ὑποχω-
ροῦντα, καὶ ἄποτον, ἄτροφον, ἀκοινώνητον τοῖς πολλοῖς,
εἰκότως ἐξεπλήττοντο, μὴ δ' ἄνθρωπον αὐτὸν ὑπονοοῦν-
τες ὑπάρχειν; Πῶς [z] γὰρ οὒ τὸν μὴ δὲ ἐν χρείᾳ τροφῆς
γινόμενον; Διὸ καὶ ἄγγελον [a] αὐτὸν ὑπειλήφεσαν εἶναι,
τοῦτον αὐτὸν ἐκεῖνον τὸν διὰ τοῦ προφήτου δηλούμενον,
κατὰ τὸ, ἰδοὺ ἐγὼ ἀποστέλλω τὸν ἄγγελόν μου πρὸ προσ-
ώπου [b] σου, ὃς κατασκευάσει τὴν ὁδόν σου ἔμπροσθέν σου. d
Κέχρηται γοῦν τῇ παραθέσει καὶ ταύτης τῆς γραφῆς
13 Μάρκος ὁ εὐαγγελιστής. Καὶ ὁ Σωτὴρ δὲ μαρτυρεῖ
λέγων, ἦλθεν Ἰωάννης πρὸς ὑμᾶς μήτε ἐσθίων μήτε πίνων,

[z] γὰρ] γὰρ οὖ S. [a] αὐτὸν add. P. [b] μου Malach. 3, 1. et sic interpres.

virorum cœtum commeabat. Sed ne victu quidem communi vesce-
batur: siquidem scriptum est, quod a puerili ætate *in solitudine ver-* Luc. 1, 80.
saretur ad illum usque diem, quo ipsi Israel ostenderetur. Quin etiam
ejus *vestimentum ex pilis camelorum confectum erat, et cibus erant locustæ* Matth. 3, 4.
et mel sylvestre. Nunquid igitur quum capillo quidem nazirænum Dei
viderent, qui quæ Deum facile deceat faciem ostentaret, vestimenti
autem inusitatum genus indutum, repente nescio unde e latebris
solitudinis prodeuntem, et post prædicationem rursus in solitudinem
et in latebras recedentem, sine potu, sine cibo, abhorrentem a multi-
tudine, merito obstupebant, et ne hominem quidem illum esse arbi-
trabantur? Quidni illum qui vel nullo cibo indigeret? Quocirca
eundem angelum esse credebant illum ipsum de quo propheta lo-
quitur, dum dicit, *Ecce ego mitto angelum meum ante faciem meam,* Marc. 1, 2.
qui parabit vitam tuam ante te. Eundem scripturæ locum Marcus
quoque evangelista citavit. Quin etiam ipse Salvator huic rei testi-
monium exhibet, dicens, *Venit Joannes ad vos, neque comedens neque* Luc. 7, 33.
bibens, et dicitis, dæmonium habet. Incredulos enim et adversus veri-

14 καὶ λέγετε, δαιμόνιον ἔχει. Τοὺς γὰρ ἀπιστοῦντας καὶ
πρὸς τὰ ἀληθῆ δυσχερεῖς καὶ δυσενδότους εἰκὸς ἦν διὰ
τὸν εἰρημένον τοῦ Ἰωάννου βίον τοιαῦτα αὐτὸν βλασφη-
μεῖν, ὡς ἔμπαλιν τοὺς συνῃσθημένους τῆς κατ' αὐτὸν
ἀρετῆς ἄγγελον ὑπολαμβάνειν. Ταῦτα γοῦν ἡγοῦμαι
τοῖς τὸν Ἰωάννην ὁρῶσι θαῦμα περὶ αὐτοῦ παρασχεῖν·
διὸ καὶ συνέτρεχον πανταχόθεν ἐπὶ τὴν δι' αὐτοῦ κηρυτ-
15 τομένην τῆς ψυχῆς κάθαρσιν. Μέμνηται δὲ τῆς κατ' p. 431
αὐτὸν ἱστορίας Ἰώσηπος ἐν ὀκτωκαιδεκάτῳ τῆς Ἰουδαϊκῆς Ἀρχαιολογίας, τοῦτον γράφων τὸν τρόπον· *τισὶ δὲ τῶν Ἰουδαίων ἐδόκει ὀλωλέναι τὸν* [b] *Ἰουδαίων στρατὸν ὑπὸ τοῦ Θεοῦ, καὶ μάλα δικαίως τιννυμένου κατὰ ποινὴν Ἰωάννου τοῦ καλουμένου Βαπτιστοῦ. Κτείνει γὰρ τοῦτον Ἡρώδης ἀγαθὸν ἄνδρα, καὶ τοῖς Ἰουδαίοις κελεύοντα ἀρετὴν ἐπασκοῦσι καὶ τῇ πρὸς ἀλλήλους δικαιοσύνῃ καὶ πρὸς Θεὸν εὐσεβείᾳ* [c] *χρωμένοις βαπτισμῷ συνιέναι. Οὕτω γὰρ δὴ καὶ τὴν βάπτισιν ἀποδεκτὴν αὐτῷ φαίνεσθαι.* b

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ.

6 Ἔτι περὶ

Εὐφράνθητι ἔρημος διψῶσα, ἀγαλλιάσθω ἔρημος, καὶ ἀν- c

[b] Ἰουδαίων στρατὸν] Ἡρώδου σ. Josephus, et sic Euseb. H. E. I. 11.
[c] χρωμένους P.

tatem difficiles et pervicaces credibile est propter illud quo Joannes utebatur vitæ genus talia in illum probra jactasse, sicut e contrario qui virtutis illius sensu afficiebantur, angelum existimasse. Hæc igitur arbitror ipsum Joannem intuentibus admirationem ac stuporem erga hominem attulisse : quapropter ad eam animæ purgationem, quæ ab illo denuntiabatur, undique concurrebant. Meminit autem hujusce, quæ de illo fertur, historiæ etiam Josephus in decimo octavo Judaicæ Antiquitatis libro, in hunc modum scribens, *Nonnulli autem Judæorum putabant ideo periisse Judæorum exercitum, quod Deus justissime ulcisci voluerit supplicium Joannis, qui Baptista vocabatur : hunc enim occiderat Herodes, virum bonum, et Judæos adhortantem ut exercitatione virtutis mutuaque inter seipsos justitia atque erga Deum pietate utentes ad baptismum accederent : sic namque ablutionem quoque ipsi videri acceptam.*

Joseph. Ant. XVIII. 5, 2.

6 AB EODEM.

Es. 35, 1. Item de so-

Lætare solitudo sitiens : exultet desertum, et floreat ut lilium, et

θείτω ὡς κρίνον, καὶ ἐξανθήσει, καὶ ἀγαλλιάσεται τὰ ἔρημα τοῦ Ἰορδάνου, καὶ ἡ δόξα τοῦ Λιβάνου ἐδόθη αὐτῇ, καὶ ἡ τιμὴ τοῦ Καρμήλου, καὶ ὁ λαός μου ὄψεται τὴν δόξαν Κυρίου.

τῆς ἐρήμου, καὶ αὐτοῦ δὴ ὀνομαστὶ τοῦ Ἰορδάνου ποταμοῦ παρ' ᾧ Ἰωάννης ἐβάπτιζεν.

2 Οἷς ἐπιλέγει,

Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα, παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ [d] φοβεῖσθε. Ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει. Αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθή- d σονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται· τοτὲ ἁλεῖται ὡς ἔλαφος ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογιλάλων· ὅτι ἐρράγη ἐν τῇ ἐρήμῳ ὕδωρ, καὶ φάραγξ ἐν γῇ διψώσῃ.

3 Καὶ ταῦτα διὰ τῶν τοῦ Σωτῆρος ἡμῶν προφανῶς παραδόξων ἔργων ἐπληροῦτο μετὰ τὸ Ἰωάννου κήρυγμα. Ὅρα τοιγαροῦν ὅπως τὴν ἔρημον εὐαγγελίζεται, οὐχ ἁπλῶς, οὐδὲ τὴν τυχοῦσαν, ἀλλ' ἐκείνην ἀφωρισμένως
4 καὶ μόνην τὴν παρὰ τῷ Ἰορδάνῃ ποταμῷ. Ἐπειδήπερ παρὰ ταύτῃ διατρίβων ὁ Ἰωάννης ἐβάπτιζεν, ὡς ἡ γραφὴ μαρτυρεῖ λέγουσα, ἐγένετο Ἰωάννης ἐν τῇ ἐρήμῳ βαπτίζων, καὶ ἐξεπορεύετο πρὸς αὐτὸν πᾶσα ἡ Ἰουδαία χώρα, καὶ οἱ

[d] φοβῆσθε S. et mox ἥξῃ.

efflorebunt et exultabunt deserta Jordanis, et gloria Libani data est ei, et honor Carmeli, et populus meus videbit gloriam Domini. Quibus adjungit, *Convalescite manus remissæ, et genua soluta: consolamini pusillanimes intellectu: confirmamini, ne timete. Ecce Deus noster judicium reddit, et reddet. Ipse veniet et salvabit nos. Tunc aperientur oculi cæcorum, et aures surdorum audient. Tunc saliet, ut cervus, claudus, et plana erit lingua mutorum. Quoniam erupit in deserto aqua, et scissura inundans in terra sitienti.* Hæc autem Salvatoris nostri plane admirabilibus gestis completa sunt post Joannis prædicationem. Contemplare igitur, quemadmodum solitudinem evangelice instruit, neque id simpliciter aut quamvis solitudinem, sed definite illam et solam, quæ est apud Jordanem fluvium: quandoquidem juxta hanc versans Joannes baptizabat, ut scriptura ipsa fidem facit, dicens, *Erat Joannes in solitudine baptizans, et exibat ad illum omnis Judæa regio, et Hierosolymorum incolæ omnes, et baptiza-*

litudine, ipsoque nominatim Jordane fluvio, apud quem Joannes baptizabat.

Ἱεροσολυμῖται πάντες, καὶ ἐβαπτίζοντο ὑπ' αὐτοῦ ἐν τῷ
5 Ἰορδάνῃ. Τὴν μὲν οὖν ἔρημον τῆς πάλαι πάντων τῶν
κατὰ Θεὸν ἀγαθῶν ἐρήμου, λέγω δὴ τῆς ἐξ ἐθνῶν ἐκ- p. 432
κλησίας, σύμβολον περιέχειν ἡγοῦμαι, τὸν δὲ ποταμὸν
τὸν ἐπὶ τῆς ἐρήμου καθαίροντα πάντας τοὺς ἀπολουο-
μένους ἐν αὐτῷ καθαρσίου τινὸς εἶναι κατὰ διάνοιαν
θεωρουμένου εἰκόνα, περὶ οὗ διαλαλοῦσιν αἱ γραφαὶ
λέγουσαι, τοῦ ποταμοῦ τὰ ὁρμήματα εὐφραίνουσι τὴν πόλιν
6 τοῦ Θεοῦ. Σημαίνει δὲ τοῦτο τὴν ἀέναον ἐπιρροὴν τοῦ
θείου πνεύματος ἄνωθεν πηγάζοντος καὶ τὴν τοῦ Θεοῦ
πόλιν ἄρδοντος, οὕτω καλουμένης τῆς κατὰ Θεὸν πολι-
τείας. Οὗτος δὴ οὖν [e] ὁ ποταμὸς τοῦ Θεοῦ καὶ μέχρι
τῆς ἐρήμου κατελήλυθεν, δηλαδὴ τῆς ἐξ ἐθνῶν ἐκκλη- b
σίας, καὶ ταύτῃ τῶν ἐν αὐτῷ ζωτικῶν ναμάτων εἰσέτι
νῦν ἐπιχορηγεῖ. Πρὸς τούτοις ἡ προφητεία τῇ δηλω-
θείσῃ ἐρήμῳ δοθήσεσθαί φησι τὴν δόξαν τοῦ Λιβάνου
7 καὶ τὴν τιμὴν τοῦ Καρμήλου. Τίς δ' ἔστιν ἡ δόξα τοῦ
Λιβάνου, ἢ ἡ διὰ θυσιῶν κατὰ τὸν Μωσέως νόμον ἐπι-
τελουμένη λατρεία, ἣν παραιτησάμενος ὁ Θεὸς διὰ τῆς
λεγούσης προφητείας, ἵνατί μοι λίβανον ἐκ Σαβὰ [f] φέρετε;

[e] ὁ add. P. [f] φέρεται P. ut vulg. S.

bantur ab illo in Jordane. Hanc igitur solitudinem ejus quæ quondam ab omnibus bonis deserta erat, dico autem collectæ de gentibus ecclesiæ, signum gestare arbitror, ipsum vero fluvium in solitudine purgantem omnes qui in ipso abluerentur, purgationis cujusdam, quæ secundum sententiam intelligatur, imaginem gerere, qua de re
Ps. 46, 4. loquuntur scripturæ dicentes, *Fluminis impetus lætificat civitatem Dei.*
Significat porro hoc perpetuam influxionem divini spiritus, qui desuper inundat, et Dei civitatem irrigat, sic autem vocatur vitæ genus ejus quæ a Deo dirigitur. Hic igitur Dei fluvius usque ad solitudinem devenit, collectam videlicet de gentibus ecclesiam: et huic quas in se ipso habet aquas vitales etiam nunc abunde largitur. Postea idem vaticinium eidem solitudini canit datum iri gloriam Libani, et honorem Carmeli: sed quænam hæc est gloria Carmeli nisi is qui ex lege Mosi per sacrificia celebrabatur ritus? quem ubi repudiavit Deus
Jer. 6, 20. per eam prophetiam quæ ait, *Cur mihi thus de Saba affertis?* Et *quid*

καὶ τί μοὶ πλῆθος τῶν θυσιῶν ὑμῶν; Ἐπὶ τὸν ἔρημον τοῦ
Ἰορδάνου [g] μετατέθεικε τὴν δόξαν τῆς Ἱερουσαλὴμ, τῆς c
κατ᾽ εὐσέβειαν ἀγωγῆς οὐκ ἐπὶ Ἱερουσαλὴμ ἀλλ᾽ ἐπὶ
τῆς ἐρήμου συντελεῖσθαι ἀρξαμένης ἀπὸ τῶν Ἰωάννου
8 χρόνων. Ὡσαύτως δὲ καὶ ἡ τιμὴ τοῦ νόμου τῶν τε
κατ᾽ αὐτὸν σωματικώτερον νενομοθετημένων δέδοται τῇ
ἐρήμῳ τοῦ Ἰορδάνου διὰ τὴν ἀποδοθεῖσαν αἰτίαν, ὅτι
μηκέτ᾽ ἐπὶ [h] τὴν Ἱερουσαλὴμ προσέφευγον οἱ τῆς κατὰ
ψυχὴν θεραπείας δεόμενοι, ἀλλὰ ἐπὶ τὴν ὀνομαζομένην
ἔρημον, τῆς ἐν αὐτῇ κηρυττομένης ἀφέσεως τῶν ἁμαρ- d
9 τημάτων ἕνεκεν. Οἶμαι δὲ καὶ τοῦ Σωτῆρος ἡμῶν τὴν
ἐπὶ τὸ βάπτισμα παρουσίαν δηλοῦσθαι διὰ τοῦ, καὶ ὁ
λαός μου ὄψεται τὴν δόξαν Κυρίου, καὶ τὸ ὕψος τοῦ Θεοῦ.
Τότε γὰρ καὶ ὤφθη τοῦ Σωτῆρος ἡμῶν ἡ δόξα, ὅτε
βαπτισθεὶς ἀνέβη ἀπὸ τοῦ ὕδατος, καὶ ἀνεῴχθησαν αὐτῷ
οἱ οὐρανοὶ, καὶ εἶδε τὸ πνεῦμα τοῦ Θεοῦ καταβαῖνον ὡσεὶ
περιστερὰν, καὶ μένον ἐπ᾽ αὐτόν. Ὅτε καὶ φωνὴ ἐκ τῶν
οὐρανῶν ἠκούσθη λέγουσα, οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπη-
10 τὸς, ἐν ᾧ ηὐδόκησα. Ἀλλὰ καὶ πᾶς ὁ γνησίως ἐπὶ τὸ
τοῦ λουτροῦ παριὼν μυστήριον, τὴν περὶ τοῦ Χριστοῦ

[g] μετατέθηκε] μετατέθεικε P. [h] τὴν] τῆς S.

mihi multitudo sacrificiorum vestrorum? In solitudinem Jordanis transtulit gloriam Hierusalem, postquam ratio pie religioseque vivendi non in Hierusalem sed in deserto consummari cœpta est, quod videlicet accidit post Joannis tempora. Simili ratione etiam honor legis, et eorum quæ in lege corporalius sancita sunt, Jordanis solitudini datus est propter eandem causam, quoniam non amplius in Hierusalem confugiebant qui curationis indigebant ejus quæ ad animum pertinet, sed in id quod nominatur desertum, propter eam quæ in illo prædicabatur remissionem peccatorum. Puto etiam Salvatoris nostri ad baptismum accessum significari illis verbis, *Et populus meus videbit gloriam Domini et altitudinem Dei:* tunc enim visa est Salvatoris nostri gloria, *quum ascendit de aqua, et ei aperti sunt cœli, et vidit spiritum Dei descendentem quasi columbam, et manentem super eo. Quum vox quoque de cœlo audita est, dicens, Hic est filius meus dilectus, in quo mihi complacui.* Sed etiam quicunque legitime ad lavacri mysterium accedit, ubi theologiam de Christo

Es. 1, 11.

Matth. 3, 16.

παραλαβὼν θεολογίαν, τὴν δόξαν αὐτοῦ θεάσεται, λέξων ἂν ὁμοίως τῷ Παύλῳ, εἰ καὶ ἐγνώκαμεν κατὰ σάρκα Χριστὸν, ἀλλὰ νῦν οὐκέτι γινώσκομεν.

ἈΠῸ ΤΟΥ͂ ΨΑΛΜΟΥ͂ ϟʹ. p. 433

Περὶ τοῦ μετὰ τὸ βάπτισμα πειρασμοῦ τοῦ Χριστοῦ.

7 Ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψίστου ἐν σκέπῃ τοῦ Θεοῦ
[i]τοῦ οὐρανοῦ αὐλισθήσεται. Ἐρεῖ τῷ Κυρίῳ, ἀντιλήπτωρ
μου εἶ, καὶ καταφυγή μου, ὁ Θεός μου [k]βοηθός μου, καὶ
ἐλπιῶ ἐπ' αὐτόν. Ὅτι αὐτὸς ῥύσεταί με ἐκ παγίδος θηρευ-
τῶν, καὶ ἀπὸ λόγου ταραχώδους. Ἐν τοῖς μεταφρένοις b
αὐτοῦ ἐπισκιάσει σοὶ, [l]καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς.
2 Ὅπλῳ κυκλώσει σε ἡ ἀλήθεια αὐτοῦ, οὐ φοβηθήσῃ ἀπὸ
φόβου νυκτερινοῦ, ἀπὸ βέλους [m]πετομένου ἡμέρας, ἀπὸ
πράγματος διαπορευομένου ἐν σκότει, ἀπὸ συμπτώματος
καὶ δαιμονίου μεσημβρινοῦ. Πεσεῖται ἐκ τοῦ κλίτους σου
χιλιὰς, καὶ μυριὰς ἐκ δεξιῶν σου, πρός σε δὲ οὐκ ἐγγιεῖ.
Πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀνταπόδοσιν
ἁμαρτωλῶν ὄψει. Ὅτι σὺ, Κύριε, ἡ ἐλπίς μου, τὸν ὕψιστον c
ἔθου καταφυγήν σου. Οὐ προσελεύσεται πρός σε κακὰ, καὶ
3 μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου. Ὅτι τοῖς ἀγγέλοις
αὐτοῦ ἐντελεῖται περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις

[i] τοῦ add. P. [k] βοηθός μου om. S. [l] καὶ add. P. [m] πετωμένου] πετομένου P.

2 Cor. 5, 16. acceperit, gloriam ejus intuebitur, et cum Paulo dicere poterit, *Etsi cognovimus secundum carnem Christum, at nunc tamen non amplius cognoscimus.*

A PSALMO XC.

Ps. 90, 1. De Christi post baptismum tentatione.

7 *Qui habitat in adjutorio altissimi, in protectione Dei cœli commorabitur. Dicet Domino susceptor meus es, et refugium meum, Deus meus adjutor meus, et sperabo in eum: quoniam ipse liberabit me de laqueo venatorum, et ab oratione turbulenta. In scapulis suis obumbrabit tibi, et sub alis ejus sperabis. Scuto circundabit te veritas ejus, non timebis a timore nocturno, a sagitta volante in die, a negotio perambulante in tenebris, ab incursu, et dæmonio meridiano. Cadent a latere tuo mille, et decem millia a dextris tuis: ad te autem non appropinquabit. Verumtamen oculis tuis considerabis, et retributionem peccatorum videbis: quoniam tu Domine spes mea, altissimum posuisti refugium tuum. Non accedent ad te mala, et flagellum non appropinquabit tabernaculo tuo: quoniam angelis suis mandavit de te, ut custodiant te*

ταῖς ὁδοῖς σου. Ἐπὶ χειρῶν ἀροῦσί σε, μή ποτε προσκόψῃς
πρὸς λίθον τὸν [n]πόδα σου. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον
ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δράκοντα.
4 Ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς [o]ὁ Χριστὸς τοῦ
Θεοῦ, καθ' ὃ ἐνηνθρώπει ἐπινοούμενος, ὁ κατοικῶν λέγε-
ται ἐν βοηθείᾳ τοῦ ὑψίστου, ἐν σκέπῃ τοῦ Θεοῦ καὶ πατρὸς d
αὐλιζόμενος. Οὗτος δὴ οὖν μόνον τὸν [p]πατέρα καὶ οὐδ'
ἕτερον καταφυγὴν ἐν τῷ καιρῷ τοῦ κατὰ τὸν διάβολον
πειρασμοῦ κεκτημένος ἐρρύσθη πότε ἐκ τῶν παγίδων
τῶν ἀντικειμένων δυνάμεων, θηρευτῶν νῦν ὀνομαζομένων,
ὁπηνίκα, οἷά τις κοινὸς ἄνθρωπος, ἀνήχθη εἰς τὴν ἔρημον,
πειρασθῆναι ὑπὸ τοῦ διαβόλου, καὶ ἦν ἐν τῇ ἐρήμῳ τεσσα-
ράκοντα ἡμέρας καὶ τεσσαράκοντα νύκτας πειραζόμενος
ὑπὸ τοῦ Σατανᾶ, καὶ ἦν, ὡς ὁ εὐαγγελιστὴς μαρτυρεῖ,
5 μετὰ τῶν θηρίων. Ποίων δὲ τούτων, ἢ ὧν μνημονεύει
ὁ μετὰ χεῖρας Ψαλμὸς, πρὸς τὸν ἐν βοηθείᾳ τοῦ ὑψίστου
κατοικοῦντα λέγων, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ,
καὶ καταπατήσεις λέοντα καὶ δράκοντα. [q]Οὐ μόνον δὲ
ἀπὸ τούτων ῥυσθήσεσθαι τὸν αὐτὸν, ἀλλὰ καὶ ἀπὸ
6 λόγου ταραχώδους φησίν. Τίς δ' ἂν εἴη καὶ οὗτος, ἢ p. 434

[n] πόδαν S. [o] ὁ add. P. [p] σωτῆρα] πατέρα P. [q] Οὐ μόνον —φησὶν ex ed. Paris. exciderunt.

in omnibus viis tuis. In manibus portabunt te, ne forte offendas ad lapidem pedem tuum. Super aspidem et basiliscum ambulabis, et conculcabis leonem et draconem. Salvator et Dominus noster Jesus qui Christus Dei est, dum quatenus homo factus est consideratur, *habitans* dicitur *in adjutorio altissimi, utpote quum in protectione Dei et patris commoretur.* Hic igitur unum patrem nec alium præterea quempiam, quo tempore a diabolo tentatus est, perfugium nactus, liberatus est olim de laqueis adversantium potestatum, quæ *venatores* hoc loco appellantur, quum instar cujusdam communis hominis *ductus est in desertum ut tentaretur a diabolo, et fuit in deserto quadraginta dies et quadraginta noctes, et tentatus est a Satana: fuitque, ut evangelista author est, cum bestiis.* Sed quæ tandem hæ bestiæ nisi quas commemorat is, qui nunc tractatur, Psalmus ad eum, qui in adjutorio altissimi habitat, ubi ait, *super aspidem et basiliscum ambulabis, et conculcabis leonem et draconem?* Cæterum non ab his solum

Matth. 4, 1. Marc. 1, 13.

ὅνπερ αὐτῷ προὔτεινεν ὁ πειράζων κατὰ τὸ ἱερὸν εὐαγγέλιον;

7 Τὸ δ' αἴτιον τοῦ πειράζεσθαι τὸν τηλικοῦτον Σωτῆρα ἡμῶν σκοπῆσαι ἄξιον. Μέλλων ἐξ ἀνθρώπων πᾶσαν νόσον καὶ πᾶσαν μαλακίαν τά τε ἐνοχλοῦντα πνεύματα καὶ τοὺς ἀκαθάρτους δαίμονας ἐξ αἰῶνος μακροῦ τῶν ἐπὶ γῆς πάντων διὰ τῆς πολυθέου δεισιδαιμονίας κεκρατηκότας ἐλαύνειν, οὐκ ἐκ τοῦ ἀφανοῦς ὥσπερ ἐπικρυπτόμενος ἐπὶ τὰ εἰρημένα παρῄει, τοῖς παρενοχλοῦσι δὲ πρότερον ἀοράτοις ἄρχουσι δι' οὗ ἀνείληφεν ἀνθρώπου b
ἐπιστρατεύσας, καὶ εἰς μέσον αὐτοῦ τοῦ διαβόλου καὶ παντὸς τοῦ δαιμονικοῦ στίφους παρελθών, ἐπιβάς τε ἀσπίδι καὶ [r] βασιλίσκῳ, καὶ καταπατήσας λέοντα καὶ δράκοντα, καὶ πολὺ πρότερον καθελὼν τῶν ἀρχοντικῶν ἐχθρῶν χιλιάδας καὶ μυριάδας, τὰς μὲν ἐκ τῶν δεξιῶν τὰς δὲ ἐκ τῶν εὐωνύμων πολεμούσας, ἀρχάς τε καὶ ἐξουσίας, καὶ δὴ καὶ τοὺς λεγομένους *κοσμοκράτορας τοῦ σκότους τούτου, τά τε πνευματικὰ τῆς πονηρίας*, πάντα δὴ οὖν ταῦτα τὸ μηθὲν ἰσχύειν ἀπελέγξας, καὶ τέλος αὐτὸν c

[r] βασιλίσκον P.S.

liberatum iri eum dicit, sed etiam ab oratione turbulenta. At vero quæ tandem hæc fuit oratio, nisi quam illi objecit tentator, ut in sacro evangelio scriptum est?

Operæ autem pretium est contemplari, quæ causa fuerit ut Salvator noster, qui talis tantusque est, tentationem perpessus sit. Quum igitur omnem ex hominibus ægritudinem omnemque languorem infestosque spiritus atque impuros dæmonas, qui plurimis ante sæculis omnes qui in terra versabantur per eam superstitionem quæ multos Deos colit subegerant, esset expulsurus, non ex abdito quasi latitans ad ea quæ dicta sunt accessit, sed contra infestos prius eosdemque invisibiles principes per eum, quem assumpsit hominem, militantium more profectus, et in ipsius diaboli medium omnisque dæmonicæ catervæ progressus, ubi super aspidem et basiliscum ambulavit, et conculcavit leonem et draconem, multoque prius regnantium inimicorum et millia et dena millia subvertit, principatus videlicet ac potestates, alias quidem a dextris alias vero
Eph. 6, 12. a sinistris bellantes, itemque eos, qui *mundi rectores harum tenebrarum*

τὸν τῶν κακῶν ἔξαρχον διάβολον τῷ λόγῳ τοῦ στόματος αὐτοῦ μακρὰν ἀποσοβήσας, [s]διελθών τε καὶ ἐμπεριπατήσας τὴν ἀντικειμένην ἅπασαν δύναμιν, καὶ ἑαυτὸν μὲν παρασχὼν τοῖς θέλουσι προσιέναι καὶ πειράζειν, μηδενὸς δὲ στῆναι πρὸς αὐτὸν δεδυνημένου, οὕτως ἐπὶ τὴν τῶν ἀνθρώπων σωτηρίαν παρῄει. Διὸ καὶ ὁρῶντες αὐτὸν οἱ δαίμονες ἐπεγίνωσκον ἀπὸ τῆς προδηλωθείσης κατὰ τὴν ἔρημον διατριβῆς, φάσκοντες αὐτῷ, τί ἡμῖν καί σοι d
Ἰησοῦ υἱὲ τοῦ Θεοῦ;

8 Ταῦτα μὲν οὖν περὶ τῶνδε. Τὰ δὲ ἑξῆς τοῦ Ψαλμοῦ
πρὸς αὐτὸν ἀναπεφώνηται τὸν Χριστὸν, ἀπὸ τοῦ, ἐν τοῖς
μεταφρένοις αὐτοῦ ἐπισκιάσει σοι, δηλονότι ὁ ὕψιστος,
καὶ ὑπὸ τὰς πτέρυγας αὐτοῦ ἐλπιεῖς, ὅπλῳ κυκλώσει σε
ἡ ἀλήθεια αὐτοῦ. Καὶ ἐπειδήπερ ἡμέραις τεσσαράκοντα
καὶ ταῖς τοσαύταις νυξὶν ἐπειράζετο, περὶ μὲν τῶν ἀμφὶ
τὰς νύκτας ἐπιόντων αὐτῷ [t]λέλεκται, οὐ φοβηθήσῃ ἀπὸ
φόβου νυκτερινοῦ· περὶ δὲ τῶν ἀμφὶ τὰς ἡμέρας αὐτὸν
9 πολεμούντων τὸ, ἀπὸ βέλους πετομένου ἡμέρας. Καὶ
αὖθις περὶ μὲν τῶν ἐν νυκτὶ, ἀπὸ πράγματος ἐν σκότει

[s] διελθόν S. [t] λέληκται S.

dicuntur, ac spiritualia malitiæ: omnia, inquam, hæc ubi nihil posse redarguit, ac denique ipsum malorum principem diabolum verbo oris sui procul extrusit, percurritque atque inambulavit omnem adversantem potestatem, ac seipsum quidem adire ac tentare volentibus exhibuit, nec quisquam omnino adversus illum stare potuit: tum demum ad hominum salutem accessit. Quocirca intuentes illum dæmones agnoscebant propter eam de qua dictum est in deserto commorationem, quum ad ipsum dicerent, *quid nobis et tibi Jesu fili Dei?* Matth. 8, 29.

Hæc igitur de his dicta sunt. Quæ vero deinceps in Psalmo sequuntur ad ipsum Christum enunciantur ex illo, *In scapulis suis obumbrabit tibi,* altissimus videlicet, *et sub alis ejus sperabis, scuto circundabit te veritas ejus,* et quoniam diebus XL noctibusque totidem tentatus est, de iis quidem qui noctu illum invadebant dictum est ad ipsum, *Non timebis a timore nocturno:* de iis vero qui eundem per diem oppugnabant, illud, *a sagitta volante in die.* Item de nocturnis illis, illud, *a negotio perambulante in tenebris.* De diurnis vero illud,

διαπορευομένου· περὶ δὲ τῶν ἐν ἡμέρᾳ, ἀπὸ συμπτώματος
10 καὶ δαιμονίου μεσημβρινοῦ. Εἶτ' ἐπείπερ ἐν τῷ πειράζειν p. 435
δυνάμεις πονηραὶ ἐκύκλουν αὐτὸν, [u]αἱ μὲν τὰ δεξιὰ
πλευρὰ συνεῖχον αὐτοῦ, πολὺ δὲ πλείους τῶν ἀριστερῶν,
ὡς ἂν [x]κραταιότερα μέρη τὰ δεξιὰ, εἰκότως αὐτῷ ἐπι-
λέγεται, πεσεῖται ἐκ τοῦ κλίτους σου χιλιὰς, καὶ μυριὰς
ἐκ δεξιῶν σου, πρός σε δὲ οὐκ ἐγγιεῖ· κλίτους ἀντὶ τοῦ
ἀριστεροῦ ὠνομασμένου, παρασεσιωπημένου δὲ εἰκότως
τοῦ ὀνόματος τοῦ ἀριστεροῦ, τῷ μηδὲν σκαιὸν μὴ δὲ
ἀριστερὸν εὑρίσκεσθαι ἐν αὐτῷ. Καὶ ἐπειδὴ ὅλη μυριὰς,
ὁμοῦ δὲ καὶ χιλιὰς ἔκ τε τοῦ κλίτους αὐτοῦ καὶ ἀπὸ τῶν
δεξιῶν πεσεῖσθαι λέγονται, εἰκότως ἐπὶ τούτοις ἑξῆς b
εἴρηται, πλὴν τοῖς ὀφθαλμοῖς σου κατανοήσεις, καὶ ἀντα-
11 πόδοσιν ἁμαρτωλῶν ὄψει. Καὶ ἔσται ταῦτα, φησὶ, περί
σε τὸν Χριστὸν τοῦ Θεοῦ, ἐπειδήπερ σὺ αὐτὸς ὦ Κύριε,
ὃς τυγχάνεις ὢν ἡ ἐμὴ ἐλπὶς, τὸν ὕψιστον ἔθου καταφυ-
12 γήν σου. Ἔνθα καὶ ἐπιστήσεις τίνα τρόπον ὁ προ-
φήτης πρὸς αὐτὸν τὸν Κύριόν φησιν, ὅτι σὺ, Κύριε, ἐλπίς
μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου, διαιρῶν ἀκριβῶς

[u] καὶ αἱ] καὶ om. P. [x] κρατερώτερα μὲν] κραταιότερα μέρη P.

ab incursu et dæmonio meridiano. Ad hæc, quoniam dum tentabatur malignæ potestates illum circumstabant, et quæ quidem illius latus dextrum stipabant sinistris multo plures erant, utpote quum dextra longe sint valentiora, merito adjungitur ad eundem, *Cadent a latere tuo mille, et decem millia a dextris tuis, ad te autem non appropinquabit.* Ubi a latere dictum est pro eo quod est a sinistro. Quum autem nomen sinistri merito prætermissum sit ac tacitum, ne adversi quippiam aut sinistri in illo reperiri videatur, quumque tota decem millia, necnon ipsa mille, tum a latere ejus, tum a dextris casura esse dicantur, jure optimo post ipsa hæc deinceps dictum est illud, *Verumtamen oculis tuis considerabis, et retributionem peccatorum videbis.* Et hæc, inquit, circum te erunt, qui es Christus Dei, quoniam *tu ipse, qui es spes mea, altissimum posuisti refugium tuum.* Ubi etiam diligenter observabis quonam pacto propheta ad ipsum Dominum dicat, *Quoniam tu Domine spes mea, altissimum posuisti refugium tuum :* ubi exquisite alterum, qui privatim est Dominus, ab altero distinguit qui et hujus ipsius est pater, et præterea Deus altissimus

ἕτερον ἰδίως Κύριον, καὶ τὸν τούτου πατέρα Θεὸν ὕψι-
13 στον. Διὸ ἐπειδήπερ αὐτὸν ὡς πατέρα καὶ Θεὸν ὕψιστον
καταφυγὴν ἑαυτοῦ ὁ Χριστὸς τέθειται, λέλεκται αὐτῷ c
τὸ, οὐ προσελεύσεται πρός σε κακὰ, καὶ μάστιξ οὐκ ἐγ-
γιεῖ τῷ σκηνώματί σου, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται
περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου.
Ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς λίθον τὸν
14 πόδα σου. Καὶ ἐπιμελῶς γε τήρει τίνα τρόπον ἐν τῷ,
ὅτι σὺ, Κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου καταφυγήν σου,
τὸ Κύριε διὰ τοῦ τετραγράμμου ὀνόματος ἐν τῷ Ἑβραϊκῷ
φέρεται, ὅπερ ἀνεκφώνητον εἶναι λέγοντες Ἑβραίων
παῖδες ἐπὶ μόνου τοῦ Θεοῦ παραλαμβάνειν εἰώθασιν· d
ἡμεῖς δὲ καὶ ἐπὶ τῆς τοῦ Λόγου θεότητος ἐν πλείσταις
κείμενον γραφαῖς προαπεδείξαμεν, ὥσπερ καὶ ἐν τῷ
μετὰ χεῖρας Ψαλμῷ, ὅς φησιν εἰς πρόσωπον αὐτοῦ τοῦ
Κυρίου, ὅτι σὺ, Κύριε, ἐλπίς μου, τὸν ὕψιστον ἔθου κατα-
φυγήν σου· μονονουχὶ λέγων, ὅτι σὺ αὐτὸς, ὦ Κύριε, ὃς
ἐμοῦ τοῦ ταῦτα προφητεύοντος ἐλπὶς ὢν τυγχάνεις, μεί-
ζονα σαυτοῦ τὸν Θεὸν τὸν ὕψιστον εἰδὼς ἐκεῖνον, αὐτὸν
15 ἔθου καταφυγήν σου. Ὅθεν καὶ ἐν ἀρχῇ ἐλέγετο τοῦ

dicitur: quapropter, quum illum ut patrem utque Deum altissimum refugium suum Christus posuerit, dictum est ei, illud, *Non accedent ad te mala, et flagellum non appropinquabit tabernaculo tuo. Quoniam angelis suis mandabit de te, ut custodiant te in omnibus viis tuis. In manibus portabunt te, ne forte offendas ad lapidem pedem tuum.* Et sane diligenter observa quonam modo in illo, *Quoniam tu Domine spes mea, altissimum posuisti refugium tuum*, illud, *Domine*, per id nomen quod quatuor literis constat in Hebraico scriptum sit, quod quum inenunciabile esse dicant Hebræi, pro solo Deo et patre usurpare consueverunt, nos autem idem nomen ubi de Verbi quoque divinitate agitur in plurimis positum esse scripturis antea demonstravimus, ut item in eo Psalmo qui nunc in manibus est, qui ait in personam ipsius Domini, *Quoniam tu Domine spes mea, altissimum posuisti refugium tuum,* tanquam si diceret, quoniam tu ipse, o Domine, qui mea spes es divinantis hæc, illum a quo ipse es Deum altissimum nosti et hunc ipsum posuisti refugium tuum, ex quo etiam in principio Psalmi de eodem dicebatur, *Qui habitat in adju-*

Ψαλμοῦ περὶ τοῦ αὐτοῦ, ὁ κατοικῶν ἐν βοηθείᾳ τοῦ ὑψί-
στου ἐν σκέπῃ τοῦ Θεοῦ [y] τοῦ οὐρανοῦ αὐλισθήσεται, ἐρεῖ p. 436
τῷ Κυρίῳ, ἀντιλήπτωρ μου εἶ καὶ καταφυγή μου, ὁ Θεός
16 μου, βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτόν. Ἐπειδὴ τοίνυν σὺ,
ὦ Κύριε, τὸν ὕψιστον ἔθου καταφυγήν σου, τούτου
χάριν αὐτὸς ὁ ὕψιστος, φησὶ, ῥύσεταί σε ἐκ παγίδος θη-
ρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους, καὶ ἐν τοῖς μεταφρένοις
αὐτοῦ ἐπισκιάσει σοι. Διόπερ τὴν τοιαύτην ἔχων πα-
τρικὴν τοῦ ὑψίστου βοήθειαν, οὐ φοβηθήσῃ ἀπὸ φόβου
νυκτερινοῦ, οὔτε ἀπό τινος τῶν προκατειλεγμένων, ἀλλὰ
17 οὐδὲ ἐκ τῶν ἑξῆς ἐπιφερομένων. Ἐπεὶ γὰρ σὺ, Κύριε, τὸν b
ὕψιστον ἔθου καταφυγήν σου, διὰ τοῦτο οὐ προσελεύσεται
πρός σε κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ σκηνώματί σου.
Μάστιγας δὲ τὰς ἀπὸ δαιμόνων ἐνεργείας καὶ ἐν τοῖς
εὐαγγελίοις ὀνομαζομένας ἂν εὕροις, ἃς οὐδὲ πλησιάζειν
τολμᾶν τῷ σκηνώματι τοῦ Χριστοῦ, τουτέστι τῷ σώ-
18 ματι αὐτοῦ, δυνατὰς εἶναί φησι. Πῶς γὰρ ὅτε λόγῳ
μόνον αὐτὰς ἐξ ἀνθρώπων [z] ἤλαυνε; Περὶ τούτου δὲ τοῦ
σκηνώματος καὶ ὁ Δαβίδ ποτε ὤμοσε τῷ Κυρίῳ, καὶ
ηὔξατο τῷ Θεῷ Ἰακὼβ, λέγων, εἰ ἀναβήσομαι ἐπὶ κλίνης c

[y] τοῦ add. S. [z] ἤλασε] ἤλαυνε P.

torio altissimi, in protectione Dei cœli commorabitur. Dicet Domino, susceptor meus es, et refugium meum, Deus meus, adjutor meus, et sperabo in eum: quoniam igitur tu, o Domine, altissimum posuisti refugium tuum, *idcirco,* inquit, *ipse altissimus liberabit te a laqueo venatorum et ab oratione turbulenta, et in scapulis suis obumbrabit tibi.* Quapropter quum tali fultus sis paterno altissimi auxilio, *non timebis a timore nocturno,* neque omnino a quopiam eorum quæ prædicta sunt, ac ne ab iis quidem quæ deinceps adduntur: nam *quoniam tu, Domine, altissimum posuisti refugium tuum, idcirco non accedent ad te mala, et flagellum non appropinquabit tabernaculo tuo.* Flagella porro efficacias ipsorum dæmonum etiam in evangeliis nominari deprehendes, quas ne appropinquare quidem audere idoneas esse ait tabernaculo Christi, hoc est corpori ejus. Qui enim id potuissent, quando solo verbo eas ex hominibus expellebat? De hoc autem tabernaculo etiam David quodam in loco juravit Domino, et votum vovit
Ps. 131, 3. Deo Jacob, his verbis: *Si ascendero in lectum strati mei, si dedero*

στρωμνῆς μου, εἰ δώσω ὕπνον τοῖς ὀφθαλμοῖς μου, καὶ τοῖς
βλεφάροις μου νυσταγμὸν, καὶ ἀνάπαυσιν τοῖς κροτάφοις
μου, ἕως οὗ εὕρω τόπον τῷ Κυρίῳ, σκήνωμα τῷ Θεῷ Ἰακώβ.
19 Καὶ τούτου γε ἕνεκα τοῦ σκηνώματος ἐλέγετο, οὐ φοβη-
θήσῃ ἀπὸ φόβου νυκτερινοῦ· καὶ τὸ, αὐτὸς ῥύσεταί σε ἐκ
παγίδος θηρευτῶν, καὶ ἀπὸ λόγου ταραχώδους· καὶ τὸ, οὐ
προσελεύσεται πρός σε κακὰ, καὶ μάστιξ οὐκ ἐγγιεῖ τῷ
σκηνώματί σου, καὶ ὅσα ἀνθρωπινώτερα περὶ αὐτοῦ λέ- d
λεκται, ὡς καὶ τὸ, τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί
σου, τοῦ διαφυλάξαι σε, καὶ τὸ, ἐπὶ χειρῶν ἀροῦσί σε
20 μήποτε προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ταῦτα γὰρ
οὐκ ἂν ὡς πρὸς Θεὸν λέγεσθαι ἁρμόσοι, πρὸς δὲ τὸ
σκήνωμα αὐτοῦ, ὅπερ δι' ἡμᾶς ἀνείληφεν, ὅτε ὁ Λόγος
σὰρξ ἐγένετο καὶ ἐσκήνωσεν ἐν ἡμῖν. Δοκεῖ δέ μοι καλῶς
ἔχειν ὑπὲρ ἀκριβοῦς βεβαιώσεως τῶν εἰρημένων καὶ τὰς
τῶν λοιπῶν ἑρμηνευτῶν παραθεῖναι φωνάς· ὧν ὁ μὲν
Ἀκύλας οὕτως ἔφησεν, ὅτι σὺ, Κύριε, ἐλπίς μου, ὕψιστον
21 ἔθηκας οἰκητήριόν σου. Οὐ μεταχθήσεται πρός σε κακὰ,
καὶ ἀφὴ οὐκ ἐγγιεῖ ἐν σκέπῃ σου· ὅτι ἀγγέλοις αὐτοῦ
ἐντελεῖται τοῦ φυλάξαι σε ἐν πάσαις ταῖς ὁδοῖς σου. Ὁ

*somnum oculis meis, et palpebris meis dormitationem, et requiem tempo-
ribus meis, donec inveniam locum Domino, tabernaculum Deo Jacob.*
Hujus igitur tabernaculi causa dicebatur, *non timebis a timore noc-
turno:* et illud, *ipse liberabit te de laqueo venatorum, et ab oratione
turbulenta:* et illud, *non accedent ad te mala, et flagellum non appro-
pinquabit tabernaculo tuo:* et quæcunque ad hominem magis spectantia
de illo dicta sunt, sicut etiam illud, *angelis suis mandabit de te, ut
custodiant te:* et illud, *In manibus portabunt te, ne forte offendas ad
lapidem pedem tuum.* Talia enim ad Deum dici nunquam conveniet:
at vero ad tabernaculum ejus, quod propter nos assumpsit, quo tem-
pore verbum *caro factum est et habitavit in nobis*, conveniet. Cæ- Jo. 1, 15.
terum non ab re mihi quidem videbor facere, si quo exquisitius ac
stabilius ea quæ dicta sunt confirmentur, reliquorum quoque inter-
pretum sententias editionesque hoc loco posuero, quorum unus Aquila
in hunc modum reddidit, *Quoniam tu Domine, spes mea altissimum
posuisti habitaculum tuum. Non traducentur ad te mala, et tactus non
appropinquabit in protectione tua: quoniam angelis suis mandabit, ut*

δὲ Σύμμαχος, σὺ γὰρ, Κύριε, ἀφοβία μου, ὑψίστην ἔθου
22 τὴν οἴκησίν σου. Οὐ κατισχύσει σου κακὸν, οὐδὲ ἀφὴ p. 437
ἐγγιεῖ τῇ σκηνῇ σου. Ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται
περί σου, τοῦ διαφυλάξαι σε ἐν πάσαις [a] ταῖς ὁδοῖς.
Οὐκοῦν διὰ τούτων αὐτῶν τῷ Κυρίῳ λέλεκται, ὡς περὶ
ἑτέρου μείζονος, τὸ τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί
σου, τοῦ διαφυλάσσειν σε ἐν πάσαις ταῖς ὁδοῖς. Ἐπὶ χει-
ρῶν ἀροῦσί σε, δηλαδή σε τὸν Κύριον, μήποτε σὺ ὁ Κύριος
23 προσκόψῃς πρὸς λίθον τὸν πόδα σου. Ταύταις δὲ καὶ ὁ
διάβολος ταῖς λέξεσιν ἐν τῷ κατὰ τοῦ Σωτῆρος ἡμῶν
πειρασμῷ κέχρηται, ὅτε παραλαβὼν αὐτὸν εἰς τὴν ἁγίαν b
πόλιν ἔστησεν αὐτὸν ἐπὶ τὸ πτερύγιον τοῦ ἱεροῦ, καὶ εἶπεν
αὐτῷ, Εἰ υἱὸς εἶ τοῦ Θεοῦ, βάλε σεαυτὸν ἐντεῦθεν κάτω.
Γέγραπται γὰρ, ὅτι τοῖς ἀγγέλοις αὐτοῦ ἐντελεῖται περί
σου, καὶ ἐπὶ χειρῶν ἀροῦσί σε, μήποτε προσκόψῃς πρὸς
λίθον τὸν πόδα σου. Πρὸς ὃν ὁ Κύριος ἡμῶν ἀποκριθεὶς
εἶπε, Γέγραπται, οὐκ ἐκπειράσεις Κύριον τὸν Θεόν σου.
24 Εἶτ' ἐπεὶ ἐν τῷ πειρασμῷ μετὰ τῶν θηρίων, κατὰ τὸν
εὐαγγελιστὴν, διέτριβε, ποίων δὲ οὐκ ἀναγέγραπται, c

[a] ταῖς add. P. om. S.

custodiant te in omnibus viis tuis. Sed Symmachus, *Tu enim,* inquit, *Domine securitas mea, altissimam posuisti habitationem tuam. Non invalescet adversum te malum, neque tactus appropinquabit tentorio tuo: quoniam angelis suis mandabit de te, ut custodiant te in omnibus viis.* Igitur hisce ipsis authoribus ad Dominum tanquam de Domino dictum est illud, *Angelis suis mandavit de te, ut custodiant te in omnibus viis tuis. In manibus portabunt te,* videlicet te Dominum, *ne forte tu Dominus offendas ad lapidem pedem tuum.* Quin etiam diabolus in tentatione adversus Salvatorem nostrum eisdem usus est

Matth. 4, 5. verbis, quando *assumptum illum in sanctam civitatem constituit supra pinnaculum templi, et dixit ei, Si filius Dei es, mitte teipsum hinc deorsum. Scriptum est enim, quod angelis suis mandabit de te, et in manibus portabunt te, ne forte offendas ad lapidem pedem tuum. Ad quem Dominus noster respondens ait, Scriptum est, Non tentabis Dominum Deum tuum.* Præterea quoniam in tentatione *cum feris,* ut ipse evangelista est author, versabatur, cum quibus autem non descriptum est palam, eam rem ipsius Psalmi vaticinium, dum genera

σαφέστερον τοῦτο αὐτὸ ἡ τοῦ Ψαλμοῦ προφητεία τὰ εἴδη τῶν θηρίων αἰνιττομένη φησὶν, ἐπὶ ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, καὶ καταπατήσεις λέοντα καὶ δρά-
25 κοντα. Αὐτὸς μὲν οὖν τὰ ἀρχικώτατα τῶν νοητῶν θηρίων λέοντα καὶ δράκοντα, ἀσπίδα [b] τε καὶ βασιλίσκον, αὐτὸν δηλαδὴ τὸν διάβολον, καὶ τὰς μετ' [c] αὐτὸν ἀρχοντικὰς καὶ πονηρὰς δυνάμεις καταπατήσειν μεμαρ-
26 τύρηται. Τοῖς δὲ τὴν ὁμοίαν ἀρετὴν αὐτῷ κεκτημένοις μαθηταῖς καὶ ἀποστόλοις αὐτοῦ τὴν ἐξουσίαν αὐτὸς τοῦ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων δωρεῖται, οὐκ ἐῶν αὐτοὺς πειρασθῆναι ὑπὲρ ὃ δύναιντο· μόνου γὰρ ἦν d
αὐτοῦ τὸ τὰς χείρους ἐν πονηρίᾳ δυνάμεις καὶ αὐτὸν δὴ τὸν πάντων ἄρχοντα καὶ τύραννον τοῦ αἰῶνος τούτου τῇ ἐνθέῳ αὐτοῦ δυνάμει καθαιρεῖν.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

8 Τοῦτο πρῶτον πίε, ταχὺ ποίει, χώρα Ζαβουλὼν, ἡ γῆ p. 438
Νεφθαλεὶμ, καὶ οἱ λοιποὶ οἱ τὴν παραλίαν κατοικοῦντες, καὶ πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς ὁ πορευόμενος ἐν σκότει, ἴδετε φῶς μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ σκιᾷ θανάτου, φῶς λάμψει ἐφ' ὑμᾶς. Τὸ πλεῖ-

Περὶ τῆς Γαλιλαίας τῶν ἐθνῶν, ἐφ' ᾗ ὁ Σωτὴρ

[b] τε add. P. [c] αὐτοῦ] αὐτὸν P.

ferarum commemorat, manifestius eloquitur, his verbis, *Super aspidem et basiliscum ascendes, et conculcabis leonem et draconem:* ubi aspidem et basiliscum, ipsum utique diabolum, et qui ipsum sequuntur, principatus malasque potestates, conculcaturum affirmat. Iis autem, qui similem ipsi virtutem nacti sunt, discipulis utique suis atque apostolis, potestatem incedendi super serpentes et scorpiones donavit, non permittens eos tentari supra quam ferre possent: ad illum enim solum spectabat pejores in nequitia potestates, nec non ipsum omnium principem sæculique hujus tyrannum, divina sua virtute prosternere.

AB ESAIA.

8 *Hoc primum bibe, cito fac, regio Zabulon, terra Nephthalim, et reliqui maritimam incolentes, et trans Jordanem Galilæa gentium, populus ambulans in tenebris, videte lucem magnam, habitantes in regione et umbra mortis lux splendebit super vos. Plurimum populi quod deduxisti in lætitia tua: et lætabuntur coram te, tanquam qui*

Es. 9, 1. De Galilæa gentium, in qua Salvator noster maximam suo-

ἡμῶν τὰ πλεῖστα τῶν παραδόξων εἰργάσατο, καὶ περὶ τῆς τῶν Ἀποστόλων αὐτοῦ κλήσεως.

στον τοῦ λαοῦ ὃ κατήγαγες ἐν εὐφροσύνῃ σου, καὶ εὐφρανθήσονται ἐνώπιόν σου, ὡς οἱ εὐφραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι σκῦλα· διότι ἀφαιρεθήσεται ὁ ζυγὸς b ὁ ἐπ' αὐτῶν κείμενος, καὶ ἡ ῥάβδος ἡ ἐπὶ τοῦ τραχήλου αὐτῶν. Τὴν γὰρ ῥάβδον τῶν ἀπαιτούντων διεσκέδασε Κύριος, ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. Ὅτι πᾶσαν στολὴν ἐπισυνηγμένην [d] δόλῳ, καὶ ἱμάτιον μετὰ καταλλαγῆς ἀποτίσουσι, καὶ θελήσουσιν εἰ ἐγενήθησαν πυρίκαυστοι. Ὅτι παιδίον ἐγεννήθη ἡμῖν, [e] υἱὸς καὶ ἐδόθη ἡμῖν, οὗ ἡ ἀρχὴ ἐγενήθη ἐπὶ τοῦ ὤμου αὐτοῦ, καὶ καλεῖται τὸ ὄνομα αὐτοῦ μεγάλης βουλῆς ἄγγελος, ἄρχων εἰρήνης, ἐξουσιαστὴς, Θεὸς ἰσχυρὸς, πατὴρ τοῦ μέλλοντος αἰῶνος.

2 Πρὸς ἅπασι τοῖς ἄλλοις ἐπληροῦτο καὶ ταῦτα ἐπὶ c τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν τοῦ Θεοῦ, ὅτε κατὰ τὸν θαυμαστὸν εὐαγγελιστὴν, ἀκούσας ὅτι Ἰωάννης παρεδόθη, ἀνεχώρησεν εἰς τὴν Γαλιλαίαν, καὶ καταλιπὼν τὴν Ναζαρὲθ ἐλθὼν κατῴκησεν εἰς Καπερναοὺμ τὴν παραθαλασσίαν, ἐν ὁρίοις Ζαβουλὼν καὶ Νεφθαλεὶμ, ὅπως πληρωθῇ τὸ ῥηθὲν διὰ Ἠσαΐου τοῦ προφήτου λέγοντος, Γῆ Ζαβουλὼν, καὶ γῆ Νεφθαλεὶμ, ὁδὸν θαλάσσης πέραν τοῦ Ἰορδάνου, Γαλιλαία τῶν ἐθνῶν, ὁ λαὸς [f] ὁ καθήμενος ἐν

[d] δούλῳ S. [e] καὶ υἱὸς] υἱὸς καὶ P. [f] ὁ add. P.

rum miraculorum partem edidit, et de apostolorum ipsius vocatione.

lætantur in messe, et quemadmodum qui dividunt spolia: quoniam aufe-retur jugum quod super ipsis positum est, et virga quæ super collo ipsorum. Virgam enim repetentium dissipavit Dominus, sicut in die super Madiam, quoniam omnem vestem congregatam dolo, et vestimentum cum permutatione persolvent, et volent si facti fuerint igne combusti: quoniam puerulus natus est nobis, et filius datus est nobis, cujus principatus extitit super humerum ejus. Et vocabitur nomen ejus magni consilii angelus, princeps pacis, jus et potentiam habens, Deus fortis, pater futuri sæculi. Præter alia omnia completa sunt etiam hæc in Salvatore ac Domino nostro Jesu, qui Christus Dei est, quo tempore, ut divinus evangelista author est, *Audiens quod Joannes traditus esset, secessit in Galilæam, et relicta Nazareth, veniens habitavit in Capernaum juxta mare in finibus Zabulon et Nephthalim, ut impleretur quod dictum est per Esaiam prophetam, dicentem: Terra Zabulon, et terra Nephthalim, viam maris, trans Jordanem Galilæa gentium. Populus*

Matth. 4, 12.

σκότει φῶς εἶδε μέγα, καὶ τοῖς κατοικοῦσιν ἐν χώρᾳ καὶ
σκιᾷ θανάτου, φῶς ἀνέτειλεν αὐτοῖς. Ἀπὸ τότε γοῦν ἤρξατο
ὁ Ἰησοῦς κηρύσσειν καὶ λέγειν, [g] μετανοεῖτε, ὅτι ἤγγικεν d
3 ἡ βασιλεία τῶν οὐρανῶν. Παράγων δὲ παρὰ τὴν θάλασσαν
τῆς Γαλιλαίας εἶδε δύο ἀδελφοὺς, Σίμωνα τὸν καλούμενον
Πέτρον καὶ Ἀνδρέαν τὸν ἀδελφὸν αὐτοῦ βάλλοντας ἀμφί-
βληστρον εἰς τὴν θάλασσαν· ἦσαν γὰρ ἁλιεῖς· καὶ λέγει
αὐτοῖς, δεῦτε ὀπίσω μου, καὶ ποιήσω ὑμᾶς ἁλιεῖς ἀνθρώ-
4 πων. Οἱ δὲ εὐθέως ἀφέντες τὰ δίκτυα [h] ἠκολούθησαν αὐτῷ.
Καὶ προβὰς ἐκεῖθεν εἶδεν ἄλλους δύο ἀδελφοὺς, Ἰάκωβον
τὸν τοῦ Ζεβεδαίου καὶ Ἰωάννην τὸν ἀδελφὸν αὐτοῦ, ἐν τῷ
πλοίῳ μετὰ Ζεβεδαίου τοῦ πατρὸς [i] αὐτῶν καταρτίζοντας
τὰ δίκτυα αὐτῶν, καὶ ἐκάλεσεν αὐτούς· οἱ δὲ εὐθέως
ἀφέντες τὸ πλοῖον καὶ τὸν πατέρα αὐτῶν ἠκολούθησαν
5 αὐτῷ. Καὶ περιῆγεν ὁ Ἰησοῦς ὅλην τὴν Γαλιλαίαν, διδά-
σκων ἐν ταῖς συναγωγαῖς αὐτῶν, καὶ κηρύσσων τὸ εὐαγ- p. 439
γέλιον τῆς βασιλείας, καὶ θεραπεύων πᾶσαν νόσον καὶ
πᾶσαν μαλακίαν ἐν τῷ λαῷ, καὶ ἀπῆλθεν ἡ ἀκοὴ αὐτοῦ
εἰς ὅλην τὴν Συρίαν, καὶ προσήνεγκαν αὐτῷ πάντας τοὺς
κακῶς ἔχοντας, ποικίλαις νόσοις καὶ βασάνοις συνεχομέ-

[g] μετανοεῖτε om. P. habet S. [h] ἀκολούθησαν S. et sic infra p. 439 A. [i] αὐτοῦ S.

sedens in tenebris vidit lucem magnam, et habitantibus in regione et umbra mortis, lux orta est eis. Ex illo igitur cœpit Jesus prædicare et dicere: Pœnitentiam agite, quoniam appropinquavit regnum cœlorum. Præteriens autem juxta mare Galilææ vidit duos fratres, Simonem qui vocatur Petrus et Andream fratrem ejus, mittentes rete in mare: erant enim piscatores: et ait illis, Venite post me, et faciam vos piscatores hominum. Illi autem statim relictis retibus secuti sunt eum. Et profectus inde vidit alios duos fratres, Jacobum Zebedæi et Joannem fratrem ejus, in navi cum Zebedæo patre ipsorum reficientes retia sua, et vocavit eos: illi autem continuo, relicta navi et patre ipsorum, secuti sunt eum. Et circuibat Jesus totam Galilæam docens in conventibus eorum, et prædicans evangelium regni et sanans omnem ægritudinem et omnem languorem in populo. Et abiit opinio ejus in totam Syriam: et afferebant ei omnes male habentes, variis morbis et cruciatibus compre-

νους, δαιμονιζομένους, καὶ σεληνιαζομένους, καὶ παραλυτι-
κοὺς, καὶ ἐθεράπευσεν αὐτοὺς, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι
6 πολλοὶ ἀπὸ τῆς Γαλιλαίας. Ὅλα δὲ ταῦτα ἐκτέθειμαι
τῆς προφητείας ἕνεκεν τῇ Γαλιλαίᾳ μέγα φῶς ἔσεσθαι b
ἐπαγγελλομένης, τῇ τε χώρᾳ Ζαβουλὼν καὶ Νεφθαλεὶμ,
οὐδετέρᾳ τυγχανούσῃ τῆς Γαλιλαίας τῶν ἐθνῶν. Διὰ
τί δὲ ἐπὶ τῆς Γαλιλαίας [k] τῶν ἐθνῶν τὰς πλείστας ἐποι-
ήσατο διατριβάς; Τῆς ἁπάντων τῶν ἐθνῶν κλήσεως
προοίμια καταβαλλόμενος· ἐντεῦθεν γοῦν ὁρμωμένους
7 τοὺς αὐτοῦ μαθητὰς ἀνακέκλητο. Διὸ μετὰ βραχέα
τοῦ εὐαγγελίου εὑρήσεις ἀπὸ τῆς Γαλιλαίας τὸν Ματ-
θαῖον κεκλημένον, καὶ ἐν ἑτέρῳ δὲ πάλιν τὸν Λευίν.
Καὶ ὁ Φίλιππος δὲ κατὰ τὸν Ἰωάννην ἀπὸ Βηθσαϊδὰ
ὡρμᾶτο ἐκ τῆς πόλεως Ἀνδρέου καὶ Πέτρου· καὶ αὕτη
δὲ τῆς Γαλιλαίας ἦν. Ἀλλὰ καὶ παρ' αὐτῷ τῷ εὐαγ- c
γελιστῇ γάμος ἐγένετο ἐν Κανᾷ τῆς Γαλιλαίας, ἔνθα
παραδόξως ὁ Κύριος [l] τὸν ἐξ ὕδατος οἶνον μετασκευά-
σας, ἀρχὴν αὐτόθι τῶν σημείων ἐποιήσατο, ὅτε καὶ ἐφανέρωσε
8 τὴν δόξαν αὐτοῦ, καὶ ἐπίστευσαν οἱ μαθηταί. Θέα δὲ εἰ
μὴ αὐτὸ τοῦτο πρῶτον τοῦ Σωτῆρος ἡμῶν θαῦμα ἐν

[k] *τῶν—ἁπάντων* add. P. cum interprete. [l] *τὸ* S.

hensos, et dæmonia habentes, et lunaticos, et paralyticos, et sanabat eos, et sequebantur eum turbæ multæ a Galilæa. Sane hæc omnia propter prophetiam exposui, quæ in Galilæa magnum lumen fore pollicetur, et in regione Zabulon ac Nephthalim, quum tamen neutra sit Galilæa gentium. Cur autem in Galilæa gentium plurimum diversatus est? Nimirum ut omnium gentium vocationis exordia constitueret, etenim inde profectos discipulos suos evocavit. Quocirca paullo post in eodem evangelio invenies Matthæum de Galilæa vocatum fuisse: et in alio rursus Levi. Philippus autem, ut apud Joannem legitur, de Bethsaida profectus est civitate Andreæ et Petri: atqui hæc ipsa erat Galilææ. Quin etiam apud eundem evangelistam nuptiæ factæ sunt in Cana Galilææ, ubi quum Dominus admirabiliter aquam in
Jo. 2, 11. vinum commutasset, *miraculorum ibidem initium fecit, quo tempore declaravit gloriam suam et crediderunt in eum discipuli.* Considera vero num hoc ipsum primum Salvatoris nostri miraculum, quod in

Κανᾷ τῆς Γαλιλαίας γενόμενον ἐπὶ τῆς [m]τοῦ οἴνου
μεταβολῆς θεσπίζων ἐν ἀρχῇ τῆς προφητείας παρίστη-
σιν ὁ παρὼν λόγος, φάσκων, τοῦτο πρῶτον πίε, ταχὺ
ποίει, χώρα Ζαβουλὼν καὶ γῆ Νεφθαλεὶμ, Γαλιλαία τῶν
9 ἐθνῶν. Εἰ δὲ σύμβολον ἦν τὸ παράδοξον μυστικωτέρου
κράματος, μεταβληθέντος ἐκ τῆς σωματικωτέρας ἐπὶ τὴν d
νοερὰν καὶ πνευματικὴν εὐφροσύνην τοῦ [n]πιστικοῦ τῆς
καινῆς διαθήκης κράματος, ὅρα μήποτε καὶ τοῦτο τοῖς
περὶ τῆς Γαλιλαίας δηλουμένοις ἀκολούθως ᾐνίττετο,
θεσπίζων ὡς ἄρα μελλήσουσιν ἐπὶ τῇ Χριστοῦ παρου-
σίᾳ πρώτιστοι πάντων οἱ τὴν Ζαβουλὼν καὶ Νεφθαλεὶμ
οἰκοῦντες, ἀλλ' οὐχ οἱ τὴν Ἰουδαίαν καὶ τὴν Ἱερουσα-
λὴμ, τοῦ πόματος τοῦ εὐαγγελικοῦ κηρύγματος μετα-
10 λήψεσθαι. Αἰτίαν δὲ τούτοις τῆς εὐφροσύνης φησὶ
γενέσθαι τὴν τοῦ μεγάλου φωτὸς ἔκλαμψιν, οἳ πρὸ τῆς
παρουσίας ἐν σκότει [o]καθεζόμενοι ἐν χώρᾳ καὶ σκιᾷ
θανάτου διῆγον· ἀνατεταλκότος δὲ αὐτοῖς τοῦ σωτηρίου
φωτὸς, τοῦτον εὐφρανθήσονται τὸν τρόπον, ὡς οἱ εὐ-
φραινόμενοι ἐν ἀμητῷ, καὶ ὃν τρόπον οἱ διαιρούμενοι
11 σκῦλα. Καὶ ταῦτα δὲ ἔργῳ ἐπληροῦτο, ὅτε τοὺς ἀπο- p. 440

[m] τοῦ om. S. ubi mox στῇ[μ] in marg. [n] πιστικοῦ] Vid. Casaubon. in Baron. p. 337. [o] κατεζόμενοι S.

Cana Galilææ editum est dum aqua in vinum commutatur, divinans in ipso prophetiæ principio ea quæ nunc tractatur oratio significet illis verbis, *Hoc primum bibe, cito fac, regio Zabulon et terra Nephthalim, Galilæa gentium.* Quod si tale miraculum nota quædam fuit arcanioris mixturæ ex ea commutatæ, quæ ad corpus magis spectaret, in intelligentem ac spiritualem lætitiam spectantis ad fidem novi testamenti mixturæ, vide ne hoc ipsum quoque ad ea quæ de Galilæa dicta sunt accommodate significaverit, canens quemadmodum sub Christi adventum primi omnium ii qui Zabulon ac Nephthalim habitarent, non autem qui Judæam et Hierusalem, potus evangelicæ prædicationis participes futuri essent. Porro his lætitiæ causam ait fuisse ingentis lucis illustrationem, qui quidem ante adventum in tenebris sedentes in regione et umbra mortis sedebant. Exorto autem illis salutari lumine ita lætabuntur, ut ii qui lætantur in messe, utque ii qui dividunt spolia. Hæc vero ipsa re completa sunt, quum

στόλους ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἀπὸ τῆς Γαλιλαίας
προσκαλεσάμενος τὰ παράδοξα τῶν ἔργων καὶ τὴν
12 διδασκαλίαν αὐτοῖς ἐπεδείκνυτο. Εὐφρανθήσεσθαι δὲ
αὐτοὺς ἐναντίον αὐτοῦ ἡ προφητεία θεσπίζει δίκην τῶν
εὐφραινομένων ἐν ἀμητῷ. Ποίῳ δὲ τούτῳ, ἢ περὶ οὗ
διδάσκων αὐτὸς ἔλεγεν, ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν,
καὶ ἴδετε τὰς χώρας, ὅτι λευκαί εἰσι πρὸς θερισμὸν ἤδη;
Ἐδήλου δὲ διὰ τούτων τὴν τῶν ἐθνῶν ἐπισυναγωγήν·
περὶ τῶν αὐτῶν δὲ εἴρηται, ὅτι εὐφρανθήσονται, ὃν τρόπον b
13 οἱ διαιρούμενοι σκῦλα. Διελόμενοι γοῦν εἰς ἀλλήλους
τὰς χώρας τῶν ἐθνῶν καὶ τὴν ὑφ' ἥλιον πᾶσαν οἱ τοῦ
Σωτῆρος ἡμῶν μαθηταί τε καὶ εὐαγγελισταὶ, μυρίους
ὅσους ἐσκύλευσαν ἄρχοντας τοῦ αἰῶνος τούτου, τοὺς
πρότερον τῶν ἐθνῶν κρατοῦντας. Οὐ μὴν ἀλλὰ καὶ
ἄλλο αἴτιον τοῦ εὐφρανθήσεσθαι αὐτούς φησι, τὸ ἦρθαι
ἀπ' αὐτῶν τὸν σωματικὸν τοῦ νόμου ζυγὸν, τὸν πάλαι
πρότερον ἐπικείμενον αὐτοῖς, ὃν οὔτε αὐτοὶ οὔτε οἱ πα-
14 τέρες αὐτῶν ἠδυνήθησαν βαστάσαι. Οὐ μόνον δὲ ὁ c
ζυγὸς ἀφῄρηται αὐτῶν, ἀλλὰ καὶ ἡ ῥάβδος τῶν ἀπαι-
τούντων, ἡ πρότερον ἐπὶ τοῦ τραχήλου αὐτῶν ἐπικειμένη.
Δηλοῖ δὲ τοὺς ἀπαιτοῦντας ἐν ἑτέρῳ, λέγων, λαός μου,

de Galilæa vocatis apostolis mirabilia opera sua et doctrinam Salvator ac Dominus noster illis palam exhibuit: lætaturos autem eos coram ipso prophetia divinat instar lætantium in messe. Sed in qua
Jo. 4, 35. tandem messe, nisi in ea de qua ipse dicebat, *Attollite oculos vestros, et videte regiones, ut albæ sunt ad messem jam nunc?* His autem verbis gentium congregationem significabat: de eisdem vero dictum est, *quod lætabuntur ut ii qui dividunt spolia.* Quum ergo gentium inter se regiones et universam quæ sub sole est terram Salvatoris nostri discipuli atque evangelistæ divisissent, innumerabiles sæculi hujus principes spoliaverunt, eos utique qui prius gentibus imperabant. Attamen aliam quoque causam propter quam lætitia sint afficiendi commemorat, quod auferendum sit ab ipsis corporale legis
Act. 15, 10. jugum jampridem ipsis impositum, quod neque ipsi neque patres ipsorum potuerunt ferre. Cæterum non modo jugum sublatum est ab ipsis, sed etiam virga repetentium, quæ prius in collo ipsorum imposita erat. Declarat porro qui sint repetentes alibi, dicens,

οἱ πράκτορες ὑμῶν καλαμῶνται ὑμᾶς, καὶ οἱ ἀπαιτοῦντες
15 κυριεύουσιν ὑμῶν. Ἀλλ' οὗτοι μὲν οἱ ἀπὸ τῆς Ζαβουλὼν
καὶ Νεφθαλεὶμ τὸ μέγα φῶς τεθεαμένοι εὐφρανθήσονται
διὰ τὰ προειρημένα, οἱ δὲ πάλαι ἀπαιτοῦντες αὐτοὺς
ἐκπραχθήσονται μέχρι κοδράντου ἐσχάτου, πᾶσάν τε
στολὴν καὶ πᾶν ἱμάτιον ἀποτίσαντες πυρίκαυστοι γενή- d
16 σονται ἐν τῷ τῆς ἐκπράξεως καιρῷ. Καὶ ταῦτά γε
πάντα φησὶ πείσεσθαι, διότι παιδίον ἐγεννήθη ἡμῖν, [p] υἱὸς καὶ
ἐδόθη ἡμῖν, ὁ τῆς μεγάλης βουλῆς ἄγγελος. Τίσι δὲ ἡμῖν,
ἢ τοῖς εἰς αὐτὸν πεπιστευκόσι, καὶ πάσῃ δηλαδὴ τῇ
Γαλιλαίᾳ τῶν ἐθνῶν, οἷς τὸ μέγα φῶς ἀνατέταλκε; Τί
[q] δὲ ἦν τοῦτο, ἀλλ' ἢ τὸ γεγεννημένον παιδίον, καὶ ὁ
παρὰ τοῦ Θεοῦ δοθεὶς υἱὸς, μεγάλης βουλῆς ἄγγελος,
καὶ ἄρχων εἰρήνης, καὶ ἐξουσιαστὴς, καὶ Θεὸς ἰσχυρὸς,
καὶ πατὴρ τοῦ μέλλοντος αἰῶνος ὠνομασμένος; Ταῦτα
δὲ ἤδη φθάσαντες ἐπὶ μόνον ἀναφέρεσθαι τὸν Σωτῆρα
καὶ Κύριον ἡμῶν κατὰ τὸν οἰκεῖον καιρὸν προαπεδεί-
ξαμεν.

p καὶ υἱὸς] καὶ om. P. υἱὸς καὶ S. q δὴ] δὲ P. et infra v. 12.

Populus meus, exactores vestri spicas vestras colligunt, et repetentes dominantur vobis. Es. 3, 12. Verum hi quidem a Zabulon et Nephthalim oriundi, qui ingens lumen intuiti sunt, lætabuntur propter illa quæ jam antea dicta sunt, qui vero ab ipsis repetebant, ab iis repetetur usque ad ultimum quadrantem, Matth. 5, 26. iidemque ubi omnem vestem omneque vestimentum persolverint, igne combusti fient in ipso exactionis tempore, omniaque hæc passuros ait, propterea *quod puerulus natus est nobis, et filius datus est nobis, ipse magni consilii angelus.* At vero quibus tandem nobis, nisi qui in ipsum credidimus, et omni videlicet Galilææ gentium, quibus magnum lumen ortum est? Sed quodnam quæso, nisi ipse natus puerulus, et qui a Deo datus est filius, qui magni consilii angelus, et princeps pacis, et jus potentiamque habens, et Deus fortis, et pater futuri sæculi nominatus est? Verum hæc ipsa jam antea ad unum referenda esse Salvatorem Dominumque nostrum suo tempore demonstravimus.

ΑΠΟ ΨΑΛΜΟΥ ξζ΄. p. 441

Περὶ τῆς τῶν ἀποστόλων κλήσεως.

9 Ἐθεωρήθησαν αἱ πορεῖαί σου, ὁ Θεὸς, αἱ πορεῖαι τοῦ
Θεοῦ μου τοῦ βασιλέως, τοῦ ἐν τῷ ἁγίῳ· προέφθασαν ἄρ-
χοντες ἐχόμενοι ψαλλόντων, ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. b
Ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ.
Ἐκεῖ Βενιαμὶν [r]νεώτερος ἐν ἐκστάσει, ἄρχοντες Ἰούδα, ἡγε-
μόνες αὐτῶν, ἄρχοντες Ζαβουλὼν, ἄρχοντες Νεφθαλείμ.

2 Κἀνταῦθα τοὺς δηλουμένους ἄρχοντας Νεφθαλεὶμ
οὐκ ἄλλους ἡγοῦμαι τῶν ἀποστόλων τυγχάνειν. Ἐν-
θένδε γὰρ αὐτοὺς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἀναλέ-
λεκται κατὰ τὴν Ματθαίου παράθεσιν. Τὴν εἰς ἀν-
θρώπους δὲ πορείαν καὶ τὴν ἔνσαρκον ἐπιδημίαν τοῦ
Θεοῦ Λόγου θεσπίζουσα ἡ γραφή φησιν, ἐθεωρήθησαν αἱ c
3 πορεῖαί σου ὁ Θεὸς, καὶ τὰ ἑξῆς. Ταύτης δὲ τῆς ἐπι-
φανείας ὡσανεὶ πρόδρομοι γεγονότες οἱ πάλαι θεοφιλεῖς
προφῆται διὰ ψαλτηρίου καὶ χορῶν καὶ παντοίων πνευ-
ματικῶν ὀργάνων κηρύττοντες καὶ ἀνυμνοῦντες προ-
4 έφθασαν ἐν μέσῳ νεανίδων τυμπανιστριῶν. Πάντως γάρ
που τῶν ἐκ περιτομῆς συναγωγῶν εἰς μέσον παριόντες
οἱ θεῖοι προφῆται τὴν τοῦ Χριστοῦ προκατήγγελλον

[r] νεώτερον S.

A PSALMO LXVII.

Ps. 67, 24. De apostolorum vocatione.

9 *Visa sunt itinera tua Deus, itinera Dei mei regis, qui est in sancto. Prævenerunt principes conjuncti psallentibus in medio adolescentularum tympanistriarum. In ecclesiis benedicite Deo Domino de fontibus Israel. Illic Benjamin junior in mentis excessu, principes Juda, duces ipsorum, principes Zabulon, principes Nephthalim.* Hoc quoque in loco eos, qui dicuntur principes Nephthalim, non alios esse censeo quam apostolos; inde enim eos Salvator ac Dominus noster elegit, ut a Matthæo scriptum est. Ingressum vero ad homines adventumque Dei Verbi cum corpore dum canit scriptura, sic ait, *visa sunt itinera tua Deus,* et cætera. Hujusce porro adventus quum quasi præcursores fuerint veteres Deo amici prophetæ ad Psalterium et ad omnis generis spiratilia instrumenta illum in choris prædicantes et laudibus celebrantes antevenerunt, *in medio adolescentularum tympanistriarum.* Ubique enim in medios Judæorum conventus progressi divini prophetæ Christi tanto ante denunciabant adventum: quin

ἄφιξιν, οἱ δὲ αὐτοὶ τῷ θείῳ πνεύματι τοῖς τοῦ Σωτῆρος d
ἡμῶν ἀποστόλοις [s]προσεφώνουν λέγοντες, ἐν ἐκκλησίαις εὐλογεῖτε τὸν Θεὸν Κύριον ἐκ πηγῶν Ἰσραήλ. Πηγαὶ δὲ Ἰσραὴλ οἱ λόγοι ἂν εἶεν, οἱ τῷ Ἰσραὴλ παραδεδομένοι. Πρῶτοι γὰρ ἐπιστεύθησαν τὰ λόγια τοῦ Θεοῦ, ὅθεν ἀντλοῦντας καὶ ἡμᾶς ἀρδεύειν δεήσει τὰς ἐκκλησίας τοῦ Χριστοῦ. Νεανίδας δὲ καὶ τυμπανιστρίας τὰς πάλαι σωματικώτερον κατὰ τὸν Μωσέως νόμον βιούσας ψυχὰς ἠνίξατο, διὰ μὲν τὸ νεώτερον καὶ ἀτελὲς τοῦ φρονήματος νεανίδας, διὰ δὲ τὸ περὶ σωματικὴν κατατρίβεσθαι θρησκείαν τυμπανιστρίας αὐτὰς ἀποκαλέσας.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ. p. 442

10 Πνεῦμα Κυρίου ἐπ' ἐμὲ, οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ με, [t]ἰάσασθαι τοὺς συντετριμμένους τὴν καρδίαν, [u]κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ b
τυφλοῖς ἀνάβλεψιν, καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν καὶ ἡμέραν ἀνταποδόσεως.

Περὶ τῆς προφητικῆς ἀναγνώσεως, ἣν αὐτὸς ὁ Κύριος ἡμῶν διῆλθεν ἐπὶ τῆς συναγωγῆς τῶν Ἰουδαίων.

2 Καὶ ταύτην αὐτὸς ὁ Κύριος ἡμῶν τὴν πρόρρησιν εἰς ἑαυτὸν ὁμολογεῖ πεπληρῶσθαι, ὅτε ἐλθὼν εἰς τὴν Ναζαρὲθ,

[s] προεφώνουν] προσεφώνουν P. [t] ἰάσασθαι—καρδίαν post ἀνάβλεψιν P. [u] καὶ κηρύξαι] καὶ om. P.

etiam iidem divino spiritu afflati Salvatoris nostri discipulos alloquebantur dicentes, *In ecclesiis benedicite Deo Domino de fontibus Israel.* Fontes autem Israel verba fuerint, quæ ipsi Israel tradita sunt, *primis enim illis credita sunt Dei oracula,* unde nos quoque haurientes Christi ecclesias irrigare oportebit. Adolescentulas autem et tympanistrias dixit, ut eo modo animas olim vitam suam ad Mosi legem dirigentes et secundum corpus plurimum degentes significaret, ubi dum adolescentulas quidem vocat, earum rudius atque imperfectius propositum notat, dum autem tympanistrias, earundem corporalis adorationis usum intelligi vult.

Rom. 3, 2.

AB ESAIA.

10 *Spiritus Domini super me, propter quod unxit me. Evangelizare pauperibus misit me, sanare contritos corde, prædicare captivis remissionem, et cæcis visum, vocare annum Domini acceptum, et diem retributionis.* Hoc quoque vaticinium ipse Dominus noster in seipso completum esse confirmat [Luc. 4, 16], quo tempore quum venisset *in Nazareth,*

Es. 61, 1. De prophetica lectione, quam ipse Dominus noster in conventu Judæorum exhibuit.

οὗ ἦν ἀνατεθραμμένος, εἰσῆλθεν κατὰ τὸ εἰωθὸς αὐτῷ ἐν
τῇ ἡμέρᾳ τῶν σαββάτων εἰς τὴν συναγωγὴν, ἀναστάντι δὲ
αὐτῷ ἐπεδόθη Ἡσαΐας ὁ προφήτης, οὗ καὶ ἀναπτύξας τὴν
βίβλον, ἀνέγνω τὸ ἐγγεγραμμένον, Πνεῦμα Κυρίου ἐπ' ἐμὲ,
οὗ εἵνεκεν ἔχρισέ με, εὐαγγελίσασθαι πτωχοῖς ἀπέσταλκέ c
με, κηρύξαι αἰχμαλώτοις ἄφεσιν, καὶ τυφλοῖς ἀνάβλεψιν,
ἀποστεῖλαι τεθραυσμένους ἐν ἀφέσει, καλέσαι ἐνιαυτὸν
3 Κυρίου δεκτόν. Καὶ πτύξας τὸ βιβλίον ἀποδοὺς τῷ ὑπη-
ρέτῃ ἐκάθισεν. Καὶ πάντων οἱ ὀφθαλμοὶ ἐν τῇ συναγωγῇ
ἦσαν ἀτενίζοντες αὐτῷ. Ἤρξατο δὲ λέγειν πρὸς αὐτοὺς,
ὅτι σήμερον πεπλήρωται ἡ γραφὴ αὕτη ἐν τοῖς ὠσὶν ὑμῶν.
4 Ὁ μὲν οὖν Σωτὴρ καὶ Κύριος ἡμῶν διὰ ταύτης φαίνεται
σαφῶς τῆς γραφῆς διαφερόντως καὶ κρειττόνως παρὰ d
τοὺς πάλαι σωματικώτερον χριομένους ἱερέας, οὐκ ἐλαίῳ
σκευαστῷ, οὐδὲ ὑπ' ἀνθρώπων, ὁμοίως τοῖς ἄλλοις, ἀλλ'
ἐνθέῳ πνεύματι αὐτοῦ δὴ τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ
κεχρισμένος, παρ' οὗ καὶ τῆς ἀγεννήτου θεότητος μετα-
σχὼν Θεὸς καὶ Κύριος πρὸς τῶν ἱερῶν ἀνηγόρευται
5 γραφῶν. Ἀκολούθως δὲ τῇ μετὰ χεῖρας προφητείᾳ
πτωχοῖς εὐαγγελιζόμενος εἰσάγεται παρὰ τῷ Ματθαίῳ,
ὅτε ἰδὼν τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος, καὶ καθίσαντος

ubi fuerat educatus, ingressus est, ut solebat, quodam Sabbatorum die in conventum, siquidem surgenti illi porrectus est liber Esaiæ prophetæ, quem quum evolvisset, legit illud quod in eo scriptum est, Spiritus Domini super me, propter quod unxit me. Evangelizare pauperibus misit me, prædicare captivis remissionem, et cæcis visum, dimittere confractos in remissionem : vocare annum Domini acceptum. Et quum plicuisset librum, reddidissetque ministro, tum sedit : et omnium oculi in conventu erant intenti in illum. Itaque cœpit ad illos dicere, quod illo die completa esset scriptura illa in auribus illorum. Ergo Salvator ac Dominus noster ex hac plane scriptura videtur longe excellentius ac melius quam illi sacerdotes qui olim corporali unctione ungebantur, non oleo comparato neque ab hominibus, ut alii solebant, sed divino, hoc est, Dei patrisque sui spiritu unctus : a quo etiam ejus divinitatis quæ facta non est compos effectus Deus ac Dominus in sacris dictus est libris. Huic prophetiæ quæ nunc tractatur similia scribit Matthæus, ubi illum pauperes evangelice instruentem

αὐτοῦ, προσῆλθον αὐτῷ οἱ μαθηταὶ αὐτοῦ, καὶ ἀνοίξας τὸ
στόμα αὐτοῦ ἐδίδασκεν αὐτοὺς, λέγων, Μακάριοι οἱ πτωχοὶ
τῷ πνεύματι, ὅτι αὐτῶν ἐστὶν ἡ βασιλεία τῶν οὐρανῶν.
6 Καὶ τυφλοῖς δὲ ἀνάβλεψιν παρεσχημένος οὐκ ὀλίγοις
ἀναγέγραπται, οὐ μόνον γὰρ τοῖς τὰς ὄψεις τοῦ σώμα- p. 443
τος ἠφανισμένοις τὸ βλέπειν ἐδωρεῖτο, ἀλλά γε καὶ τοῖς
[x]πρότερον τῇ ψυχῇ τυφλώττουσιν αἴτιος τῆς κατὰ νοῦν
θεωρίας καὶ τῆς ἐπιγνώσεως τοῦ τῶν ὅλων Θεοῦ γέγονεν.
7 Καὶ ἄλλως δὲ τοῖς οὖσι δεσμίοις καὶ ἀπηγμένοις αἰχμα-
λώτοις ὑπὸ τῆς ἀοράτου καὶ δαιμονικῆς δυνάμεως, κακῶν
τε σειραῖς πεπεδημένοις, ἐλευθερίαν καὶ ἄνεσιν τῶν συν-
εχόντων ἐκήρυττεν, εἰ καὶ αὐτοὶ τῷ κηρύγματι πιστεύ-
σαντες οἷα [y]λυτρωτῇ καὶ Σωτῆρι προσδράμοιεν αὐτῷ,
καὶ τοῖς αὐτοῦ πεισθεῖεν παραγγέλμασι. Καὶ τὰ λοιπὰ b
δὲ τοῦ λογίου κατὰ καιρὸν ἐν τοῖς περὶ τῶν ἐπαγγελιῶν
ἐξετασθήσεται.

ἈΠῸ ΤΟΥ͂ ΔΕΥΤΕΡΟΝΟΜΊΟΥ.

11 Προφήτην ἐκ τῶν ἀδελφῶν σου ἀναστήσει [z]σοι Κύριος c Περὶ τῆς κατὰ τὸ

[x] πρότερον τῇ ψυχῇ] τῇ ψυχῇ om. P. cum interprete, qui legisse videtur ἑτέρως pro πρότερον. [y] λυτρωτοῖ S. [z] σοι add. P.

inducit, quo tempore *videns turbas ascendit in montem, et quum sedisset, accesserunt ad illum discipuli sui, et aperiens os suum docebat eos, dicens, Beati pauperes spiritu, quoniam ipsorum est regnum cælorum.* Nam etiam illud scripto proditum est quod cæcis non paucis visum restituerit, non solum enim iis qui oculis corporis capti erant visum largiebatur, sed etiam iis qui in altero genere caligabant, ut animo Deum universi intuerentur atque agnoscerent, authorem se exhibebat. Alioqui vero etiam iis, qui ab invisibili ac dæmonica potestate vincti essent captivique abducti ac malorum catenis impliciti, libertatem dissolutionemque earum rerum a quibus tenebantur denuntiabat, si modo ipsi quoque illius prædicationi fidem adhibentes ad illum tanquam ad redemptorem et Salvatorem accurrebant, et illius præceptis obtemperabant. Cæterum quæ ex hoc oraculo supersunt suo tempore in iis, quæ de promissionibus tractanda sunt, exquirentur. Matth. 5, 1.

A DEUTERONOMIO.

11 *Prophetam de fratribus tuis suscitabit tibi Dominus Deus tuus sicut* Deut. 18, 15. De novæ

εὐαγγέλιος τοῦ Χριστοῦ νομοθεσίας.

ὁ Θεός σου, ὡς ἐμέ· αὐτοῦ ἀκούσεσθε κατὰ πάντα ὅσα ᾐτήσω παρὰ Κυρίου τοῦ Θεοῦ σου ἐν Χωρὴβ, τῇ ἡμέρᾳ τῆς ἐκκλησίας, λέγοντες, Οὐ προσθήσομεν ἀκοῦσαι τῆς φωνῆς Κυρίου τοῦ Θεοῦ ἡμῶν, καὶ τὸ πῦρ τὸ μέγα τοῦτο οὐκ ὀψόμεθα ἔτι, οὐδὲ μὴ ἀποθάνωμεν· καὶ εἶπε Κύριος πρός με, ὀρθῶς πάντα ὅσα ἐλάλησαν, προφήτην ἐκ τῶν ἀδελφῶν αὐτῶν ἀναστήσω αὐτοῖς ὥσπέρ σε, καὶ δώσω τὸ ῥῆμά μου εἰς τὸ στόμα αὐτοῦ, καὶ λαλήσει αὐτοῖς καθ' ὅ τι ἂν ἐντείλωμαι αὐτῷ, καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐπὶ τῷ ὀνόματί μου, ἐγὼ ἐκδικήσω ἐξ αὐτοῦ. d

2 Ἐπίστησον ὅτι μηδεὶς παρ' Ἑβραίοις Μωσεῖ παραπλήσιος προφήτης ἐγήγερται, τουτέστι νομοθέτης, καὶ εὐσεβείας ἀνθρώποις εἰσηγητὴς, ἢ μόνος ὁ ἡμέτερος Σωτὴρ, ὁ Χριστὸς τοῦ Θεοῦ. Πρὸς γοῦν τῷ τέλει τοῦ Δευτερονομίου λέγεται, οὐκ ἀνέστη ἔτι προφήτης ἐν Ἰσραὴλ ὡς Μωσῆς· καὶ μὴν μυρίοι προφῆται μετὰ τοῦτον γε-
3 γόνασιν, ἀλλὰ οὐχ ὡς αὐτός. Ὅλον δὲ τοῦτο ἡ τοῦ Θεοῦ ὑπόσχεσις ἐπαγγέλλεται, ἕνα τινὰ, οὐχὶ δὲ πολλοὺς, καὶ ὅμοιον ἀναστήσειν αὐτῷ. Δηλοῖ δὲ τοῦτον νομοθέτην καὶ εὐσεβείας ἀνθρώπων διδάσκαλον, οἷος μόνος ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς [a] Χριστὸς καὶ

[a] Χριστὸς] ὁ χ̅ς̅ S.

legis in evangelio Christi sanctione.

me, illum audietis in omnibus quæcunque postulasti a Domino Deo tuo in Choreb in die concionis dicentes, Non ultra audiemus vocem Domini Dei nostri, et ignem hunc grandem non videbimus amplius, neque moriemur, et dixit Dominus ad me, recte omnia locuti sunt, prophetam ex fratribus ipsorum suscitabo eis sicut te, et dabo verbum meum in os ejus, et loquetur eis secundum quodcunque præcepero illi, et quicunque homo non audierit omnia quæcunque loquetur propheta ille in nomine meo, ego ulciscar ex eo. Animadverte diligenter ut nullus plane apud Hebræos Mosi similis propheta surrexerit, hoc est, qui et legum author et pietatis apud homines introductor extiterit, nisi unus Salvator noster Christus Dei. Itaque in fine Deuteronomii legitur, *Non surrexit ultra propheta in Israel sicut Moses:* nam etsi innumerabiles prophetæ post illum extiterunt, at non tamen sicut ille. Totum vero hoc ipsa Dei pollicitatio complexa est, quippe quæ unum dumtaxat non multos, et eundem similem illi suscitandum promittat. Significat autem hunc et legum authorem et pietatis apud homines ma-

Deut. 34, 10.

οὐδὲ ἄλλος ἀναδέδεικται, νομοθέτης ὁμοῦ καὶ προφήτης p. 444
4 τοῦ τῶν ὅλων Θεοῦ καὶ πατρὸς αὐτοῦ γενόμενος. Ἀλλ'
ὁ μὲν ἔθνους ἑνὸς ὁ [b] Μωσῆς ἡγήσατο, καὶ κατάλληλα
δὲ τούτῳ μόνῳ οὐχὶ δὲ καὶ ἄλλοις ἔθνεσι νομοθετῶν
ἀποδέδεικται· ὁ δέ γε Χριστὸς τοῦ Θεοῦ, λαβὼν ἐπαγ-
γελίαν παρὰ τοῦ πατρὸς τὴν αἴτησαι παρ' ἐμοῦ, καὶ
δώσω σοι ἔθνη τὴν κληρονομίαν σου, ὡς ἂν μὴ μόνον Ἰου-
δαίοις, ἀλλὰ καὶ τῷ παντὶ τῶν ἀνθρώπων γένει καινὸς
νομοθέτης εὐσεβείας ὑπὸ τοῦ πατρὸς καταστῆναι, τῇ b
πάντων τῶν ἐθνῶν κλήσει δυνατὴν καὶ ἁρμόδιον προ-
5 βέβληται νομοθεσίαν. Θειοτέρᾳ γοῦν ἢ κατὰ Μωσέα
δυνάμει κατὰ παντὸς τοῦ κόσμου τοὺς ἱεροὺς αὐτοῦ
νόμους διὰ τῶν εὐαγγελιστῶν αὐτοῦ διετάξατο, μείζονι
ἢ κατ' ἄνθρωπον ἐξουσίᾳ νομοθετήσας, [c] εἰπὼν, ὅτι ἠκού-
σατε ὅτι ἐρρέθη τοῖς ἀρχαίοις, οὐ φονεύσεις· ἐγὼ δὲ λέγω
ὑμῖν μὴ δὲ ὀργίζεσθαι εἰκῇ, καὶ τὰ τούτοις ἀκόλουθα ὅσα
δὴ ἐν ταῖς ἀναγράπτοις αὐτοῦ διδασκαλίαις ἐμφέρεται,
ἐφ' οἷς μαρτυρεῖ λέγων ὁ εὐαγγελιστὴς, ὅτι ἐξεπλήττοντο

b μωϋσῆς S. et sic infra. c εἰπὼν] εἰπὼν ὅτι S.

gistrum futurum, cujusmodi unus Salvator ac Dominus noster Jesus Christus, nec alius præterea quispiam fuisse demonstratur, et legum author videlicet, et idem sui patris, qui Deus est universi, propheta, et Moses quidem unius dumtaxat gentis dux fuit, et quæ uni illi non autem cæteris quoque gentibus accommodari possent in legibus suis sanxisse reperitur. At vero ipse Christus Dei, ubi a patre promissum illud accepit, *Postula a me, et dabo tibi gentes hæreditatem tuam,* Ps. 2, 8.
utpote qui non solis Judæis, sed etiam universo hominum generi novus legum pietatisque author a patre constitueretur, vocationi omnium gentium tum facilem tum accommodatam legum disciplinam exposuit. Quum ergo ampliori quam quæ hominem deceat authoritate leges invenerit, diviniore etiam quam quæ a Mose præstari potuerit virtute in toto orbe servandas sacrosanctas suas leges per suos evangelistas descripsit, dum ita ad illos dicit, *Audistis quod* Matth. 5, 21.
dictum sit antiquis, non occides, ego autem dico vobis ne irasci quidem temere, et quæcunque his adjuncta in publice descriptis ipsius documentis circumferuntur, quæ quidem ipse etiam evangelista tali commendat, *quod utique obstupescerent omnes doctrinam illius, eo quod* Matth. 7, 29.

πάντες ἐπὶ τῇ διδαχῇ αὐτοῦ· ἦν γὰρ διδάσκων αὐτοὺς c
ὡς ἐξουσίαν ἔχων, καὶ οὐχ ὡς οἱ γραμματεῖς αὐτῶν.
6 Τὸν δὲ τρόπον τῆς τοῦ Σωτῆρος ἡμῶν διδασκαλίας
τε καὶ νομοθεσίας ἐν ἀρχαῖς τῆς παρούσης ὑποθέσεως
διελθόντες, ὅτε τὸν Χριστιανισμὸν ὅ τι ποτέ ἐστιν εἰς
φανερὸν ἤγομεν, ἐπ' ἐκεῖνα καὶ νῦν τοὺς ἐντυγχάνοντας
παραπέμψομεν. Ἐπιστῆσαι δὲ τῷ λόγῳ ἄξιον, δι' ὃν
ὁ Κύριος ὑπισχνεῖται προφήτην ἀναστήσειν αὐτοῖς.
7 Ἐπειδὴ γὰρ κεκελεύκει μὲν αὐτὸς τῷ Μωσεῖ ἁγνίσαι
τὸν πάντα λαὸν ἐφ' ἡμέραις τρισὶν, ὡς ἂν γένοιντο
θεαταὶ ὁμοῦ καὶ ἀκροαταὶ τῆς ἐνθέου ἐπιφανείας, οἱ δὲ
ἐξησθένησαν πρὸς τὴν τοῦ Θεοῦ χάριν· διὸ ἐν ἀρχῇ d
γενόμενοι τῆς θεωρίας παρῃτοῦντο λέγοντες τῷ Μωσεῖ,
σὺ λάλει πρὸς ἡμᾶς, καὶ μὴ λαλείτω πρὸς ἡμᾶς ὁ Θεὸς,
ἵνα μὴ ἀποθάνωμεν· εἰκότως διὰ ταῦτα ἀποδέχεται μὲν
αὐτοὺς ὁ Κύριος τῆς εὐλαβείας, φησὶ δὲ, ὀρθῶς πάντα
ὅσα ἐλάλησαν, προφήτην ἀναστήσω αὐτοῖς ἐκ μέσου τῶν
8 ἀδελφῶν [d] αὐτῶν, ὥσπέρ σε. Οὐκοῦν [e] καὶ τὸ αἴτιον ἐδί-
δαξε τοῦ δίκην προφήτου μέλλειν αὐτὸν [f] τὴν εἰς ἀν-

[d] αὐτῶν add. P. [e] καὶ add. P. [f] τὴν add. P.

doceret eos tanquam potestatem habens, non tanquam scribæ ipsorum.

Quum autem totius operis initio quis esset Salvatoris nostri tum in doctrina tum in legibus sanciendis modus explanaverimus, ubi quid esset Christianismus in medium protulimus, ad illa ipsa legentes etiam nunc remittimus. Sed diligentiori quadam animadversione res digna esse videtur, cur ita Dominus prophetam illis se suscitaturum polliceatur. Quoniam igitur Mosem ipse Dominus jusserat universum populum triduo expiare, ut simul et spectatores illi et auditores divini adventus efficerentur, illi autem infirmiores ad gratiam Dei existebant, ut propterea quum jam et intueri et audire inciperent eam rem ipsi recusaverint, dicentes ad Mosem, *Tu loquere ad nos, neque loquatur ad nos Deus, ne moriamur:* merito ob eam rem suscipit quidem illorum pietatem ac reverentiam Dominus, idem vero ait, *Recte omnia quæcunque locuti sunt, prophetam excitabo illis de medio fratrum suorum sicut te.* Sic ergo causam quoque docuit, cur tanquam propheta fuerit venturus ad homines. Ea vero fuit hominum imbe-

Exod. 20, 19. Deut. 5, 27. Deut. 18, 17.

θρώπους ἐπιφάνειαν ποιεῖσθαι· τοῦτο δ' ἦν, ἀσθένεια
ἀνθρώπων καὶ τῆς κρείττονος θεωρίας παραίτησις.
9 Ἔχεις τοιγαροῦν καὶ τὴν αἰτίαν τῆς ἐνανθρωπήσεως τοῦ
θεσπιζομένου προφήτου. Εἰκότως οὖν προσδοκῶντες p. 445
αὐτὸν οἱ ἐκ περιτομῆς ἐπυνθάνοντο τοῦ βαπτιστοῦ
Ἰωάννου, καὶ ἔλεγον, ὁ προφήτης εἶ σύ; ὁ δὲ ἔφη, οὔ.
Ἀλλ' ὁ Ἰωάννης [g] τἀληθὲς ὁμολογῶν, οὔτε προφήτης
εἶναι ἠρνήσατο, ἦν γάρ, ἀλλὰ τὸ αὐτὸς εἶναι ὁ προφήτης
ὁ πρὸς τοῦ Μωσέως δεδηλωμένος· ὅτι δὲ ἀπεσταλμένος
10 εἴη ἔμπροσθεν τοῦ προφήτου ἐκείνου ἐδίδασκε. Καὶ
ἐπειδήπερ ὁ λόγος αὐτοῖς δὴ τοῖς ἐκ περιτομῆς ἀναστή-
σεσθαι τὸν προφήτην ἐθέσπιζεν, εἰκότως ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν, ἅτε δὴ αὐτὸς ὢν ὁ προκεκηρυγμένος, οὐκ b
ἦλθον, φησὶν, εἰ μὴ εἰς τὰ πρόβατα [h] τὰ ἀπολωλότα οἴκου
Ἰσραήλ. Τοῖς δὲ ἀποστόλοις αὐτοῦ παρῄνει λέγων,
εἰς ὁδὸν ἐθνῶν μὴ ἀπέλθητε, καὶ εἰς πόλιν Σαμαρειτῶν μὴ
εἰσέλθητε, πορεύεσθε δὲ μᾶλλον πρὸς τὰ πρόβατα τὰ ἀπο-
11 λωλότα οἴκου Ἰσραήλ· σαφῶς διδάσκων ὅτι δὴ αὐτοῖς
προηγουμένως ἀπέσταλτο τῇ προφητείᾳ ἀκολούθως.
Ἐπειδὴ δὲ οὐκ ἐδέξαντο τὴν χάριν, ἀπελέγχει μὲν αὐ-

[g] σημ S. in marg. [h] τὰ add. P. om. S.

cillitas, et præstantioris visus recusatio. Habes igitur causam cur propheta ille, qui venturus canebatur, homo esset futurus. Merito igitur expectantes illum Judæi Joannem Baptistam interrogabant, ac dicebant, *Ipse propheta es tu? et respondit, Non.* Verum quum Jo. 1, 21. Joannes verum fateretur, non se prophetam esse negavit, erat enim, sed se illum esse prophetam dumtaxat quem Moses venturum prædixisset: quod vero ante illum prophetam missus esset, planissime demonstravit. Cæterum quoniam prophetica oratio unis iis, qui ad circuncisionem pertinent, suscitandum esse prophetam canebat, merito Salvator ac Dominus noster, utpote qui ipse esset ille antea denunciatus, *Non veni,* inquit, *nisi ad oves quæ perierunt domus Israel.* Apostolos autem suos monebat, dicens, *In viam gentium ne abieritis, et in* Matth. 15, 24. *civitatem Samaritanorum ne intraveritis. Ite vero potius ad oves quæ* Matth. 10, 6. *perierunt domus Israel:* ubi plane ostendit se primo loco ad illos esse missum, sicut etiam ab ipsa prophetia dictum fuerat. Sed quum talem gratiam non accepissent, eosdem alibi redarguit, dicens, *Eo* Es. 50, 2.

τοὺς ἐν ἑτέροις, λέγων, διότι ἦλθον, καὶ οὐκ ἦν ἄνθρωπος,
ἐκάλεσα, καὶ οὐκ ἦν [1] *ὁ ὑπακούων.* Φησὶ δὲ πρὸς αὐτούς, c
ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ δοθήσεται
12 *ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐτῆς.* Καὶ τοῖς γε αὐτοῦ
μαθηταῖς μετὰ τὴν ἐκείνων παραίτησιν προστάττει,
πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη ἐν τῷ ὀνόματί μου.
Οὕτω δῆτα ἡμεῖς μὲν τὰ ἔθνη τὸν προαναφωνηθέντα
καὶ πρὸς τοῦ πατρὸς ἀπεσταλμένον προφήτην, ἅτε νομο-
θέτην ἅπασι γενόμενον ἀνθρώποις τῆς εἰς τὸν τῶν ὅλων
Θεὸν εὐσεβείας, διὰ τῆς σωτηρίου καὶ εὐαγγελικῆς δι-
δασκαλίας ἔγνωμεν καὶ κατεδεξάμεθα, πληρουμένης κατὰ d
τὸ αὐτὸ καὶ ἑτέρας προρρήσεως, δι' ἧς εἴρηται, *κατά-*
στησον, Κύριε, νομοθέτην αὐτοῖς, γνώτωσαν ἔθνη ὅτι ἄνθρωποί
13 *εἰσιν.* Τὸ δὲ Ἰουδαίων ἔθνος μὴ παραδεξάμενον τὸν
προφητευόμενον δίκην ἔτισε τὴν ἀξίαν κατὰ τὴν θείαν
πρόρρησιν φήσασαν, *καὶ ὁ ἄνθρωπος ὃς ἐὰν μὴ ἀκούσῃ*
πάντα ὅσα ἐὰν λαλήσῃ ὁ προφήτης ἐν τῷ ὀνόματί μου, ἐγὼ
14 *ἐκδικήσω ἐξ αὐτοῦ.* Ἐκδεδίκηται γοῦν ἐκ τοῦ λαοῦ ἐκεί-
νου πᾶν αἷμα ἐκχυθὲν ἐπὶ τῆς γῆς, ἀπὸ αἵματος Ἄβελ
ἕως αἵματος Ζαχαρίου, καὶ αὐτοῦ γε ἐπὶ πᾶσι τοῦ Χρι-

[1] ὁ add. P.

quod veni et non fuit homo, vocavi, et non fuit qui audiret. Deinde ad illos dicit, *Auferetur a vobis regnum Dei, et dabitur genti ferenti fructus ejus.* Suis vero discipulis post illorum rejectionem imperat, *Ite et docete omnes gentes in nomine meo.* Sic igitur nos quidem gentes antea denunciatum illum et a patre missum prophetam, tanquam eum qui omnibus hominibus et legum et pietatis erga Deum universi author extiterit, per salutarem ipsius evangelicamque doctrinam agnovimus et suscepimus, quum in hoc alia quoque prophetia completa sit, quæ ait, *Constitue, Domine, legislatorem apud eos, agnoscant gentes quod homines sunt.* Judæi vero contra, qui illum quem sua ipsorum oracula venturum prædicebant non susceperunt, idoneum dedere supplicium, sicut prophetia divina significaverat, quum dixit, *Et quicunque homo non audierit omnia quæcunque loquetur propheta ille in nomine meo, ego ulciscar ex eo.* Ultus igitur est de populo illo omnem sanguinem effusum in terram a sanguine Abel usque ad sanguinem Zachariæ, et ad extremum ipsius Christi, cujus

Matth. 21, 43.
Matth. 28, 19.
Ps. 9, 20.
Deut. 18, 19.
Matth. 23, 35.

στοῦ, οὗ τὸ αἷμα καθ' ἑαυτῶν ἐξαιτησάμενοι καὶ κατὰ τῶν ἰδίων παίδων εἰσέτι νῦν τῆς τολμηθείσης αὐτοῖς ἀσεβείας τὴν τιμωρίαν ὑπέχουσιν.

ἈΠῸ ΤΟΥ͂ ἸΏΒ. p. 446

12 Ὁ λέγων τῷ ἡλίῳ, καὶ οὐκ ἀνατέλλει, κατὰ δὲ ἄστρων κατασφραγίζει, ὁ τανύσας τὸν οὐρανὸν μόνος, καὶ περιπατῶν ἐπὶ θαλάσσης ὡς ἐπ' ἐδάφους.

Περὶ τῆς ἐν θαλάττῃ πορείας τοῦ Χριστοῦ.

2 Καὶ ταῦτα μόνῳ τῷ Σωτῆρι καὶ Κυρίῳ ἡμῶν, ὡς ἂν b
Θεοῦ Λόγῳ δημιουργῷ τῶν ὅλων τυγχάνοντι, ἁρμόζοι
ἄν· μόνος γοῦν τῶν πώποτε κατὰ τοὺς τῆς ἐνανθρωπή-
σεως χρόνους, σῶμα καὶ σχῆμα ἀνθρώπινον ἀναλαβὼν,
ἐπὶ τῆς θαλάσσης περιπατῆσαι λέγεται, ὅτε τοὺς ἑαυτοῦ
μαθητὰς ἠνάγκασεν ἐμβῆναι εἰς πλοῖον, καὶ προάγειν αὐτὸν
εἰς τὸ πέραν, ἕως οὗ αὐτὸς ἀπολύσῃ τοὺς ὄχλους. Καὶ
ἀπολύσας τοὺς ὄχλους ἀνέβη εἰς τὸ ὄρος κατ' ἰδίαν προσ-
εύξασθαι. Ὀψίας δὲ γενομένης μόνος ἦν ἐκεῖ· τὸ δὲ
πλοῖον ἤδη ἦν ἐν μέσῳ τῆς θαλάσσης. Ἰδόντες δὲ αὐτὸν ἐπὶ c
τῆς θαλάσσης ἐταράχθησαν, λέγοντες ὅτι φάντασμά ἐστιν,
καὶ ἀπὸ τοῦ φόβου ἔκραξαν. Εὐθέως δὲ ἐλάλησεν αὐτοῖς,
3 λέγων, Θαρσεῖτε, ἐγώ [k] εἰμι, μὴ φοβεῖσθε. Ἄλλως δὲ

[k] εἰμη S.

sanguinem quum super se et super filios suos expoposcissent, in hunc usque diem ejus sceleris, quod audacissime perpetrarunt, supplicium pendunt.

AB JOB.

12 *Qui dicit soli, et non oritur, et astra quasi signo impresso claudit, qui extendit cœlum solus, qui ambulat in mari sicut in solo.* Hæc item uni Salvatori ac Domino nostro, tanquam Dei Verbo et rerum omnium opifici, accommodari possunt, solus enim ex omnibus qui unquam fuerint, quo tempore homo factus est et corpore et figura hominis assumpta, in superficie maris ambulasse dicitur, *Quum suos discipulos compulit ascendere in naviculam, et præcedere ipsum trans fretum, donec ipse dimitteret turbas, et dimissis turbis ascendit in montem ut solus oraret. Vespere autem facto solus erat ibi: navicula autem jam erat in medio mari. Videntes autem eum supra mare turbati sunt, dicentes quod phantasma esset, et præ timore clamaverunt. Statim vero locutus est eis, dicens: Confidite, ego sum, nolite timere.* Nam alioqui fieri

Job 9, 7. De ambulatione Christi in mari.

Matth. 14, 22.

οὐκ ἂν γένοιτο ἀξιοπρεπῆ θεολογίαν [l]δοκοῦν περιέχειν, εἰ ἐπὶ τοῦ ἀνωτάτω Θεοῦ καὶ πατρὸς τῶν ὅλων ἐκλαμ-
4 βάνοι τις τὸ λόγιον. Τί γὰρ ἔχει σεμνὸν καὶ ἀξιόλογον ἐπὶ τοῦ Θεοῦ τῶν ὅλων περιπατεῖν λέγεσθαι ἐπὶ τῆς θαλάσσης; πῶς δὲ καὶ νοηθείη περίπατος ἐπὶ τῆς θαλάσσης τοῦ τὰ πάντα περιέχοντος, καὶ τὸν οὐρανὸν καὶ d
τὴν γῆν πληροῦντος, καὶ μονονουχὶ λέγοντος, *ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου*; καί, *τὸν οὐρανὸν καὶ τὴν γῆν ἐγὼ πληρῶ, λέγει Κύριος*; Ὁ δέ γε Σωτὴρ καὶ Κύριος ἡμῶν *ἑαυτὸν κενώσας, καὶ μορφὴν δούλου λαβών, καὶ σχήματι εὑρεθεὶς ὡς ἄνθρωπος*, δεῖγμα τῆς λανθανούσης τοὺς πολλοὺς ἐνθέου δυνάμεως αὑτοῦ παρέχων ὁρᾶν τοῖς ἑαυτοῦ μαθηταῖς, καὶ τοῖς θαλαττίοις [m]ἐπιβαίνων κύμασι καὶ τῷ κλύδωνι καὶ τοῖς ἀνέμοις ἐπιτιμῶν ἀναγέγραπται, ὅτε καὶ οἱ ὁρῶντες ἐξεπλήττοντο λέγοντες, *ποταπός ἐστιν οὗτος, ὅτι καὶ οἱ ἄνεμοι καὶ ἡ θάλασσα αὐτῷ* [n]*ὑπακούουσιν*; Ἦν δὲ καὶ τοῦτο ἄλλου τινὸς μείζονος σύμβολον, νοουμένης ἑτέρας θαλάσσης, ἐν ᾗ λέγεται δράκων τις εἶναι πεποιημένος ἐγκαταπαί-

[l] δοκεῖν] δοκοῦν P. [m] ἐπιβαίνων] ἐπιβαίνειν P.S. [n] ὑπακούει] ὑπακούουσιν P.

non poterit ut Deo convenientem theologiam comprehendere videatur oraculum, si quis illud de supremo Deo et patre universi intelligat. Quid enim venerationis aut dignitatis habeat si Deus universi ambulare in mari dicatur? cujusmodi autem ambulatio in mari intelligetur illius, qui omnia complectitur, ac cœlum terramque complet, et pro-
Ps. 66, 1. pemodum dicit, *Cœlum mihi sedes, terra autem scabellum pedum*
Jer. 23, 24. *meorum?* Item, *Cœlum et terram ego impleo dicit Dominus?* Salvator
Phil. 2, 7. autem ac Dominus noster, quum *seipsum evacuaverit et formam servi acceperit, et habitu inventus sit ut homo,* dum signum ejus quæ multos latebat divinæ virtutis suæ videndum suis præbet discipulis, super marinos fluctus incessisse et tempestatem ventosque cohibuisse publicæ scripturæ testimonio dictus est, quo tempore ii, qui talia in-
Matth. 8, 27. tuebantur, obstupescebant dicentes, *Quis est hic cui venti mareque obtemperant?* Fuerit vero hoc etiam alterius cujusdam, quod intelligitur, vastioris maris signum, in quo draco quidam esse dicitur factus ut in eum illudant angeli Dei, super quo item mari Salvator

ζεσθαι ὑπὸ τῶν ἀγγέλων τοῦ Θεοῦ, ἐφ' ἣν καὶ αὐτὴν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν ἐμπεριπατήσας τὴν κεφαλὴν p. 447 τοῦ αὐτόθι δράκοντος καὶ τῶν λοιπῶν [o] τῶν ὑποβεβηκότων δρακόντων λέγεται συντετριφέναι, κατὰ τὸ, [p] σὺ συνέθλασας τὰς κεφαλὰς τῶν δρακόντων ἐπὶ τοῦ ὕδατος, καὶ [p] σὺ συνέθλασας τὰς κεφαλὰς τοῦ δράκοντος· σαφῶς ἑτέρας νοουμένης θαλάσσης, περὶ ἧς αὐτὸς πάλιν ἐν Ψαλμῷ φησὶν, ἦλθον εἰς τὰ βάθη τῆς θαλάσσης. Καὶ πρὸς τὸν Ἰὼβ τὰ περὶ ἑαυτοῦ διεξιὼν, ἦλθες δὲ ἐπὶ πηγὴν θαλάσσης, ἐν δὲ ἴχνεσιν ἀβύσσου περιεπάτησας; ἀνοίγονται b δέ σοι φόβῳ πύλαι θανάτου, πυλωροὶ δὲ ᾅδου ἰδόντες σε ἔπτηξαν; Εἰκότως οὖν κἀν τῷ καθ' ἡμᾶς βίῳ ἐπιβὰς τῇ θαλάττῃ, καὶ τοῖς ἀνέμοις ἐπιτιμήσας καὶ τῷ κλύδωνι, τὰ σύμβολα τῶν ἀπορρητοτέρων ἐπιτελεῖ.

ΑΠΟ ΤΟΥ ΗΣΑΙΟΥ.

13 Ἰσχύσατε χεῖρες ἀνειμέναι, καὶ γόνατα παραλελυμένα, c παρακαλέσατε οἱ ὀλιγόψυχοι τῇ διανοίᾳ, ἰσχύσατε, μὴ φοβεῖσθε, ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει ἡμᾶς. Τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν, καὶ ὦτα κωφῶν ἀκούσονται. Τότε ἁλεῖ-

Περὶ τῶν ἐπιτελεσθέντων ὑπ' αὐτοῦ παραδόξων.

[o] τῶν add. P. [p] σὺ om. S. bis.

ac Dominus noster inambulans caput illic constituti draconis reliquorumque illo inferiorum draconum dicitur contrivisse, juxta illud, *Tu contrivisti capita draconum super aquam, tu confregisti caput draconis:* plane alterius quod intelligitur maris, de quo idem rursus in Psalmo ait, *Deveni in profunda maris.* Et ad Job de seipso disserens, *Venisti,* inquit, *ad fontem maris? et in vestigiis abyssi deambulasti? aperiuntur vero tibi timore portæ mortis? et janitores inferorum videntes te expaverunt?* Merito igitur etiam in ea quæ ad nos pertinet vita, dum ipsum mare ingreditur et ventos tempestatemque increpat, rerum in arcanis positarum signa interim obiit ac peragit.

Ps. 74, 13.
Ps. 69, 2.
Job 38, 16.

AB ESAIA.

13 *Convalescite manus remissæ et genua dissoluta, consolamini pusillanimes intellectu, fortes estote, et nolite timere, ecce Deus noster judicium reddit et reddet, ipse veniet et salvos faciet nos, tunc aperientur oculi cæcorum, et aures surdorum audient, tunc saliet sicut cervus*

Es. 35, 3.
De rebus ab ipso admirabilibus gestis.

ται, ὡς ἔλαφος, ὁ χωλὸς, καὶ τρανὴ ἔσται γλῶσσα μογι-
λάλων.

2 Καὶ τούτων ἔχεις ἐν τοῖς εὐαγγελίοις τὰ ἀποτε-
λέσματα, [q] τοῦτο μὲν, ὁπηνίκα τῷ Σωτῆρι καὶ Κυρίῳ
ἡμῶν προσέφερον παραλυτικὸν ἐπὶ κλίνης βεβλημένον,
ὃν καὶ ὑγιῆ λόγῳ κατεστήσατο, τοῦτο δὲ, ὅτε μυρίοι
τυφλοὶ καὶ δαιμονιῶντες, ἔτι μὴν διαφόροις νόσοις καὶ d
μαλακίαις καταπονούμενοι, πρὸς τῆς αὐτοῦ σωτηρίου
3 δυνάμεως τῶν παθῶν ἀπηλλάττοντο· οὐ μὴν ἀλλὰ
καὶ δι' ὧν εἰσέτι νῦν καθ' ὅλης τῆς οἰκουμένης μυρία
πλήθη πολυτρόποις κακίας εἴδεσι δεδεμένα, ἀγνωσίας τε
τοῦ ἐπὶ πάντων Θεοῦ τὰς [r] ψυχὰς πεπληρωμένα, θαυμα-
σίως καὶ ὑπὲρ πάντα λόγον τοῖς τῆς διδασκαλίας αὐτοῦ
φαρμάκοις ἰᾶται καὶ θεραπεύει· πλὴν ὅτι καὶ Θεὸς ἐν
τούτοις ἀνηγόρευται κατὰ καιρὸν, ὡς ἂν τοιαῦτα ἐνερ-
γῶν, ἤδη πρότερον ἡμῖν ἐν ταῖς περὶ τῆς θεότητος αὐτοῦ
4 μαρτυρίαις ἀποδέδεικται. Καὶ ἔπρεπέ γε νῦν γοῦν, εἰ
καὶ ἄλλοτε, Θεὸν αὐτὸν ὁμολογεῖσθαι, [s] ὅτε καὶ ἔργα p. 448
θείας καὶ ὡς ἀληθῶς ἐνθέου δυνάμεως ἐπεδείκνυτο. Θεοῦ
γὰρ μόνου ἦν καὶ οὐδὲ ἄλλου ῥωννύναι μὲν παρειμένους,

[q] τούτου] τοῦτο P. et sic infra. [r] ψυχάς τε πλ. S. [s] ὅτι] ὅτε P.

claudus, et plana erit lingua mutorum. Harum igitur rerum eventa in evangeliis habes, nunc quidem, dum ad ipsum Salvatorem ac Dominum nostrum paralyticum afferunt in lecto jacentem quem pristinæ sanitati uno suo verbo restituit, nunc vero, dum innumerabiles cæci et dæmonia habentes necnon variis ægritudinibus et languoribus affecti salutaris illius virtutis beneficio ab omnibus morbis liberantur: præterea etiam nunc in iis, quæ in toto orbe terrarum ostendit, dum innumerabiles multitudines variis malitiæ generibus implicitas et ignoratione supremi Dei refertas animas habentes admirabiliter et supra omnem rationem doctrinæ suæ medicamentis curat et sanat, et tamen quod etiam in his Deus appelletur suo tempore, tanquam is qui talia efficiat, jampridem a nobis ubi de divinitate ejus testimonia protulimus demonstratum est, et sane si unquam alias nunc maxime convenerit Deum illum confiteri, quando et divinæ et re vera Deum complexæ virtutis jam plane opera edidit. Siquidem unius Dei nec

ζωογονεῖν δὲ νεκροὺς, σωτηρίαν τε ἀσθενοῦσι παρέχειν,
ἀνοίγειν τε ὀφθαλμοὺς τυφλῶν, καὶ κωφῶν ὡσαύτως
ἀκοὰς ἰᾶσθαι, χωλούς τε ἀνορθοῦν, καὶ τοὺς τὴν γλῶτ-
ταν δεδεμένους εὐλάλους ἀποκαθιστᾶν, ἅπερ ἅπαντα ὑπὸ
τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ πέπρακται, οἷα ὑπὸ
Θεοῦ, καὶ [t] μεμαρτύρηταί γε ὑπὸ πλειόνων τῶν καθ'
5 ὅλης τῆς οἰκουμένης κηρυξάντων αὐτόν. Ὧν τὸ ἄπλα- b
στον καὶ ἀληθὲς τῆς μαρτυρίας πιστοῦται ἡ διὰ βασά-
νων πεῖρα, καὶ ἡ μέχρι θανάτου ἔνστασις, ἣν ἐπὶ βασι-
λέων ἀρχόντων τε καὶ ἡγεμόνων καὶ ὅλων ἐθνῶν
ἐνεδείξαντο, τοῖς ὑπ' αὐτῶν κηρυττομένοις ἀλήθειαν
6 ἐπιμαρτυρήσαντες. Τούτοις δὲ αὐτοῖς ἡγοῦμαι τοῖς
εὐαγγελισταῖς αὐτοῦ καὶ ἀποστόλοις ἐπιφωνεῖν τὸ πνεῦ-
μα τὸ προφητικὸν τὰ ἀπὸ τοῦ, *ἰσχύσατε χεῖρες ἀνειμέναι,*
καὶ γόνατα παραλελυμένα. Ἐπεὶ γὰρ τὰς χεῖρας καὶ
τὰς πρακτικὰς δυνάμεις οὗτοι τάς τε βάσεις καὶ τὴν c
πορείαν ἀπὸ τῆς μακρᾶς περιόδου τῆς κατὰ τὸν Μωσέως
νόμον λατρείας παρείθησαν, διεγείρων αὐτοὺς ἐπὶ τὴν

[t] μαρτύρεται ED. PARIS. μαρτύρηται S.

alterius præterea cujuspiam munus fuerit corroborare dissolutos, vitæ reddere mortuos, præbere salutem ægrotantibus, cæcorum aperire oculos, auresque item sanare surdorum, et erigere claudos, et linguam impeditam habentibus facultatem loquendi restituere, quæ omnia Salvator ac Dominus noster Jesus Christus admirabiliter præstitit, tanquam is qui verus sit Deus, et hæc omnia multorum testimonio, qui illum in toto orbe prædicarunt, fidem acceperunt: quorum testimonii et simplicitatem et veritatem exploratio per tormenta confirmat, et usque ad mortem certandi perseverantia, quam in conspectu et regum et principum et præsidum et universarum gentium præstiterunt, dum eorum, quæ ab ipsis prædicabantur, veritati fidem sic faciunt. Porro autem ad hos ipsos et evangelistas ejus et apostolos spiritum arbitror inclamare propheticum ea quæ deinceps sequuntur, ab illo loco, *Convalescite manus remissæ, et genua dissoluta.* Nam quoniam hi et manibus et viribus quæ ad agendum pertinent et plantis ipsis et incessu ex longo adorationis secundum Mosaicam legem circuitu elanguerant solutioresque evaserant, idcirco excitans

κατὰ τὸ εὐαγγέλιον πολιτείαν, ἰσχύσατε, φησὶ, χεῖρες
ἀνειμέναι καὶ γόνατα παραλελυμένα, εἰς ἑτοιμασίαν δη-
7 λαδὴ τοῦ κατὰ τὸ εὐαγγέλιον δρόμου. Ἰσχύσατε δὲ
καὶ εἰς τὸ παρακαλεῖν ἑτέρους καὶ παρορμᾶν ἔχεσθαι
τῆς εὐαγγελικῆς σωτηρίας ὑμεῖς οἱ τὸ πρὶν ὀλιγόψυχοι,
καὶ μή τις ὑμᾶς αἱρείτω φόβος τῶν ἔξωθεν ἀνθισταμένων
τῷ εὐαγγελικῷ κηρύγματι, ἀλλὰ καὶ πρὸς τούτους d
8 ἰσχύσατε, καὶ μὴ φοβεῖσθε. Θεὸς γὰρ ἦν καὶ Θεοῦ
Λόγος, ἀλλ' οὐ Μωσεῖ τις παραπλήσιος, οὐδέ τις τοῖς
προφήταις ὅμοιος, οὐ [u] μόνον τῶν παραδόξων ποιητὴς
θαυμάτων, ἀλλὰ καὶ ὑμῖν αὐτοῖς τῆς ἰσχύος γεγονὼς
9 αἴτιος. Πίστις δ' ἂν γένοιτο ἐναργεστάτη τῆς τοῦ
προφητευομένου Σωτῆρος ἡμῶν ἐνθέου δυνάμεως, δι' ἧς ἀληθῶς χωλοὺς καὶ τυφλοὺς καὶ λεπροὺς καὶ παρειμένους ἰάσατό ποτε λόγῳ κατὰ τὰς περὶ αὐτοῦ γραφὰς, ἣ καὶ εἰσέτι νῦν ἐνεργουμένη πρὸς τῆς αὐτοῦ θεότητος καθ' ὅλης τῆς ἀνθρώπων οἰκουμένης ἀρετὴ, δι' ἧς αὐτοῖς ἔργοις ὁποῖός τις ἦν καὶ τότε τοῖς οἵοις τε συνορᾶν ἐπι-

[u] μόνων] μόνον S.

illos ad evangelicam vitæ institutionem, *convalescite*, inquit, *manus remissæ et genua dissoluta*, ad alacritatem videlicet evangelici cursus. Confirmamini etiam ad exhortandos concitandosque alios, ut evangelicam salutem amplectantur, vos, inquam, qui prius eratis pusillo animo, neque ullus vos capiat timor eorum, qui extrinsecus evangelicæ prædicationi resistunt: verum contra hos quoque robur accipite, et ne timete, Deus enim est et Dei Verbum, non autem quispiam Mosi similis, ac ne ullus quidem prophetarum huic est comparandus, qui non solum miracula inusitata edere consuevit, verum etiam vobis ipsis omnis fortitudinis et constantiæ author existit. Argumentum vero certissimum fuerit divinæ ejus, quem prophetæ venturum nuntiarunt, Salvatoris nostri virtutis, per quam re vera et claudos et cæcos et lepris infectos et membris dissolutos verbo, ut scripturæ quæ de illo extant fidem faciunt, aliquando sanaverit, ea quæ etiam nunc efficaciam suam ex illius divinitate in toto qui ab hominibus incolitur orbe ostendit virtus, per quam rebus ipsis et factis qualis tunc quoque fuerit iis, qui intueri possunt, ostenditur: quando in

δείκνυται, ὅτε καὶ ἐπὶ τοσούτοις μετὰ ταῦτα χρόνοις p. 449
διαρκὴς καὶ ἀνίκητος καὶ ὡς ἀληθῶς Θεοῦ Λόγος ὁ πρὸς
αὐτοῦ καταγγελθεὶς ἀποδείκνυται, πάντας ὑπερβαλλό-
μενος τοὺς ἀρχῆθεν καὶ μέχρι [x] τοῦ νῦν τὴν διδασκαλίαν
αὐτοῦ πολεμεῖν παρεσκευασμένους, ἐξ ἁπάσης τε τῆς
οἰκουμένης ὑπαγόμενος ἑαυτῷ μυρία πλήθη, καὶ πάσης
μὲν ἁμαρτίας καὶ τῶν κατὰ ψυχὴν παθῶν τε καὶ νοση-
μάτων τοὺς αὐτῷ προσιόντας ἀπαλλάσσων, ἐπὶ δὲ τὴν
εὐσεβῆ διδασκαλίαν αὐτοῦ πᾶν γένος Ἑλλήνων καὶ
βαρβάρων προσκαλούμενος, μυρίους τε ὅσους προσάγων b
ἐπὶ τὴν τοῦ μόνου καὶ ἀληθοῦς Θεοῦ γνῶσιν ἐπί τε τὸν
ὑγιῆ καὶ σώφρονα βίον, [y] ὃς δὴ καὶ πρέπων εἴη ἂν ἐπαγ-
γελίᾳ θρησκείας τοῦ ἐπὶ πάντων Θεοῦ. Οὗτος δὲ αὐτὸς
ὁ Θεὸς ἡμῶν, ἅτε τυγχάνων Θεοῦ Λόγος, *κρίσιν*, φησὶν,
*ἀνταποδίδωσι, καὶ ἀνταποδώσει, αὐτὸς ἥξει καὶ σώσει
ἡμᾶς.* Κατὰ γὰρ τὸν Ψαλμὸν φήσαντα, *ὁ Θεὸς τὸ
κρίμα σου τῷ βασιλεῖ δὸς*, καὶ κατὰ τὴν εὐαγγελικὴν δι-
δασκαλίαν, δι' ἧς εἴρηται, *ὁ πατὴρ κρίνει οὐδένα, ἀλλὰ
τὴν κρίσιν πᾶσαν δέδωκε τῷ υἱῷ*, παρὰ τοῦ πατρὸς τὴν c
τοῦ κρίνειν εἰληφὼς ἐξουσίαν, δικαιοσύνῃ κρίνων, τῷ

[x] τοῦ] τῶν P. [y] ὡς S.

tam multos annos post illa quæ scripta sunt durat invictus, et re vera
Dei Verbum esse, quod ab ipso denuntiatum est, demonstratur:
utpote quod omnes jam vicerit, quicunque ab initio in hunc usque
diem doctrinam ipsius oppugnare conati sint, et ex universo orbe
innumerabiles conventus ad seipsum assidue trahat, et ab omni pec-
cato omnibusque animi et perturbationibus et morbis eos, qui ad se
accesserint, liberet, et ad religiosam piamque doctrinam omne et
Græcorum et barbarorum genus invitet, innumerabilesque ad unius
verique Dei cognitionem et sanum ac moderatum vivendi institutum
adducat, quemadmodum videlicet eum deceat, qui supremi Dei
cultum profiteatur. Quinetiam hic idem Deus noster, tamquam is
qui sit Dei Verbum, *judicium*, inquit, *reddit et reddet, ipse veniet et
servabit nos.* Nam ut est in Psalmo, qui ait, *Deus judicium tuum* Ps. 71, 1.
regi da, utque est in doctrina evangelica, in qua illud dictum est,
Pater non judicat quempiam, sed omne judicium dedit filio, accepta a Jo. 5, 22.
patre judicandi potestate, dum juste judicat, populo quidem ad cir-

μὲν ἐκ περιτομῆς λαῷ τὴν προσήκουσαν τῶν εἰς αὐτόν
τε καὶ τοὺς αὐτοῦ προφήτας τετολμημένων δίκην ἀπο-
δέδωκε, πάντας δὲ ἀπαξαπλῶς ἀνθρώπους τοὺς αὐτῷ
προσιόντας ἐξ ἴσου κατὰ τὸ δίκαιον ἀνεσώσατο· ὧν τὰ
11 ὦτα τῆς διανοίας καὶ τοὺς ὀφθαλμοὺς ἀνέῳξεν. Διὸ
καὶ τὸν καιρὸν τῆς παρουσίας αὐτοῦ καιρὸν ἀνταποδό-
σεως ὁ θεῖος ἀποκαλεῖ λόγος, ἐν ἑτέροις φάσκων,
[z] *καλέσαι ἐνιαυτὸν Κυρίου δεκτὸν, καὶ ἡμέραν ἀνταποδόσεως.* d
12 Οὗτος δὲ ἦν καιρὸς τῆς ἀνταποδόσεως [a] καθ' ὃν πᾶν
αἷμα ἐκχυθὲν ἀπὸ αἵματος Ἄβελ ἕως αἵματος Ζαχαρίου,
καὶ αὐτοῦ γε τοῦ τιμίου αἵματος Ἰησοῦ, ἐκδεδίκηται ἀπὸ
τῆς γενεᾶς τῶν εἰς αὐτὸν πεπλημμεληκότων, ὡς ἐξ
ἐκείνου τὸν ἔσχατον αὐτοὺς ὑπομεῖναι ὄλεθρον καὶ τὴν
13 ἐσχάτην πολιορκίαν. Καὶ ἡ μὲν κατ' ἐκείνους κρίσις
τοιαύτην ἐποιήσατο κατ' αὐτῶν τὴν ἀνταπόδοσιν. Διό
φησιν ἡ προφητεία, *ἰδοὺ ὁ Θεὸς ἡμῶν κρίσιν ἀνταποδίδωσι,
καὶ ἀνταποδώσει.* Ἡ δὲ περὶ τῶν δι' αὐτοῦ σωθησο-
μένων ἑξῆς δηλοῦται διὰ τοῦ, *αὐτὸς ἥξει, καὶ σώσει ἡμᾶς·
τότε ἀνοιχθήσονται ὀφθαλμοὶ τυφλῶν καὶ ὦτα κωφῶν ἀκού-
14 σονται,* καὶ τὰ ἑξῆς. Ταύτην δὲ τὴν σωτήριον κρίσιν

[z] καλέσας ED. PARIS. Sic S. [a] καὶ καθ'] καὶ om. P. habet S.

cuncisionem spectanti, pro iis quæ et in seipsum et in prophetas suos ausi sunt meritum conveniensque supplicium assignavit, omnes autem omnino, qui ad ipsum accesserunt, homines ex æquo ut justum est conservavit: quorum utique et aures et oculos mentis aperuit. Quocirca tempus illius adventus tempus retributionis divinum vocat
Es. 61, 2. oraculum, quod in aliis item sic ait, *Vocare annum Domini acceptum, et diem retributionis.* Porro hoc fuit retributionis tempus, in quo omnis sanguinis effusi a sanguine Abel usque ad sanguinem Zachariæ et ipsum pretiosum sanguinem Jesu ultio sumpta est, et supplicium de illorum natione qui in illum peccaverunt, usque adeo ut ex illo extremum interitum extremamque vastationem pertulerint. Et quod quidem ad illos pertinet judicium talem contra illos retributionem molitum est: ex quo prophetia sic ait, *Ecce Deus noster judicium reddit et reddet.* Quod vero ad illos spectat qui servandi sunt, in sequentibus indicatur, illis verbis, *Ipse veniet, et servabit nos: tunc aperientur oculi cæcorum, et aures surdorum audient,* et quæ se-

καὶ ἄλλη προφητεία ἐξοίσειν τὸν Χριστὸν ἐπαγγέλλεται φάσκουσα, ἰδοὺ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ, ὁ ἐκ- p. 450 λεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει. Διὸ καὶ περὶ τοῦ Λόγου τῆς καινῆς διαθήκης εἴρηται, ἐκ γὰρ Σιὼν ἐξελεύσεται νόμος, καὶ λόγος Κυρίου ἐξ Ἱερουσαλὴμ, καὶ κρινεῖ ἀνὰ μέσον τῶν ἐθνῶν. Κρίσει γὰρ θείᾳ καὶ λόγοις ἡμῖν ἀρρήτοις καὶ τὰ τῆς κλήσεως τῶν εἰς αὐτὸν ἐπιστρεφόντων εἰκὸς αὐτὸν ἐνεργεῖν. Ἀλλὰ καὶ τὴν θείαν διδάσκων ἡμᾶς κρίσιν, καὶ πάντα κεκριμένως ἡμᾶς πράττειν παιδεύων, κρίσιν τοῖς ἔθνεσιν ἐξοίσειν λέγεται.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ.

14 Τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον, τοῦ μὴ μαθεῖν. Καὶ ἐρεῖ, μενῶ τὸν Θεὸν, τὸν ἀποστρέψαντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσομαι ἐπ' αὐτῷ. Ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία ἅ μοι ἔδωκεν ὁ c Θεός. Καὶ ἔσται σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ παρὰ Κυρίου Σαβαὼθ, ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Καὶ ἐὰν εἴπωσι πρὸς ὑμᾶς, ζητήσατε τοὺς ἐγγαστριμύθους, καὶ τοὺς ἀπὸ [b] τῆς γῆς φωνοῦντας, τοὺς κενολογοῦντας, οἳ ἐκ τῆς κοι-

Περὶ τῶν σημείων καὶ τεράτων, ὧν κατειργάσατο.

[b] γῆς] τῆς γῆς S.

quuntur. Hoc vero salutare judicium a Christo esse proferendum alia quoque prophetia denunciat, quæ sic ait, *Ecce puer meus, suscipiam eum: electus meus, suscepit eum anima mea: judicium gentibus proferet.* Proinde etiam de verbo novi testamenti dictum est, *De Sion exibit lex, et verbum Domini de Hierusalem, et judicabit inter gentes.* Divino enim judicio rationibusque nobis occultis atque ineffabilibus ea quæ ad vocationem pertinent eorum, qui ad ipsum convertuntur, administrare illum par est. Quinetiam dum nos divinum docet judicium, dumque ut omnia cum judicio faciamus instituit, judicium gentibus dicitur prolaturus.

Es. 41, 1.

Mic. 4, 2.

AB EODEM.

14 *Tunc manifesti erunt qui signant et claudunt legem, ne discant. Et dicet, Expectabo Deum, qui avertit faciem suam a domo Jacob, et confidens ero in ipso. Ecce ego et pueri, quos mihi dedit Deus. Et erunt signa et prodigia in Israel a Domino Sabaoth, qui habitat in monte Sion: et si dixerint ad vos, quærite pythonas, et eos qui de*

Es. 8, 16.

De signis et prodigiis, quæ edidit.

λίας φωνοῦσιν· οὐκ ἔθνος πρὸς Θεὸν αὐτοῦ; τί ἐκζητοῦσι περὶ
τῶν ζώντων τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν ἔδωκεν.
2 Ἐν τῇ πρὸς Ἑβραίους ἐπιστολῇ παραθεὶς ὁ ἀπό-
στολος τὴν φάσκουσαν λέξιν, ἰδοὺ ἐγὼ, καὶ τὰ παιδία
ἅ μοι ἔδωκεν ὁ Θεὸς, ἐπεξεργάζεται περὶ τοῦ Χριστοῦ d
λέγων, ἐπεὶ οὖν τὰ παιδία [c] κεκοινώνηκεν αἵματος καὶ
σαρκὸς, καὶ αὐτὸς παραπλησίως μετέσχε τῶν αὐτῶν, ἵνα
διὰ τοῦ θανάτου καταργήσῃ τὸν τὸ κράτος ἔχοντα τοῦ θανά-
3 του. Παῖδας δὲ αὐτοῦ ἐν τούτοις τοὺς ἀποστόλους
ὀνομάζει, ἐφ᾽ ὧν σημεῖα καὶ τέρατα ἐν τῷ οἴκῳ Ἰσραὴλ
ποιήσειν τὸν Κύριον Σαβαὼθ, τὸν κατοικοῦντα ἐν τῷ
ὄρει Σιὼν, διδάσκει, τούτους δὲ αὐτοὺς φανεροὺς ἔσεσθαι
συνήθως ἡμῖν τὰ πρόσωπα σφραγιζομένους τῇ τοῦ
Χριστοῦ σφραγῖδι, παιδευομένους τε μηκέτι τὸν Μω-
σέως νόμον μανθάνειν, τῷ μηκέτι συνεστάναι αὐτὸν, καὶ
τῷ τὸν καλούμενον οἶκον Ἰακὼβ καταλελεῖφθαι ὑπὸ τοῦ
4 Θεοῦ. [d] Ἀσαφῶς δὲ παρὰ τοῖς ἑβδομήκοντα εἰρημένον,
τότε φανεροὶ ἔσονται οἱ σφραγιζόμενοι τὸν νόμον τοῦ μὴ
μαθεῖν. Καὶ ἐρεῖ, μενῶ τὸν Θεὸν τὸν ἀποστρέψαντα τὸ p. 451
πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ πεποιθὼς ἔσο-

[c] κεκοινώνικεν S. [d] ἠσαφῶς S.

terra voces edunt, qui inania loquuntur, qui de ventre voces emittunt. Non gens ad Deum suum? quid exquirunt de viventibus a mortuis? legem enim in auxilium dedit. Paulus quidem apostolus in epistola ad Hebræos citans hujus loci verba illa, *Ecce ego et pueri, quos dedit mihi Deus,* exequitur explanationem de Christo, dicens, *Quia ergo pueri communicaverunt carni et sanguini, et ipse similiter participavit eisdem, ut per mortem destrueret eum qui habebat imperium mortis.* Pueros autem suos hoc in loco apostolos nominat, per quos Dominum Sabaoth qui habitat in monte Sion signa et prodigia in domo Israel editurum indicat, eosdemque fore manifestos, dum more nostro vultus Christi annulo impressos et signatos gerent, monebunturque ne amplius Mosi legem discant, quippe quæ amplius non consistat, eo quod quæ vocatur domus Jacob a Deo relicta sit. Quum vero obscurius apud LXX dictum sit illud, *Tunc manifesti erunt qui signant et claudunt legem ne discant. Et dicet, Expectabo Deum qui avertit faciem suam a domo Jacob, et confidens ero in eo.* Planius idem red-

Heb. 2, 13.

μαι ἐπ' αὐτῷ, σαφέστερον ὁ Σύμμαχος ἐξέδωκεν εἰπὼν, δῆσον μαρτύριον, σφράγισον νόμον ἐν τοῖς διατάγμασί μου. Καὶ προσδοκήσω τὸν Κύριον τὸν κρύβοντα τὸ πρόσωπον αὐτοῦ
5 ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ ἀναμενῶ αὐτόν. Καὶ ὁ Ἀκύλας δὲ τοῦτον καὶ αὐτὸς ἐξέδωκε τὸν τρόπον, ἔνδησον μαρτύριον, σφράγισον νόμον ἐν διδακτοῖς μου. Καὶ προσδέξομαι τὸν Θεὸν τὸν ἀποκρύβοντα τὸ πρόσωπον αὐτοῦ ἀπὸ τοῦ οἴκου Ἰακὼβ, καὶ ὑπομενῶ αὐτόν. Ταῦτα δ' οὖν οἱ b
τοῦ Σωτῆρος ἡμῶν ἀπόστολοι διδάσκονται ποιεῖν. Οἷς ἑξῆς ἐπιλέγει, ἰδοὺ ἐγὼ καὶ τὰ παιδία, ἅ μοι ἔδωκεν ὁ Θεός. Καὶ ἔσται εἰς σημεῖα καὶ τέρατα ἐν τῷ Ἰσραὴλ
6 παρὰ Κυρίου Σαβαὼθ [d]ὃς κατοικεῖ ἐν τῷ ὄρει Σιών. Κατοικήσας δὲ ὁ Κύριος Σαβαὼθ, ὁ τοῦ Θεοῦ Λόγος, ἐν ᾧ ἀνείληφεν ἀνθρώπῳ, καὶ τὰς διατριβὰς πεποιημένος ἐν τῷ ὄρει Σιὼν, σημεῖά τε καὶ τέρατα διαπραξάμενος, ὁμοῦ τοῖς αὐτοῦ μαθηταῖς καὶ πᾶσι τοῖς εἰς αὐτὸν πεπιστευκόσιν ἐξ ἁπάντων τῶν πρὶν εἰδωλολατρῶν παρακελεύεται μηκέτι δεδιέναι κατὰ μηδένα τρόπον τὴν δεισιδαίμονα πλάνην· ἀλλ' εἰ καὶ παρασαλεύοιεν αὐ- c
τοὺς ἢ καὶ ἀναγκάζοιεν οἱ ἐξ ἐθνῶν εἰδωλολάτραι ζητεῖν

[d] ὃς—σαβαὼθ add. P.

didit Symmachus his verbis, *Liga testimonium, signa legem in ordinationibus meis. Et expectabo Dominum qui abscondit faciem suam a domo Jacob, et expectabo ipsum.* Aquila vero etiam ipse in hunc modum convertit, *Illiga testimonium, signa legem in docibilibus meis, et assumam Deum qui abscondit faciem suam a domo Jacob, et expectabo ipsum.* Hæc igitur facere Salvatoris nostri discipuli docentur, post quæ deinceps subjungit, *Ecce ego et pueri quos dedit mihi Deus. Et erunt in signa et portenta in Israel a Domino Sabaoth, qui habitat in monte Sion.* Porro Dominus Sabaoth, ipsum Dei Verbum, postquam habitavit in eo homine quem assumpsit, et in monte Sion versatus est, signaque et portenta edidit, tum vero suis discipulis, et omnibus quicunque ante asimulachris addicti in fidem ipsius venissent, præcepit, ne amplius superstitionis errorem ullo modo timerent, verum potius, quamvis ipsos agitarent aut etiam cogerent qui apud gentes colebant simulachra quærere pythones et oracula dæmonum

τοὺς ἐγγαστριμύθους καὶ τὰ τῶν δαιμόνων μαντεῖα ὡς θαυμάσια καὶ κατ᾽ οὐδὲν λείποντα τῆς τῶν θείων καὶ θεοφιλῶν ἀνδρῶν προφητικῆς διαίτης, αὐτοὺς δεῖν ἀποκρίνεσθαι καὶ λέγειν διδάσκει, τί ἐκζητοῦσι περὶ τῶν ζών-
7 των τοὺς νεκρούς; νόμον γὰρ εἰς βοήθειαν δέδωκε, καὶ τὰ τούτοις ἀκόλουθα. Τοὺς γὰρ ἅπαξ νόμον εἰληφότας καὶ σωτηρίους ἐντολὰς ἐπὶ βοηθείᾳ καὶ θεραπείᾳ τοῦ ἰδίου βίου περιττὸν μαντείας πολυπραγμονεῖν διὰ τῆς d
δαιμονικῆς ἀπάτης ἐνεργουμένας.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ.

15 Περὶ τοῦ μὴ φαντιᾶν ἐν τῷ παραδοξοποιεῖν τὸν Χριστόν.

Ἰακὼβ ὁ παῖς μου, ἀντιλήψομαι αὐτοῦ· Ἰσραὴλ ὁ ἐκλεκτός μου, προσεδέξατο αὐτὸν ἡ ψυχή μου. Κρίσιν τοῖς ἔθνεσιν ἐξοίσει, οὐ κεκράξεται, οὐδὲ ἀνήσει, οὐδὲ ἀκουσθήσεται p. 452
ἔξω ἡ φωνὴ αὐτοῦ. Κάλαμον συντετριμμένον οὐ κατεάξει, καὶ λίνον καπνιζόμενον οὐ σβέσει, ἀλλ᾽ εἰς ἀλήθειαν ἐξοίσει κρίσιν. Ἀναλάμψει καὶ οὐ θραυσθήσεται, ἕως ἂν θῇ ἐπὶ γῆς κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Οὕτως λέγει Κύριος ὁ Θεὸς, ὁ ποιήσας τὸν οὐρανὸν, καὶ πήξας αὐτὸν, ὁ στερεώσας τὴν γῆν, καὶ τὰ ἐν αὐτῇ, καὶ διδοὺς πνοὴν τῷ λαῷ τῷ ἐπ᾽ αὐτῆς, καὶ πνεῦμα τοῖς πατοῦσιν αὐτήν. Ἐγὼ Κύριος ὁ Θεός [e] σου ἐκάλεσά σε ἐν δικαιοσύνῃ, καὶ b

[e] σου add. P.

tanquam admirabilia et nullis partibus inferiora divinorum Deoque amicorum hominum prophetico ritu, attamen ipsi illis responderent ac dicerent, *Quid interrogant de viventibus mortuos? legem enim in auxilium dedit*, et quæ deinceps sequuntur. Eos enim qui semel et legem et salutaria præcepta ad propriæ ipsorum vitæ opem atque medelam acceperint, oracula quæ dæmonicis fraudibus nixa respondeant curiosius inquirere supervacaneum inaneque fuerit.

AB EODEM.

15 Es. 42, 1. De non enunciando aut indicando, dum miracula ederet Christus.

Jacob puer meus, suscipiam eum: Israel electus meus, assumpsit eum anima mea: judicium gentibus proferet, non clamabit, neque remittet, neque audietur foris vox ejus, calamum contritum non franget, et linum fumigans non extinguet, sed in veritate proferet judicium, resplendebit et non conquassabitur, donec ponat in terra judicium, et in nomine ejus gentes sperabunt. Sic dicit Dominus Deus qui fecit cœlum, et intendit illud, qui firmavit terram et ea quæ sunt in ipsa, quique dat

κρατήσω τῆς χειρός σου, καὶ ἐνισχύσω σε, καὶ ἔδωκά σε εἰς
διαθήκην γένους, εἰς φῶς ἐθνῶν, ἀνοῖξαι ὀφθαλμοὺς τυφλῶν,
καὶ ἐξαγαγεῖν ἐκ δεσμῶν δεδεμένους, καὶ ἐξ οἴκου φυλακῆς
καθημένους ἐν σκότει.

2 Καὶ ταύτης ὁ εὐαγγελιστὴς μνημονεύει τῆς λέξεως,
ὅτε ἐξελθόντες οἱ Φαρισαῖοι συμβούλιον ἔλαβον κατὰ τοῦ
Σωτῆρος ἡμῶν ὅπως [f] αὐτὸν ἀπολέσωσιν, ἐπειδὴ τοῖς
σάββασιν τοὺς κάμνοντας ἐθεράπευε. Τὸ τηνικαῦτα
γάρ, ὥς φησι, γνοὺς ὁ Ἰησοῦς τὴν κατ' αὐτοῦ συσκευὴν
ἀνεχώρησεν ἐκεῖθεν, καὶ ἠκολούθησαν αὐτῷ ὄχλοι πολλοί, C
καὶ ἐθεράπευσεν αὐτοὺς πάντας, καὶ [g] ἐπέπληξεν αὐτοῖς ἵνα
3 μὴ φανερὸν αὐτὸν ποιήσωσιν. Οἷς ἐπιφέρει λέγων, καὶ
ταῦτα πάντα γέγονε, τουτέστι τὸ ἀναχωρεῖν [h] αὐτόν, καὶ
τὸ ἐκκλίνειν τοὺς ἐπιβούλους, καὶ τὸ λανθάνειν σπουδά-
ζειν ἐν οἷς ἔπραξε παραδόξοις, καὶ τὸ παρεγγυᾶν τοῖς
θεραπευομένοις μὴ φανερὸν αὐτὸν ποιεῖν, ἵνα πληρωθῇ τὸ
ῥηθὲν διὰ τοῦ προφήτου λέγοντος, Ἰδοὺ ὁ παῖς μου, [i] εἰς
ὃν εὐδόκησα, ὁ ἀγαπητός μου ὃν ᾑρέτισεν ἡ ψυχή μου.
Θήσω τὸ πνεῦμά μου ἐπ' αὐτόν, καὶ κρίσιν τοῖς ἔθνεσιν

[f] αὐτῶν S. [g] ἐπέπλησεν S. [h] αὐτοῦ S. [i] ὃν ᾑρέτισα ὁ ἀγαπητός μου εἰς ὃν εὐδόκησεν] εἰς ὃν εὐδόκησα, ὁ ἀγαπητός μου ὃν ᾑρέτισεν P.S. cum interprete.

flatum populo, qui est in ea, et spiritum calcantibus eum, ego Dominus Deus tuus vocavi te in justitia, et apprehendam manum tuam, et corroborabo te, et dedi te in testamentum generis, in lumen gentium, ut aperires oculos cæcorum, et educeres ex vinculis illigatos, et de domo carceris sedentes in tenebris: atque hujus loci evangelista meminit, quo tempore *pharisæi consilium cæperunt* contra Salvatorem nostrum, *ut eum interficerent,* propterea quod sabbatis ægrotantes curaret, tunc enim, inquit, Jesus intellecta adversum se conspiratione, *secessit inde, et secutæ sunt eum turbæ multæ et curavit eos omnes, et præcepit eis ne manifestum ipsum facerent,* quibus hæc adjungit deinceps, *Et hæc omnia,* inquit, *facta sunt:* hoc est, quod secesserit, quod declinaverit insidiatores, quod latere studuerit dum miracula ederet, quodque eis quos curasset præceperit ne manifestum ipsum facerent, *ut impleretur quod dictum est per prophetam dicentem, Ecce puer meus, in quo complacui: dilectus meus, quem elegit anima mea. Ponam spiritum meum super eum, et judicium gentibus nuntiabit, non contendet*

Matth. 12, 14.

ἀπαγγελεῖ. Οὐκ ἐρίσει οὐδὲ κραυγάσει, οὐδὲ ἀκούσεταί
τις ἐν ταῖς πλατείαις τὴν φωνὴν αὐτοῦ. Κάλαμον συν- d
τετριμμένον οὐ κατεάξει, καὶ λίνον τυφόμενον οὐ σβέσει,
ἕως ἂν ἐκβάλῃ εἰς νῖκος τὴν κρίσιν, καὶ ἐπὶ τῷ ὀνόματι
4 αὐτοῦ ἔθνη ἐλπιοῦσιν. Τήρει δὲ ἐπιμελῶς τίνα τρόπον ὁ
Ματθαῖος εἰπὼν, ἰδοὺ ὁ παῖς μου, ὃν ᾑρέτισα, ὁ ἀγαπητός
μου, ἐν ᾧ εὐδόκησεν ἡ ψυχή μου, οὔτε τοῦ Ἰακὼβ οὔτε
τοῦ Ἰσραὴλ ἐμνήσθη. Οὐ γὰρ εἶπεν Ἰακὼβ ὁ παῖς
μου, Ἰσραὴλ ὁ ἐκλεκτός μου, ἀορίστως δὲ ἐξήνεγκεν
5 εἰπὼν, ἰδοὺ ὁ παῖς μου καὶ ὁ ἀγαπητός μου. Ὅθεν, ὡς
μὴ δὲ ἐν τῷ Ἑβραϊκῷ τῆς προφητείας κειμένης, [k] παρὰ
μὲν τοῖς Ἑβδομήκοντα ὠβέλισται τὸ τοῦ Ἰακὼβ καὶ
τὸ τοῦ Ἰσραὴλ ὄνομα· καὶ παρὰ τοῖς λοιποῖς δὲ ἑρμη-
νευταῖς παρασεσιώπηται, ἐπεὶ μὴ δ᾽ ἐν τῷ Ἑβραϊκῷ
6 φέρεται. Ἔνθεν εἰκότως οὐδὲ παρὰ τῷ εὐαγγελιστῇ p. 453
εἴρηται, Ἑβραίῳ ὄντι, καὶ ἀκολούθως τῇ Ἑβραίων
γραφῇ τὴν προφητείαν ἐκθεμένῳ. Τοιγαροῦν οὔτε κατὰ
διάνοιαν τῷ ἐκ περιτομῆς λαῷ τὰ θεσπιζόμενα ἁρμόζει,
μόνῳ δὲ τῷ Χριστῷ τοῦ Θεοῦ μαρτυρουμένῳ ὑπὸ τῆς

[k] παρὰ—ὠβέλισται] Quo sensu hæc verba accipienda sunt docet Grotius ad Matth. 12, 18.

neque clamabit, neque audiet quispiam in plateis vocem ejus, arundinem quassatam non confringet, et linum fumigans non extinguet, donec ejiciat in victoriam judicium, et in nomine ejus gentes sperabunt. Animadverte diligenter quonam modo Matthæus, ubi dixit, *Ecce puer meus quem elegi, dilectus meus in quo complacuit anima mea,* neque Jacob neque Israel nominaverit, non enim dixit, Jacob puer meus, Israel electus meus, sed indefinite enuntiavit, dicens, *Ecce puer meus, et dilectus meus.* Quocirca, quasi in Hebraico ea prophetia non sit, apud ipsos quidem LXX obelisco signatum est nomen Jacob atque Israel: apud reliquos autem interpretes silentio præteritum, propterea quod ne in Hebraico quidem feratur. Proinde etiam evangelista merito id prætermisit, quippe qui et Hebræus esset, et in prophetiæ positione Hebraicos libros sequeretur. Ergo ne sententiam quidem si spectes populo ad circuncisionem spectanti oraculum accommodari poterit, sed uni Christo Dei, cui et ipsa evidentia et eventus rerum fidem indubitatam facit. Unus enim hic futurum judicium

ἐναργείας καὶ τῆς τῶν πραγμάτων ἐκβάσεως. Μόνος
γὰρ οὗτος τὴν μέλλουσαν κρίσιν τοῖς ἔθνεσι προεκή-
ρυξεν, ἡσυχῇ τῷ βίῳ τῶν ἀνθρώπων ἐπιδημήσας, καὶ
κρίσιν ἐπὶ τῆς γῆς θέμενος· καὶ οὐ μόνον κάλαμον συν- b
τετριμμένον οὐ κατέαξεν, ἀλλὰ, εἴ ἐστιν εἰπεῖν, συνέδησεν,
ἀνορθώσας καὶ ἰσχυροὺς ἀπεργασάμενος τοὺς ἀσθενεῖς
7 καὶ τοὺς συντετριμμένους τὴν καρδίαν. Ὥσπερ δὲ τοὺς
ἀσθενεῖς καὶ σαθροὺς καὶ τῆς αὐτοῦ θεραπείας δεομένους
οὐ παρεώρα, οὐδὲ μετανοοῦντας κατακρίνων συνέτριβεν,
οὕτως οὐδὲ τοὺς τοῖς κακοῖς ἐπιμένοντας καὶ ὑπὸ τῶν
παθῶν τυφομένους ἐσβέννυε, κωλύων παρὰ τὴν αὐτῶν
προαίρεσιν ἐνεργεῖν, οὐδὲ μὴν παρὰ καιρὸν ἐτιμωρεῖτό c
τινα τούτων, τὴν κατ' ἀξίαν αὐτῶν κόλασιν εἰς τὸν τῆς
8 καθόλου κρίσεως καιρὸν ὑπερτιθέμενος· διὸ λέλεκται,
καὶ λίνον τυφόμενον οὐ σβέσει. Ἄντικρυς δὲ πέρας εἴ-
ληφε τὸ, *καὶ ἐν τῷ ὀνόματι αὐτοῦ ἔθνη ἐλπιοῦσιν.* Ἐπὶ
μόνῳ γοῦν τῷ τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ ὀνό-
ματι ἤλπισε τὰ Χριστιανῶν ἔθνη, τὴν ἐπωνυμίαν αὐτοῦ
ὡς πατρὸς ἧς παρειλήφασιν εὐσεβείας ἐπιγραφόμενα.
9 Καὶ γὰρ εἰς φῶς οὐκ ἄλλοις ἢ τοῖς ἔθνεσι δεδόσθαι

gentibus publice denuntiavit, quum seipsum tacite in vitam hominum insinuaverit, atque in terra judicium posuerit, et non modo arundinem contritam non confregit, sed, si fas est dicere, colligavit, quum infirmos et contritos corde erexerit, fortesque reddiderit, et quemadmodum infirmos ac debiles et suæ ipsius curationis indigentes non despiciebat, neque quos prioris vitæ pœnituisset condemnabat aut conterebat, sic ne illos quidem qui in malis perseverarent, aut qui pravis animi affectibus incenderentur, extinguebat, aut ne ex suo proposito suaque ipsorum libidine agerent prohibebat, neque vero præter tempus unquam horum aliquem supplicio affecit, quippe qui talibus debitas pro meritis pœnas in tempus communis judicii reservaret, ex quo illud dictum est, *et linum fumigans non extinguet.* Planissime autem finem suum accepit etiam illud, *Et in nomine ejus gentes sperabunt:* in solo enim Salvatoris nostri Jesu Christi nomine Christianæ gentes speraverunt, quæ etiam ex religione quam accepere illius quasi parentis cognomine notatæ sunt. Etenim quod nullis aliis nisi gentibus in lucem sit datus jam antea dictum fuerat:

προπεφώνηται, δι' αὐτοῦ τε τῇ προρρήσει ἀκολούθως ὀφθαλμοὶ τυφλῶν τῶν πάλαι τὴν διάνοιαν πεπηρωμένων, καὶ οὐ μόνον [l] τούτων ἀλλὰ καὶ τῶν αὐτὸ τὸ d σῶμα ἠφανισμένων, καὶ οἱ δεσμοῖς [m] τε καὶ σειραῖς ἁμαρτιῶν, ἐν σκότει καὶ ἀγνοίᾳ τῆς ἀληθοῦς εὐσεβείας τὸ πρὶν [n] κεκαλινδημένοι, δι' αὐτοῦ τῶν ἁμαρτιῶν λυθέντες, τοῦ φωτὸς τῆς γνώσεως καὶ τῆς παρὰ τῷ Θεῷ ἐλευθερίας ἠξίωνται. Καὶ σὺ δὲ ἐπὶ σχολῆς τοῖς ἀποδεδομένοις ἀκολούθως βασανίσας τὴν λέξιν, ἐπὶ μόνῳ ἂν εὕροις τῷ Κυρίῳ καὶ Σωτῆρι ἡμῶν ἕκαστον ἀκριβῶς τῶν δι' αὐτῆς δηλουμένων πεπληρωμένον.

ΑΠΟ ΤΟΥ ΑΥΤΟΥ. p. 454

16 Εἶδον τὸν Κύριον καθήμενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ Σεραφεὶμ εἱστήκεισαν κύκλῳ αὐτοῦ.

Περὶ τοῦ μὴ πιστεύσειν εἰς αὐτὸν τὸν τῶν Ἰουδαίων λαόν.

Εἶθ' ὑποβάς φησι,

Καὶ ἤκουσα τῆς φωνῆς Κυρίου λέγοντος, τίνα ἀποστείλω, καὶ τίς πορεύσεται πρὸς τὸν λαὸν τοῦτον; καὶ εἶπα, Ἰδοὺ b ἐγώ εἰμι, ἀπόστειλόν με, καὶ εἶπε, Πορεύθητι, καὶ [o] εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε, καὶ βλέ-

[l] τούτων om. P. [m] τε καὶ] δὲ καὶ P. [n] καὶ καλινδημένοι P. ut vulg. S. [o] εἶπε] εἶπον P. et infra.

et per eundem, ut ipsum oraculum significaverat, oculi cæcorum, eorum utique qui quondam mente excæcati erant, aperti sunt, neque eorum modo, sed etiam qui ipsum corpus perdidissent. At qui vinculis et catenis peccatorum in tenebris et ignoratione veræ pietatis prius versabantur, per eundem a peccatis soluti lumen cognitionis libertatemque apud Deum accipere meruerunt. Tu vero ad horum exemplar quæ exposita sunt si reliquam item dictionem exploraveris, in solo Domino Salvatoreque nostro unumquodque eorum, quæ in illa continentur, absolute completum invenies.

AB EODEM.

16 *Vidi Dominum sedentem super solio excelso et sublimi: et Seraphim stabant in circuitu ejus.* Deinde paululum progressus sic ait, *Et audivi vocem Domini dicentis, Quem mittam? et quis ibit ad populum hunc? Et dixi, Ecce ego adsum, mitte me. Et dixit, Vade, et dic populo huic, auditu audietis, et non intelligetis, et intuentes intuebimini,*

Es. 6, 1. De eo quod Judaicus populus in ipsum crediturus non esset.

ποντες βλέψετε, καὶ οὐ μὴ ἴδητε. Ἐπαχύνθη γὰρ ἡ καρδία τοῦ λαοῦ τούτου, καὶ τοῖς ὠσὶν αὐτῶν βαρέως ἤκουσαν, καὶ τοὺς ὀφθαλμοὺς αὐτῶν [p] ἐκάμμυσαν, μήποτε ἴδωσι τοῖς ὀφθαλμοῖς, καὶ τοῖς ὠσὶν ἀκούσωσι, καὶ τῇ καρδίᾳ συνῶσι, καὶ ἐπιστρέψωσι, καὶ [q] ἰάσωμαι αὐτούς.

2 Ἔχεις καὶ τούτων τὸ ἀποτέλεσμα ἐπὶ τοῦ Σωτῆρος
ἡμῶν, κατὰ μὲν τὸν Ἰωάννην φήσαντα, τοσαῦτα δὲ αὐτοῦ
σημεῖα πεποιηκότος ἔμπροσθεν αὐτῶν, οὐκ ἐπίστευσαν εἰς c
αὐτὸν, ἵνα ὁ λόγος Ἡσαΐου τοῦ προφήτου πληρωθῇ, ὃν εἶπε,
Κύριε, τίς ἐπίστευσε τῇ ἀκοῇ ἡμῶν, καὶ ὁ βραχίων Κυρίου
τίνι ἀπεκαλύφθη; διὰ τοῦτο οὐκ ἠδύναντο πιστεύειν· εἶπε
γὰρ πάλιν Ἡσαΐας, Τετύφλωκεν αὐτῶν τοὺς ὀφθαλμοὺς,
καὶ ἐπώρωσεν αὐτῶν τὴν καρδίαν, ἵνα μὴ ἴδωσι τοῖς ὀφθαλ-
μοῖς, καὶ νοήσωσι τῇ καρδίᾳ, καὶ ἐπιστρέψωσι, καὶ ἰάσω-
3 μαι αὐτούς. Ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν
αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ· κατὰ δὲ τὸν Ματθαῖον,
ὅτε προσελθόντες οἱ μαθηταὶ αὐτοῦ εἶπον αὐτῷ, Διατί ἐν d
παραβολαῖς αὐτοῖς λαλεῖς; ὁ δὲ ἀποκριθεὶς εἶπεν, Ὑμῖν
δέδοται γνῶναι τὰ μυστήρια τῆς βασιλείας, [r] ἐκείνοις δὲ οὐ
δέδοται. Διὰ τοῦτο ἐν παραβολαῖς αὐτοῖς λαλῶ, ἵνα

p ἐκάμυσαν P. q ἰάσομαι P. ubi mox τὸ suprasc. r ἐκείνης S.

et non videbitis. Crassum enim factum est cor populi hujus, et auribus suis graviter audierunt, et oculos suos clauserunt, ne quando videant oculis, et auribus audiant, et corde intelligant, et convertantur, et sanem eos. Harum quoque rerum habes eventum in Salvatore nostro, ut apud Joannem legimus, qui ait, *Quum autem tam multa signa fecisset* Jo. 12, 37.
coram eis, non crediderunt in eum, ut sermo Esaiæ prophetæ impleretur, quem dixit, Domine quis credidit auditui nostro? et brachium Domini cui revelatum est? Propterea non poterant credere, quia iterum dixit Esaias, Excæcavit oculos eorum, et induravit cor eorum, ne videant oculis, et corde intelligant, et convertantur et sanem eos. Hæc dixit Esaias, quando vidit gloriam ejus, et locutus est de eo. Cæterum, ut est apud Matthæum, *Accedentes discipuli ejus dixerunt ei, Quare in* Matth. 13, 10.
parabolis loqueris eis? qui respondens ait illis, Vobis datum est nosse mysteria regni, illis autem non est datum: ideo in parabolis loquor eis, ut videntes non videant, et audientes non audiant, ne quando conver-

βλέποντες μὴ βλέπωσι, καὶ ἀκούοντες μὴ ἀκούωσι, μή
4 ποτε ἐπιστρέψωσι, καὶ [s] ἰάσωμαι αὐτούς. Τότε ἐπληρώθη
ἐπ' αὐτοῖς ἡ προφητεία Ἡσαΐου ἡ λέγουσα, πορεύθητι,
καὶ εἶπον τῷ λαῷ τούτῳ, ἀκοῇ ἀκούσετε, καὶ οὐ μὴ συνῆτε,
καὶ τὰ τούτοις ἑξῆς. Ἐπιτήρει δὲ τίνα τρόπον ὁ Ἰωάννης
ἐπάγει λέγων, ταῦτα εἶπεν Ἡσαΐας, ὅτε εἶδε τὴν δόξαν
αὐτοῦ, καὶ ἐλάλησε περὶ αὐτοῦ, ὡς τὸν Χριστὸν ἑωρα-
κότος καὶ τὴν Χριστοῦ δόξαν τοῦ προφήτου κατὰ τὴν
ὀπτασίαν, ἐν ᾗ ἔφησεν, εἶδον τὸν Κύριον Σαβαὼθ καθή- p. 455
5 μενον ἐπὶ θρόνου ὑψηλοῦ καὶ ἐπηρμένου, καὶ τὰ ἑξῆς. Τίς
δ' οὐκ ἂν ἐκπλαγείη τὴν πρόρρησιν, ἐναργῶς οὕτως
εἰσέτι νῦν ὁρῶν τῶν ἐκ περιτομῆς τὴν εἰς Χριστὸν ἀπι-
στίαν; καὶ πάλαι μὲν γὰρ ἐνανθρωποῦντα καὶ παρα-
δοξοποιοῦντα ἐν αὐτοῖς ὁρῶντες αὐτὸν, ὀφθαλμοῖς ψυχῆς
καὶ διανοίας ὄμμασιν οὐκ ἐθεῶντο, οὐδέ τις ἦν ἐν αὐτοῖς
νοερᾶς ἐνθυμήσεως ὅρασις εἰς τὸ συνιέναι τίς ποτ' ἄρα
ἦν ἡ τὰ τοσαῦτα καὶ τηλικαῦτα θαυματουργοῦσα ἐν
6 αὐτοῖς δύναμις. Ἀλλὰ καὶ αὐταῖς ἀκοαῖς ῥήματα ζωῆς
αἰωνίου δέξασθαι κατηξιωμένοι, καὶ φωνῆς ἐνθέου σοφίας b
ἀκροώμενοι, ὡσὶ διανοίας οὐκ ἤκουον, ὡς ἐναργὲς τέλος

[s] ἰάσομαι P.

tantur, et sanem eos. Tunc completa est in eis prophetia Esaiæ, quæ dicit, *Vade et dic populo huic, auditu audietis, et non intelligetis,* et quæ sequuntur. Attende vero quid sit quod Joannes adjungit, ubi ait, *Hæc dixit Esaias, quando vidit gloriam ejus, et locutus est de eo.* Quod sane non aliter accipiendum est, ac si Christum Christique gloriam propheta in ea visione viderit, in qua ait, *Vidi Dominum Sabaoth sedentem in solio excelso et sublimi,* et quæ sequuntur. Quis autem non admiretur oraculum, quum etiam nunc adeo evidenter intueri liceat Judaici populi adversus Christum incredulitatem? nam olim quidem illum hominem factum miraculaque edentem apud se intuentes, animi atque intelligentiæ oculis cernere non poterant, neque apud ipsos ullus erat animæ intelligentis intuitus, quo perspicerent quænam esset in mediis ipsis virtus, quæ tanta et tam multa miracula efficeret. Quin etiam quum auribus verba vitæ æternæ percipere idonei redditi essent, et vocem divinæ sapientiæ audirent, auribus mentis non audiebant, ut sic videlicet ipsimet prophetiæ

7 ἐπαγαγεῖν αὐτοὺς τῇ προφητείᾳ. Καὶ εἰς δεῦρο δὲ τὴν
ἔνθεον τοῦ Χριστοῦ δύναμιν, δι' ἧς πᾶν γένος ἀνθρώπων
ἀποστήσας τῆς πατρίου δεισιδαιμονίας ὑπηγάγετο τῇ
κατ' αὐτὸν θεοσεβείᾳ, ἐναργῶς οὕτως ἐμφαινομένην
ὁρῶντες οὐδαμῶς ἐφιστῶσιν τῇ διανοίᾳ οὐδ' ἐπιβάλ-
λουσιν ὅπως τὸ μήτε Μωσεῖ μήτε τοῖς μετὰ Μωσέα
προφήταις ἐπὶ μόνων αὐτῶν κατορθωθὲν, τοῦτο δὴ τὸ
μὴ εἰδωλολατρεῖν μὴ δὲ τῇ πολυθέῳ προσέχειν πλάνῃ, c
τοῦτ' ἐπὶ πάντων [t] τῶν ἐθνῶν ἡ τοῦ Σωτῆρος ἡμῶν
8 ἔνθεος ἀρετὴ συνεστήσατο. Εἶτα δὲ [u] καὶ ταῖς προφη-
τικαῖς ἐντυγχάνοντες περὶ αὐτοῦ μαρτυρίαις, ἀκοῇ μὲν
ἀκούουσιν, ἀλλ' οὐ συνίασιν, ἔργῳ πληρουμένης εἰσέτι
καὶ νῦν κατ' αὐτῶν τῆς ἐν χερσὶ προφητείας.

ἈΠῸ ΤΟΥ͂ ΖΑΧΑΡΊΟΥ.

17 Χαῖρε σφόδρα, θύγατερ Σιὼν, κήρυσσε θύγατερ Ἱερουσαλὴμ, ἰδοὺ ὁ βασιλεύς σου ἔρχεταί σοι δίκαιος καὶ σώζων, αὐτὸς πραῢς, καὶ ἐπιβεβηκὼς ἐπὶ ὑποζύγιον καὶ πῶλον νέον· καὶ ἐξολοθρεύσει ἅρματα ἐξ Ἐφραὶμ, καὶ ἵππον ἐξ Ἱερουσαλὴμ, καὶ ἐξολοθρευθήσεται τόξον πολεμικὸν, καὶ πλῆθος d

Ὡς ἐπὶ πῶλον ὀχούμενος ἐλάσειν εἰς τὰ Ἱεροσόλυμα προφητεύεται.

[t] τῶν add. P. [u] καὶ add. P.

manifestum finem imponerent. Adhuc autem quum divinam Christi virtutem, per quam omne genus hominum patriis superstitionibus liberatum suæ ipsius religioni subjecit, tam clare micantem inspiciant, nequaquam vi mentis attendunt neque animadvertunt quemadmodum quod neque a Mose neque a posterioribus Mose prophetis in solis ipsis obtineri potuit, hoc est ne simulachris addicerentur neque multorum deorum superstitioni adhærerent, ipsum hoc in cunctis gentibus divina Salvatoris nostri virtus, ut constitueretur, effecerit. Deinde prophetica de illo testimonia assidue versantes, auditu quidem audiunt, sed non intelligunt, utpote quum etiam nunc prophetia, quæ nunc in manibus est, contra ipsos re ipsa compleatur.

A ZACHARIA.

17 *Gaude vehementer filia Sion: prædica filia Hierusalem. Ecce rex tuus venit tibi justus et salvos faciens: ipse mansuetus et impositus super jumentum et pullum adolescentem. Et perdet currus ex Ephræm, et equum ex Hierusalem: et peribit arcus bellicus, et abundantia pacis*

Zach. 9, 9. Quemadmodum super pullo sedens Hierosolyma ingressurus oraculo dicatur.

εἰρήνης ἐξ ἐθνῶν, καὶ κατάρξει ἀπὸ θαλάσσης ἕως θαλάσσης,
καὶ ἀπὸ ποταμῶν [x] εἰς διεκβολὰς γῆς.
2 Ταῦτα μετὰ τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον τοῦ Ζα-
χαρίου εἰς τὰ ὕστατα τῶν προφητῶν θεσπίσαντος,
οὐδεὶς μετὰ τοὺς τῆς προφητείας χρόνους βασιλεὺς παρὰ p. 456
Ἰουδαίοις γεγονὼς ἱστορεῖται, οἷον ἡ προφητεία παρ-
ίστησιν, εἰ μὴ μόνος ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν Ἰησοῦς
[y] ὁ Χριστὸς τοῦ Θεοῦ, καθʼ ὃν καὶ αὕτη τέλους ἐτύγχανεν
ἡ πρόρρησις, ὅτε τοῖς ἑαυτοῦ μαθηταῖς πρὸς λέξιν εἰπὼν,
πορευθέντες εἰς τὴν ἀπέναντι κώμην [z] εὑρήσετε ὄνον καὶ πῶ-
3 *λον δεδεμένον· λύσαντες αὐτὸν ἀγάγετε. Καὶ ἐάν τις ὑμῖν*
εἴπῃ, τί ποιεῖτε; εἴπατε αὐτῷ, Ὁ Κύριος αὐτῶν χρείαν ἔχει.
Καὶ ἀπελθόντες ἐκεῖνοι ἐποίησαν καθʼ ἃ προσέταξεν αὐτοῖς. b
Τὰ μὲν οὖν τῆς προρρήσεως καὶ τὰ τοῦ συμπεράσματος
4 τοῦτον ἔχει τὸν τρόπον. Τί δὲ ἄρα ἐβούλετο σημαίνειν
ἡ ἐπὶ ὄνῳ ὄχησις αὐτοῦ, ἀλλʼ ἢ τὴν ταπεινὴν καὶ ἄδοξον
αὐτοῦ παρουσίαν, καθʼ ἣν ἐποιήσατο τὴν πρώτην ἄφιξιν;
οὔσης γὰρ καὶ δευτέρας ἐνδόξου, περὶ ἧς καὶ Δανιὴλ
γυμνότερον ἐκκαλύπτων τὴν θεωρίαν εἴρηκεν, *Ἐθεώρουν*

[x] εἰς om. P. [y] ὁ om. P. [z] εὑρήσεται S.

ex gentibus. Et principatum obtinebit a mari usque ad mare, et a fluminibus per exporrectiones terræ. Quum hæc post reditum de Babylone novissimis prophetarum temporibus Zacharias cecinerit, nullus post ejus prophetiæ tempus rex apud Judæos fuisse memoratur, qualem hæc prophetia describit, nisi unus dumtaxat Salvator ac Dominus noster Jesus, Christus Dei, cujus tempore hoc quoque vaticinium suum finem est consecutum, quum ad suos discipulos verba Matth. 21, 2. illa dixit, *Ite in vicum qui contra vos est, et invenietis asinam et pullum alligatum. Solvite illum et adducite: et si quis vobis dixerit, quid facitis? dicite illi, Dominus his indiget. Et abeuntes illi fecerunt ut præceperat illis Jesus.* Et ea quidem quæ vel ad oraculum vel ad oraculi eventum pertinent in hunc modum se habent. Sed quid tandem sibi vult hæc illius in asino vectatio, nisi humilem illius et obscurum significare adventum, cujus tempore primum ipsius accessum peregit? nam est alter item gloriosus, de quo Daniel apertius Dan. 7, 9. prodens quæ contemplanda sint exponit, *Aspiciebam donec throni*

ἕως ὅτου θρόνοι ἐτέθησαν, καὶ παλαιὸς ἡμερῶν ἐκάθητο.
Χίλιαι χιλιάδες ἐλειτούργουν αὐτῷ, καὶ μυρίαι μυριάδες c
παρειστήκεισαν ἔμπροσθεν αὐτοῦ. Καὶ ἰδοὺ μετὰ τῶν νεφε-
5 λῶν τοῦ οὐρανοῦ, ὡς υἱὸς ἀνθρώπου [a]ἐρχόμενος. Καὶ ἕως
τοῦ παλαιοῦ τῶν ἡμερῶν ἔφθασε, καὶ αὐτῷ ἐδόθη ἡ ἀρχὴ,
καὶ ἡ τιμὴ, καὶ ἡ βασιλεία, καὶ πάντες οἱ λαοὶ, φυλαὶ,
γλῶσσαι αὐτῷ δουλεύουσιν. Ἡ ἐξουσία αὐτοῦ ἐξουσία
αἰώνιος, ἥτις οὐ παρελεύσεται, καὶ ἡ βασιλεία αὐτοῦ οὐ
6 διαφθαρήσεται. Τὰ μὲν τῆς πρώτης ἀφίξεως τῆς ἐναν-
θρωπικωτέρας καὶ ταπεινῆς μετὰ τῶν ἄλλων καὶ τοῦτο d
ἔχει μέγα δεῖγμα καὶ σημεῖον, τὸ πρᾷον λέγεσθαι καὶ
ἡσύχιον, ἥξειν τε ὀχούμενον ὑποζυγίῳ προφητεύεσθαι·
τοῦτο γὰρ κοινοῦ καὶ ἀνθρωπίνου βίου γένοιτ᾽ ἂν τεκμή-
ριον· τὰ δὲ τῆς δευτέρας καὶ ἐνθέου λαμπρότατα δηλοῦται
διὰ τῆς ἐπὶ νεφελῶν οὐρανοῦ παρακομιδῆς, καὶ τῆς
7 αἰωνίου πάντων τῶν ἐθνῶν βασιλείας. Καὶ ἦν γε καλὸν
ἀμφοτέρας παραθεῖναι τοῖς ἐκ περιτομῆς, λόγον τε αὐ-
τοὺς ἀπαιτῆσαι, πῶς ἂν σώσαιεν τὰς προφητείας, μίαν
ἄφιξιν Χριστοῦ προσδοκῶντες· ἐπεὶ γὰρ ἑκατέραν τῶν

[a] ἀρχόμενος S.

positi sunt, et antiquus dierum sedit. Millia millium ministrabant ei, et decies millies dena millia adstabant in conspectu ejus. Et ecce cum nubibus cœli quasi filius hominis veniens. Et usque ad antiquum dierum pervenit: et datus est ei principatus, et honor, et regnum. Et omnes populi, tribus, linguæ, serviunt ei. Potestas ejus, potestas æterna, quæ non præteribit, et regnum ejus non corrumpetur. Verum ea quidem quæ ad primum adventum pertinent, qui et humanior et abjectior fuit, cum aliis hoc quoque argumenti signique habent, quod mansuetus et placidus futurus dicatur, venturusque insidens jumento eodem oraculo declaretur: hoc enim communis humanique victus argumentum fuerit: quæ vero ad alterum illum et divinitatis amplius præ se ferentem manifestissime indicantur per illam in nubibus cœli advectationem perque illud æternum in omnibus gentibus regnum. Nec sane ab re fuerit utrunque Judæis proponere, rationemque ab illis postulare, quonam pacto si unum duntaxat Christi adventum expectant prophetias suas sibi velint constare: nam quum utramque earum, quæ expositæ sunt, ad Christum pertinere ipsi quoque fate-

παρατεθεισῶν προφητειῶν καὶ αὐτοὶ τὸν Χριστὸν ὁρᾶν
ὁμολογοῦσιν, ὥρα λέγειν καὶ πυνθανομένοις ἡμῖν ἀπο-
κρίνασθαι, πῶς οἷόν τε ὑφ᾽ ἕνα καὶ τὸν αὐτὸν καιρὸν καὶ
ὑπὸ μίαν ἄφιξιν ἐπὶ νεφελῶν οὐρανοῦ φέρεσθαι τὸν
αὐτὸν, καὶ ἐπὶ ὑποζυγίου καὶ πώλου νέου ὀχεῖσθαι· ἐπὶ p. 457
8 πολὺ γὰρ ταῦτα διέστηκεν ἀλλήλων. Μυρίας δ᾽ οὖν
τοιαύτας καὶ ἄλλας περὶ τοῦ Χριστοῦ προφητείας συν-
αγαγὼν, παραθείς τε καὶ συγκρούσας τὰ διαφόρως
σημαινόμενα, ἐναργέστατα καταλήψῃ τινὰς μὲν τῆς
πρώτης αὐτοῦ παρουσίας δηλώματα περιεχούσας, πε-
πληρωμένας κατὰ τὴν πρώτην ἐπιφάνειαν αὐτοῦ, τινὰς
δὲ εἰς τὴν δευτέραν αὐτοῦ καὶ ἔνδοξον ἄφιξιν ἀναφερο-
9 μένας. Ἐξωλόθρευσε γὰρ λεληθότως ἅρματα καὶ ἵππον
καὶ πᾶν τόξον πολεμικὸν ἡ τοῦ Σωτῆρος ἡμῶν ἔνθεος
δύναμις κατὰ τὴν πρώτην αὐτοῦ παρουσίαν ἐκ τῆς σω- b
ματικωτέρας Ἱερουσαλὴμ καὶ τοῦ καλουμένου Ἐφραῒμ
λαοῦ· διὸ ἐξ ἐκείνου καὶ εἰς δεῦρο οὐκ ἔτι συνέστη
αὐτῶν τὸ βασίλειον, οὐδὲ ἡ πάλαι ἐν πολέμοις ἰσχύσασα
παρασκευή τε αὐτῶν καὶ ὁπλιτικὴ δύναμις. Καλῶς δὲ
10 ἐν τούτοις τὸν πάντα τῶν Ἰουδαίων λαὸν Ἐφραῒμ ὠνό-

antur, dicant quæso et interrogantibus nobis respondeant, qui fieri possit ut uno eodemque tempore, sub unum eundemque adventum, idem et in nubibus cœli feratur, et jumento pulloque adolescente insidens vehatur: longe enim hæc a se invicem distant. Quapropter si tu quoque innumerabiles alias his similes de Christo prophetias collegeris et contuleris, et earum significata diversa simul contenderis, alias quidem earum invenies primi illius adventus vaticinia comprehendere, quæ etiam sub eundem primum completa sunt, alias vero ad secundum eundemque gloriosum referri oportere. Et currus enim et equum et omnem arcum bellicum Salvatoris nostri divina virtus in priore ipsius adventu de illa ad corpus umbramque pertinente Hierusalem deque eo qui Ephræm vocatur populo latenter ejecit ac perdidit: quare ex illo ad hunc usque diem nusquam amplius illorum regia dignitas constat, neque eorundem qui olim valebat in bellis apparatus et in armis virtus. Sapienter vero in his omnem Judaicum populum Ephræm nominavit, non autem Israel, ne veneratione digniores calumnietur appellationes. Invenies autem in

μασεν, ἀλλʼ οὐχὶ Ἰσραὴλ οὐδὲ Ἰούδαν, ἵνα μὴ τὰς
11 σεμνοτέρας διαβάλλοι προσηγορίας. Εὕροις δʼ ἂν καὶ
ἐν ταῖς ἄλλαις προφητείαις τὸ πᾶν ἔθνος Ἐφραὶμ μετὰ
πολλῆς διαβολῆς καὶ κατηγορίας ὠνομασμένον, ὥσπερ c
καὶ νῦν. Μετὰ γοῦν τὴν ἀπὸ Βαβυλῶνος ἐπάνοδον,
μηκέθʼ [b] ὁμοίως ὡς τὸ πρὶν διῃρημένου τοῦ λαοῦ, τίνας
ἦν εἰκὸς δηλοῦσθαι διὰ τοῦ Ἐφραὶμ, ἢ αὐτοὺς τοὺς τὴν
Ἱερουσαλὴμ οἰκοῦντας; ὧν τὴν πολεμικὴν καὶ ὁπλιτι-
κὴν δύναμιν μέχρι τῶν Ῥωμαϊκῶν χρόνων διαρκέσασαν
ἡ τοῦ Σωτῆρος ἡμῶν παρουσία ἐνθέῳ καὶ ἀπορρήτῳ
12 δυνάμει καθεῖλεν ὁμοίως τῇ προφητείᾳ. Ταῦτα δὲ τὴν
ἐξ ἐθνῶν ἐκκλησίαν εὐαγγελίζεται ὁ λόγος, οὐχ ἁπλῶς
χαίρειν ἀλλὰ καὶ σφόδρα χαίρειν αὐτῇ παρακελευόμενος, d
διὰ τὴν τοῦ Θεοῦ Λόγου εἰς αὐτὴν παρουσίαν, ἣν καὶ
θυγατέρα τῆς ἐπουρανίου Σιὼν ἢ καὶ τῆς προτέρας συν-
αγωγῆς ἀποκαλεῖ, διὰ τὸ πάντας ἡμᾶς τοὺς ἐξ ἐθνῶν
εἰς τὸν Χριστὸν τοῦ Θεοῦ πεπιστευκότας γεννήματα
εἶναι καὶ τέκνα Χριστοῦ καὶ τῶν ἀποστόλων αὐτοῦ, οἷα
ἐκ μητρὸς τῆς τῶν Ἰουδαίων συναγωγῆς προελθόντας.
13 Καὶ τὸ ἑξῆς δὲ ἐπληροῦτο ἐπὶ τῇ τοῦ Σωτῆρος ἡμῶν

[b] θείως P. et S. in marg.

aliis quoque prophetiis totam gentem Ephræm cum multa calumnia et accusatione nominari, sicut hic quoque. Quum igitur post reditnm de Babylone non amplius itidem ut prius in tribus divisus esset populus, quos tandem per Ephræm merito significari intellexeris, nisi eos qui ipsam Hierusalem habitarent? quorum in bellis et in armis egregiam virtutem, quæ usque ad Romana tempora vigens fuit, Salvatoris nostri adventus, sicut in prophetia dictum fuerat, divina et ineffabili virtute delevit. Proinde collectam de gentibus ecclesiam oraculum evangelice instruit ac monet non ut simpliciter gaudeat, sed ut vehementer gaudeat, quippe quod illam ad id faciendum exhortetur propter Dei Verbi ad ipsam adventum, quam item cœlestis Sion aut etiam prioris congregationis filiam vocat, propterea quod nos omnes qui ex gentibus profecti in Christum Dei credidimus Christi apostolorumque ejus proles et filii sumus, utpote qui de Judæorum congregatione tanquam de matre orti simus: nam etiam quo sequitur in Salvatoris nostri adventu completum esse

14 παρουσίᾳ. Εἰρήνη γοῦν ἐξ ἐθνῶν γέγονεν ἀπὸ τῶν
χρόνων τῆς ἀφίξεως αὐτοῦ οἵα οὐδεπώποτε· οὐκ ἔτι
γοῦν πόλεις πόλεσιν, ὡς τὸ πρὶν, πολεμοῦσιν, οὐδὲ ἔθνη
ἔθνεσι συρράσσουσιν, οὐδ' ὡς τὸ παλαιὸν ὁ τῶν ἀνθρώ-
πων βίος ἀκαταστατεῖ, οὐδ' Ἀθηναῖοι μὲν Λακεδαιμονίοις p. 458
ἐπιστρατεύονται, Σύροι δὲ Φοίνιξιν, Ἀράβιοι δὲ Παλαι-
15 στίνοις, καὶ Αἰγύπτιοι τοῖς πλησιοχώροις. Ἥνωται δὲ
ἐξ ἐκείνου σὺν Θεῷ τὰ πάντα, καὶ ἀληθῶς πλῆθος
εἰρήνης ἐξ ἐθνῶν ἐξ ἐκείνου καὶ εἰς δεῦρο γέγονεν ἀκο-
λούθως τῇ προφητείᾳ· μόνος δὲ Ἰησοῦς καὶ ὁ δι' αὐτοῦ
κηρυχθεὶς τῆς εὐαγγελικῆς διδασκαλίας λόγος ἦρξεν
[c]τῶν ἀπὸ θαλάσσης ἕως θαλάσσης [d]ἑώας καὶ τῆς κατὰ
δυόμενον ἥλιον, καὶ ἀπὸ ποταμῶν εἰς τὰς διεκβολὰς τῆς b
γῆς, ἀκολούθως τοῖς ἐν τῷ προφήτῃ προλελεγμένοις.
16 Ἅπερ καὶ ὁ Ἀκύλας ὧδέ πως ἡρμήνευσεν εἰπὼν, καὶ
λαλήσει εἰρήνην ἐν τοῖς ἔθνεσι, καὶ ἡ ἐξουσία αὐτοῦ ἀπὸ
θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως περάτων
τῆς γῆς. Ταῦτα δὲ τοῖς ἐν τῷ Ψαλμῷ σύγκρινον τῷ

[c] ἀπὸ τῆς] τῶν ἀπὸ P. [d] ἀπὸ τῆς ἕω εἰς τὸν] ἑώας καὶ τῆς P.

constat. Quis enim ignorat ejusmodi pacem ex gentibus post adventus illius tempora extitisse, cujusmodi nunquam antea fuisset? Neque enim ut prius sic nunc civitates a civitatibus oppugnantur, neque gentes cum gentibus colliduntur, neque vero ut priscis temporibus sic nostris vita hominum inquieta instabilisque est, quippe quum neque Athenienses contra Lacedæmonios ferantur, neque Syri adversus Phœnicas, neque Arabes in Palæstinos, neque item Ægyptii adversus finitimos militiam exerceant. Sed ex illo in hunc usque diem Deo favente in unum omnia coivere, et re vera, sicut in prophetia dictum fuerat, abundantia pacis ex gentibus prodiit, et unus Jesus et ab ipso denuntiatum evangelicæ doctrinæ verbum principatum *a mari usque ad mare,* hoc est ab oriente sole usque ad occidentem, *et a fluminibus ad exporrectiones terræ,* sicut ea significaverant quæ apud prophetam prædicta sunt, accepit, quæ sane Aquila quoque in hunc modum interpretatus est, *Et loquetur pacem in gentibus, et potestas ejus a mari usque ad mare, et a fluminibus usque ad fines terræ.* Tu vero hæc comparato cum illis quæ in Psalmo continentur, qui inscriptus est *in Solomonem,* quæ videlicet de filio regis

ἐπιγεγραμμένῳ εἰς Σολόμωνα Περὶ τοῦ υἱοῦ τοῦ βασιλέως,
δηλαδὴ τοῦ ἐκ σπέρματος Σολόμωνος προελευσομένου,
λεγομένοις, περὶ οὗ φησὶν ὁ Ψαλμὸς, καὶ κατακυριεύσει c
ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ ποταμῶν ἕως
17 περάτων τῆς οἰκουμένης. Σημαίνει δὲ καὶ τὴν ἐνταῦθα
δηλουμένην εἰρήνην ὁ αὐτὸς Ψαλμὸς φάσκων, ἀνατελεῖ
ἐν ταῖς ἡμέραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης. Καὶ
Ἡσαίας δὲ τούτοις συντρέχει δι᾽ ὧν φησὶ, καὶ συγκό-
ψουσι [e] τὰς μαχαίρας αὐτῶν εἰς ἄροτρα, καὶ τὰς ζιβύνας
αὐτῶν εἰς δρέπανα, καὶ οὐ λήψεται ἔτι ἔθνος ἐπ᾽ ἔθνος d
18 μάχαιραν, καὶ οὐ μὴ μάθωσιν ἔτι πολεμεῖν. Εὕροις δ᾽
ἂν καὶ Μιχαίαν τούτοις συνᾴδοντα, καὶ ἄλλους πλείους
τῶν προφητῶν. Ἐπιστήσας δὲ, ὡς ἔφην, τοῖς χρόνοις,
δυνήσῃ συνιδεῖν ὡς ἀπὸ τῶν Αὐγούστου χρόνων καὶ
τῆς κατ᾽ αὐτὸν ἐπιλαμψάσης τοῦ Σωτῆρος ἡμῶν ἐπι-
φανείας τῆς Ῥωμαίων μοναρχίας ἐπικρατησάσης αἱ
πάλαι τῶν ἐθνῶν διελύθησαν διαστάσεις καὶ πολυαρ-
χίαι, καὶ τόνδε ἐξ ἐκείνου [f] τὸν τρόπον τέλους ἤρξατο
19 τυγχάνειν τὰ τῆς προφητευομένης εἰρήνης. Ἀλλὰ νῦν
μὲν τέως ἤρξατο, ἔσται δὲ ὅτε πληρέστατα ἡ προφητεία

[e] τὰς add. P. [f] τὸν add. P.

ex semine Solomonis oriundo dicuntur, de quo is Psalmus ita loquitur, *Et dominabitur a mari usque ad mare, et a fluminibus usque ad fines orbis terræ.* Porro idem hic Psalmus eam item quæ hic significatur pacem sic futuram describit, *Orietur in diebus ejus justitia et abundantia pacis.* Esaias quoque cum his ipsis concordat, quum ait, *Et conflabunt gladios suos in vomeres, et lanceolas suas in falces, et non sumet amplius gens in gentem gladium, et non discent ultra bellum gerere.* Cæterum Michæam quoque invenies iisdem consentanea dicentem, itemque alios ex prophetis multos. Si vero diligenter, ut alias dixi, tempora observaveris, facile intueri poteris, quemadmodum ab Augusti temporibus et a Salvatoris nostri adventu, qui per ea tempora emicuit, quum ad unum redactum Romanorum imperium omnia obtinuisset, veteres gentium differentiæ et multiplices principatus aboliti sunt, atque ex illo in hunc modum, quæ ad pacem pertinerent quam prophetæ prædixerant, ea finem suum contingere cœperint. Cæterum hactenus quidem cœpit, tempus autem veniet,

Ps. 71, 8.
Es. 2, 4.

συμπερασθήσεται, ἐπὰν τὸ πλήρωμα τῶν ἐθνῶν εἰσέλθῃ τὸ πρὸς τοῦ ἱεροῦ ἀποστόλου δεδηλωμένον.

ΑΠΟ ΨΑΛΜΟΥ ρις΄. p. 459

18 Λίθον ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Παρὰ Κυρίου ἐγένετο αὕτη, καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν. Αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν b ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ. Ὦ Κύριε, σῶσον δή, ὦ Κύριε, εὐόδωσον δή. Εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου. Θεὸς Κύριος, καὶ ἐπέφανεν ἡμῖν.

Περὶ τοῦ ὡς ἀννὰ τῷ υἱῷ Δαβὶδ ἐπιφωνήματος.

2 Τοῦ Σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ εἰσελθόντος ποτὲ εἰς τὰ Ἱεροσόλυμα, ὅτε κατὰ τὴν πρὸ ταύτης προφητείαν ὀχούμενος ὄνῳ τὴν ἐν τῷ Ζαχαρίᾳ πρόρρησιν ἐπλήρου, κατὰ τὸν θεῖον εὐαγγελιστὴν οἱ ὄχλοι προάγοντες αὐτὸν καὶ ἀκολουθοῦντες ἐπευφήμουν λέγοντες, Ὡς ἀννὰ τῷ υἱῷ Δαβίδ, εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνό-
3 ματι Κυρίου, ὡς ἀννὰ ἐν τοῖς ὑψίστοις. Ὅτε καὶ εἰσελ- c
θόντος αὐτοῦ εἰς τὰ Ἱεροσόλυμα ἐσείσθη πᾶσα ἡ πόλις λεγόντων, Τίς ἐστιν οὗτος; οἱ δὲ ὄχλοι ἔλεγον, Οὗτός ἐστιν

Rom. 11, 25. quum plenissime prophetia complebitur, ubi *gentium plenitudo ingressa illud fuerit*, quod a sancto apostolo dictum est.

A PSALMO CXVII.

18 *Lapidem quem reprobaverunt ædificantes, hic factus est in caput anguli. A Domino factum est istud, et est mirabile in oculis nostris. Hæc dies quam fecit Dominus, exultemus et lætemur in ea. O Domine salvum fac jam nunc, o Domine da profectum jam nunc. Benedictus qui venit in nomine Domini : [Benediximus vobis de domo Domini :] Deus Dominus et illuxit nobis.* Salvatore nostro Jesu Christo ingresso quondam in urbem Hierosolyma, quo tempore sicut prophetia quam proxime ante hanc exposuimus continet, dum asello insidens vehitur, fidem huic rei faciente evangelista, vaticinium quod est apud Zachariam complevit, turbæ quæ præibant et quæ sequebantur acclamabant *benedicentes : Os anna filio David, benedictus qui venit in nomine Domini, os anna in altissimis. Quo etiam tempore quum intrasset Hierosolymam commota est universa civitas, dicens, Quis est hic ? Turbæ autem dicebant, Hic est propheta Jesus a Naza-*

Ps. 117, 22. De acclamatione, os anna filio David.

Matth. 21, 9.

ὁ προφήτης Ἰησοῦς, ὁ ἀπὸ [g] Ναζαρὲθ τῆς Γαλιλαίας.
4 Ἐπεὶ τοίνυν ἐκ τοῦ προκειμένου Ψαλμοῦ εἴρηται τὸ ὡς
ἀννὰ, [h] ὅπερ ἑρμηνευθὲν δηλοῖ, σῶσον δὴ, τὸ δὲ Ἑβραϊ-
κὸν ἀννὰ Ἀδωναὶ ὡς ἀννὰ περιέχει, ἀλλὰ καὶ τὸ, εὐλογη-
μένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου, ἐπειδήπερ καὶ αὐτὸ
ἀπὸ τοῦ αὐτοῦ Ψαλμοῦ μετείληπται, ταῦτα δὲ σαφῶς
ἐπὶ τὸν Χριστὸν τοῦ Θεοῦ ἀνενήνεκται, εἰκότως εἰς αὐτὸν
5 καὶ τὰ λοιπὰ τῆς προρρήσεως ἐξειλήφαμεν. Οὗτος
γὰρ [i] ὢν τυγχάνει εὐλογημένος, ὁ καὶ δι' ἑτέρου προφήτου d
ὠνομασμένος ὁ ἐρχόμενος, τοῦ φήσαντος, ἔτι μικρὸν, [k] καὶ
ὁ ἐρχόμενος ἥξει, καὶ οὐ μὴ χρονίσῃ, ὃς καὶ ἐλήλυθεν ἐν
ὀνόματι Κυρίου τοῦ Θεοῦ καὶ πατρὸς αὐτοῦ. Αὐτὸς
δ' ἂν εἴη καὶ Θεὸς Κύριος ὁ ἐπιφανεὶς ἡμῖν. Ἐν ὀνόματι
γοῦν τοῦ πατρὸς αὐτοῦ ὁμολογεῖ ἐληλυθέναι λέγων
πρὸς τοὺς Ἰουδαίους, ἐγὼ ἐλήλυθα ἐν τῷ ὀνόματι τοῦ
πατρός μου, καὶ οὐ λαμβάνετέ με· ἄλλος ἐὰν ἔλθῃ ἐν τῷ
6 ὀνόματι τῷ ἰδίῳ, ἐκεῖνον λήψεσθε. Αὐτὸς δὴ οὖν [l] οὗτος
ὁ ἐπιφανεὶς ἡμῖν Θεὸς Κύριος, ὁ εὐλογημένος, ὁ ἐλθὼν
ἐν ὀνόματι Κυρίου, αὐτὸς ἦν καὶ ὁ λίθος, ὃν ἀπεδοκί-

[g] ναζαρὲτ S. [h] σημ S. in marg. [i] ὡς S. [k] καὶ om. P.
[l] οὗτος add. P.S. ὁ om. S.

reth Galilææ. Quoniam igitur ex proximo Psalmo dictum est illud, *os anna*, quod si interpreteris significat, *salvum fac jam nunc*, et Hebraicus contextus *anna Adonai os anna* habet, nec non illud *Benedictus qui venit in nomine Domini* ipsum quoque ab eodem Psalmo est acceptum, et hæc ipsa plane ad Christum Deum referri constat, merito ad eundem reliqua quoque ejusdem vaticinii hoc in loco retulimus. Hic enim est ille benedictus, qui ab alio propheta *veniens* est nominatus, ubi sic ait, *Adhuc modicum, et veniens veniet et* Habbak. 2. 3.
non tardabit, qui item venit in nomine Dei et patris sui. Idem vero Heb. 10, 37.
fuerit etiam Deus Dominus qui illuxit nobis. Itaque in nomine patris sui confitetur se venisse ad Judæos, dicens, *Ego veni in nomine* Jo. 5, 43.
patris mei, et non accipitis me: alius quum venerit in nomine proprio, illum accipietis. Hic ipse igitur, qui illuxit nobis Deus Dominus benedictus, qui venit in nomine Domini, lapis ille fuit, quem reprobaverunt, qui quondam antea populum circuncisione signatum per

μασαν οἱ πάλαι πρότερον τὸν ἐκ περιτομῆς λαὸν διὰ p. 460
τῆς Μωσαϊκῆς διδασκαλίας οἰκοδομοῦντες, ὃς καὶ ἀπο-
δοκιμασθεὶς ὑπ' αὐτῶν εἰς κεφαλὴν ἑτέρας γωνίας τῆς
ἐξ ἐθνῶν ἐκκλησίας κατέστη, ἣν ὡς μὴ τοῖς πᾶσιν ὁρω-
μένην μόνοις δὲ τοῖς προφητικοῖς ὀφθαλμοῖς θαυμαστὴν
εἶναί φησιν ὁ λόγος φάσκων, καὶ ἔστι θαυμαστὴ ἐν
7 ὀφθαλμοῖς ἡμῶν. Τὴν δὲ ἐπιφάνειαν αὐτοῦ πάλιν ἡμέραν
ὀνομάζει ἣν ἐποίησεν ὁ Κύριος, ἐπεὶ καὶ φῶς ἦν αὐτὸς τὸ
ἀληθινὸν, καὶ ἥλιος δικαιοσύνης, καὶ ἡμέρα τοῦ Θεοῦ, b
ἐν ᾗ γένοιτο καὶ ἡμᾶς εἰπεῖν, αὕτη ἡ ἡμέρα ἣν ἐποίησεν
ὁ Κύριος, ἀγαλλιασώμεθα καὶ εὐφρανθῶμεν ἐν αὐτῇ.

Καὶ τούτων δὲ τοῦτον συντετμημένων τὸν τρόπον,
καιρὸς καὶ ἐπὶ τὰς περὶ τοῦ πάθους αὐτοῦ μεταβῆναι
προφητείας.

ΕΥΑΓΓΕΛΙΚΗΣ ΑΠΟΔΕΙΞΕΩΣ ΤΟΜΟΣ ΔΕΚΑΤΟΣ. p. 461

1 ΜΕΤΑ τὰς ἀποδεδομένας προρρήσεις περὶ τῆς εἰς
ἀνθρώπους ἀφίξεως τοῦ προκηρυττομένου Θεοῦ, καλεῖ
δὴ καιρὸς καὶ τὰ περὶ τὴν ἀπαλλαγὴν τοῦ ἐξ ἀνθρώπων

Mosaicam doctrinam ædificabant: qui item ab illis reprobatus in capite alterius anguli, collectæ utique de gentibus ecclesiæ, est constitutus, quam sane ecclesiam non ut eam quæ ab omnibus sed ut eam quæ ab unis propheticis oculis cernatur admirabilem esse ait oraculum, ubi sic ait, *et est mirabile in oculis nostris.* Adventum vero ejus rursus *diem* nominat *quam fecit Dominus,* quandoquidem ipse etiam lux fuit vera, et sol justitiæ, et dies Dei, in qua utinam nobis quoque dicere liceat, *Hæc dies quam fecit Dominus: exultemus et lætemur in ea.* Cæterum quum hæc a nobis in hunc modum breviter comprehensa sint, tempus jam fuerit ad eas quæ de passione illius loquuntur prophetias transire.

LIB. X.

Post exposita oracula de illius Dei ad homines accessu qui antea nuntiabatur venturus, invitat jam nunc tempus nos ut de iis disseramus, quæ consideranda sunt in ejusdem de vita humana discessu,

αὐτοῦ βίου διεξελθεῖν, συνιδεῖν τε αὖθις οἷα συμβή-
σεσθαι περὶ [m] αὐτὸν ἄνωθεν ἐκ τῶν προφητικῶν ἐθεσπί-
2 ζετο χρόνων. Πρῶτα δὲ διελεύσομαι τὰ περὶ τῶν τὸν p. 462
θάνατον αὐτῷ συσκευωρησαμένων, μέρος οὐ μικρὸν
τυγχάνοντα τῆς προκειμένης προτάσεως. Προ δέ γε
τοῦ λόγου τὰ πολλάκις ἡμῖν εἰρημένα περὶ τῆς κατ'
αὐτὸν οἰκονομίας τηρητέον, ὅτι δὴ τὰ μὲν κατὰ τὴν θεό-
τητα αὐτοῦ, τὰ δὲ κατὰ τὴν ἐνανθρώπησιν ἐπινοεῖται.
3 Πῇ μὲν γὰρ εἰσάγεται Λόγος ὢν Θεοῦ, καὶ Θεοῦ δύνα-
μις, καὶ Θεοῦ σοφία, μεγάλης τε βουλῆς ἄγγελος, μέγας
τε καὶ αἰώνιος ἀρχιερεύς, ὑπὲρ τῆς τῶν γεννητῶν ἁπάν-
των οὐσιώσεώς τε καὶ σωτηρίας ἱερωμένος, καὶ ἱλεού- b
μενος τὸν πατέρα· πῇ δὲ ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν
ἁμαρτίαν τοῦ κόσμου, καὶ πρόβατον ἐπὶ σφαγὴν ἀγό-
μενον· τοῦτο δὲ ἦν τὸ ἀνθρώπειον σκῆνος, ὃ δίκην ἀμνοῦ
καὶ προβάτου ἐκ τῆς ἡμετέρας ἀγέλης οἷά τις ἀρχιερεὺς
ἀναλαβὼν καὶ τὴν ἀπαρχὴν τοῦ τῶν ἀνθρώπων γένους
καλλιερησάμενος προσηγάγετο τῷ πατρί, δι' οὗ καὶ τῇ
τῶν ἀνθρώπων ὡμίλησε φύσει, οὐκ ἄλλως δυναμένῃ

m αὐτῶν] αὐτὸν P.

videamusque diligenter quæ rursus ea forent quæ illi ab initio et a propheticis usque temporibus eventura canerentur, ac primum ea putamus esse tractanda quæ ad illos pertinent, qui illi mortem ac cædem machinati sunt, quæ sane non parvam rerum hoc loco propositarum sibi vendicant partem. Sed antequam ad id veniamus, ea nobis firmiter tenenda sunt, quæ plerunque diximus de dispensatione quæ omnes illius rationes complexa est, in qua illud considerari solet, quod alia sunt quæ ad ejusdem divinitatem, alia quæ ad assumptam humanitatem pertinent. Alias enim induci solet tanquam et Dei Verbum, et Dei virtus, et Dei sapientia, item magni consilii angelus, magnusque et æternus pontifex, qui ut omnia quæcunque genita sunt et sint id quod sunt, et in eo conserventur, dum sacro munere fungitur, patrem suum exorat: alias autem tanquam et agnus Dei qui tollat peccata mundi, et ovis quæ ad cædem ducatur: hoc autem fuit ipsum humanum corpus, quod ille instar agni atque ovis quum de nostro grege veluti pontifex assumpsisset, primitiis humani generis fauste feliciterque operatus, patri munus attulit, per

Λόγου Θεοῦ καὶ δυνάμεως ἀσωμάτου καὶ νοερᾶς [n]ἐπηκόῳ γενέσθαι, οὐδέ τι μεῖζον σαρκῶν καὶ σωμάτων δι' c

4 ὀφθαλμῶν σαρκὸς ἐπινοῆσαι. Ὅσα τοίνυν ἐπὶ τὸ ταπεινότερον δόξειεν ἐν τοῖς προκειμένοις περὶ αὐτοῦ λέγεσθαι, ταῦτα τὸν ἀμνὸν ὁρᾶν τοῦ Θεοῦ τὸν αἴροντα τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ τὸ σκῆνος τὸ ἀνθρώπειον ὑποβάλλει νοεῖν. Ἀμνὸς μὲν γὰρ ἦν αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου κατὰ τὸν βαπτιστὴν Ἰωάννην τὸν λέγοντα, *Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ, ὁ αἴρων τὴν ἁμαρτίαν τοῦ κόσμου*, ἀμνὸς δὲ ἦν καὶ ὁ ἐπὶ σφαγὴν ἀγόμενος κατὰ τὸ παρὰ τῷ Ἡσαΐᾳ λόγιον [o]φάσκον, *ὡς πρόβατον ἐπὶ σφαγὴν ἤχθη, καὶ ὡς ἀμνὸς ἐναντίον τοῦ κείροντος ἄφωνος.*

5 Περὶ τοῦ αὐτοῦ δὲ ὡς περὶ ἀμνοῦ ἐλέγετο καὶ τὸ, *ἀπὸ* d *τῶν ἁμαρτιῶν τοῦ λαοῦ μου ἤχθη εἰς θάνατον.* Ἔδει γὰρ τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν ὑπὸ τοῦ μεγάλου ἀρχιερέως ἀναληφθέντα ὑπὲρ τῶν λοιπῶν συγγενῶν ἀμνῶν καὶ ὑπὲρ πάσης τῆς ἀνθρωπίνης ἀγέλης, θυσίαν τῷ Θεῷ

6 προσαχθῆναι. *Ἐπειδὴ γὰρ δι' ἀνθρώπου ὁ θάνατος, καὶ δι' ἀνθρώπου ἡ ἀνάστασις ἡ ἐκ νεκρῶν*, φησὶν ὁ ἀπόστολος· *καὶ ὥσπερ δι' ἑνὸς παραπτώματος εἰς πάντας ἀνθρώπους*

[n] ἐπηκόου P. [o] φάσκων S.

quod etiam cum humana natura commercium habuit, quæ alioqui neque Dei Verbum neque vim incorpoream atque intelligentem exaudire aut percipere potuisset, neque quicquam supra carnem aut corpus per oculos corporis intueri. Quæcunque igitur de illo in his quæ nunc tractamus humilius abjectiusque dici videbuntur, ea spectare agnum Dei, qui tollit peccatum mundi, corpusque illud humanum meminisse oportebit. Agnus ille quidem fuit tollens peccatum
Jo. 1, 29. mundi, ut Baptista Joannes dicebat, *Ecce*, inquit, *agnus Dei, qui tollit peccatum mundi*, agnus item ad cædem ductus, ut est in Esaiæ
Es. 53, 7. prophetæ oraculo, quod ita ait, *Tanquam ovis ad cædem ductus est, et tanquam agnus coram tondente obmutuit.* De eodem vero tanquam
Es. 53, 8. de agno etiam illud dictum est, *Ex peccatis populi mei ductus est ad mortem:* oportebat enim agnum Dei, qui a maximo pontifice assumptus fuerat, pro reliquis cognatis agnis et pro omni humano
1 Cor. 15, 21. grege Deo victimam afferri. *Nam quoniam per hominem mors, per*
Rom. 5, 18. *hominem etiam resurrectio a mortuis,* inquit apostolus, *et sicut per*

εἰς κατάκριμα, οὕτως καὶ δι' ἑνὸς δικαιώματος εἰς πάντας
7 ἀνθρώπους εἰς δικαίωσιν ζωῆς. Ἔνθεν καὶ αὐτὸς [p]τοὺς
μὲν ἑαυτοῦ μαθητὰς ζωὴν καὶ φῶς καὶ ἀλήθειαν ἑαυτὸν
εἶναι καὶ τὰς λοιπὰς ἐπινοίας τῆς κατ' αὐτὸν θεολογίας p. 463
ἐπαίδευε, τοῖς δὲ ἀμυήτοις τῶν κατ' αὐτὸν ἀπορρήτων
ἔλεγε, τί με ζητεῖτε ἀποκτεῖναι ἄνθρωπον, ὃς τὴν ἀλήθειαν
ὑμῖν λελάληκα; Ὥσπερ οὖν τὰ τῆς θεολογίας ἰδιώματα
ἐν τοῖς ἔμπροσθεν ἀποδέδοται, τὸν ὅμοιον δὴ τρόπον
κἀνταῦθα τοῦ ἀμνοῦ τὰ ἀνθρωποπαθῆ παραστήσεται,
τῶν πρὸ τοῦ πάθους αὐτοῦ [q]μέσον ὄντων, ὁμοῦ τε
ἄμφω τά τε κατὰ τὸν Θεὸν καὶ τὰ κατὰ τὸν ἄνθρωπον
8 αὐτοῦ περιειληφότων. Τούτων χρησίμως ἡμῖν προ-
τετηρημένων, ἤδη καὶ τῶν λογίων αὐτῶν ἐφαψώμεθα, b
περὶ τῆς Ἰούδα τοῦ προδότου καὶ τῶν σὺν αὐτῷ κατὰ
τοῦ Χριστοῦ γενομένης συσκευῆς, περί τε τῶν ἀμφὶ τὸν
καιρὸν τοῦ πάθους αὐτοῦ συμβεβηκότων.

ΑΠΟ ΨΑΛΜΟΥ μ'.

1 Μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα, ἐν ἡμέρᾳ c Περὶ Ἰούδα

[p] τοὺς—μαθητὰς] τοῖς—μαθηταῖς P. [q] μέσων] μέσον P.S.

unius delictum in omnes homines in condemnationem, sic per unius justitiam, in omnes homines in justificationem vitæ. Ex hoc ipse quoque suis quidem discipulis se et vitam et lucem et veritatem esse, et reliqua omnia quæ ex theologia de illo considerantur, ostendebat. Ad profanos autem et arcanorum ipsius expertes dicebat, *Quid me quæritis interficere, hominem, qui veritatem vobis locutus sum?* Quemadmodum igitur quæ theologiæ de illo propria sunt in prioribus libris sunt exposita, ita in hoc quæ ad agni humanas affectiones patibilemque naturam pertinent tractabuntur: quæ medii cujusdam instar fuere ad ea quæ passionem illius antecesserunt, et utraque simul tum ea, quæ ad Deum pertinent, tum ea quæ ad hominem qui ille erat, complexa sunt. Postquam igitur hæc a nobis non inutiliter observata retentaque sunt, jam tum ipsa etiam oracula aggredi tempus esse videtur, quæ et Judam proditorem, cumque eo futuram adversus Christum conspirationem, et quæ illi sub ipsum passionis tempus eventura erant, significabant. Jo. 8, 40.

A PSALMO XL.

1 *Beatus qui intelligit super egenum et pauperem, in die mala liberabit* Ps. 40. 1. De Juda

τοῦ προδότου, καὶ τῶν σὺν αὐτῷ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν συσκευασαμένων.

πονηρᾷ ῥύσεται αὐτὸν ὁ Κύριος· Κύριος διαφυλάξαι αὐτὸν,
καὶ ζῆσαι αὐτὸν, καὶ μακαρίσαι αὐτὸν ἐν τῇ γῇ, καὶ μὴ
παραδῷ αὐτὸν εἰς χεῖρας ἐχθρῶν αὐτοῦ. Κύριος [r] βοηθή-
σει αὐτῷ ἐπὶ κλίνης ὀδύνης αὐτοῦ, ὅλην τὴν κοίτην αὐτοῦ
ἔστρεψας ἐν τῇ ἀρρωστίᾳ αὐτοῦ. Ἐγὼ εἶπα, Κύριε, ἐλέη- d
σόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι. Οἱ ἐχθροί
μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ
ὄνομα αὐτοῦ; καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει
ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. Ἐξεπορεύετο
2 ἔξω, καὶ ἐλάλει ἐπὶ τὸ αὐτό. Κατ' ἐμοῦ ἐψιθύριζον πάντες
οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο κακά μοι. [s] Λόγον
παράνομον κατέθεντο κατ' ἐμοῦ, μὴ ὁ κοιμώμενος οὐχὶ προσ-
θήσει τοῦ ἀναστῆναι; καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου,
ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ
πτερνισμόν. Σὺ δὲ, Κύριε, ἐλέησόν με, καὶ ἀνάστησόν με,
καὶ ἀνταποδώσω αὐτοῖς. Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με,
ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. Ἐμοῦ δὲ διὰ τὴν p. 464
ἀκακίαν ἀντελάβου, καὶ ἐβεβαίωσάς με ἐνώπιόν σου εἰς τὸν
αἰῶνα.

3 Ἐπειδή τινες ὑπειλήφασιν τὴν βίβλον τῶν Ψαλμῶν ὕμνους μόνον εἰς Θεὸν καὶ ᾠδὰς θεολογικὰς περιέχειν,

[r] βοηθήσῃ S. [s] Λόγον—ἐμοῦ add. S.

proditore, et iis qui cum eo insidias adversus Salvatorem nostrum construxere.

eum Dominus. Dominus conservet eum, et vivificet eum, et beatum faciat eum in terra, et non tradat eum in manus inimicorum suorum. Dominus opem feret illi super lectum doloris ejus, universum stratum ejus versasti in infirmitate ejus. Ego dixi, Domine, miserere mei, sana animam meam, quia peccavi tibi, inimici mei dixerunt mala mihi: quando morietur, et peribit nomen ejus? Et si ingrediebatur ut videret, vana loquebatur cor ejus, congregavit iniquitatem sibi, egrediebatur foras, et loquebatur in id ipsum, adversum me susurrabant omnes inimici mei, adversum me cogitabant mala mihi, verbum iniquum constituerunt adversum me, nunquid qui dormit, non adjiciet ut resurgat? etenim homo pacis meæ, in quo speravi, qui edebat panes meos, magnificavit super me supplantationem. Tu autem, Domine, miserere mei, et resuscita me, et retribuam eis. In hoc cognovi quod voluisti me, quoniam non gaudebit inimicus meus super me, me autem propter innocentiam suscepisti, et confirmasti me in conspectu tuo in æternum. Quoniam nonnulli suspicati sunt librum Psalmorum hymnos tantum in Deum

οὐ μὴν καὶ προγνώσεις οὐδὲ μελλόντων προφητείας, τοῦτο πρῶτον ἐπιτηρητέον, ὡς μυρία θεσπίζεται δι' αὐτῶν, ἃ καὶ μακρὸν ἂν εἴη συναγαγεῖν ἐπὶ τοῦ παρόντος, ἀρκεῖ δὲ χρήσασθαι εἰς μαρτυρίαν τοῦ λόγου δύο [t]Ψαλμοῖς ἐπιγεγραμμένοις μὲν τοῦ Ἀσὰφ, εἰρημένοις
4 δὲ κατὰ τοὺς τοῦ Δαβὶδ χρόνους. Τὸ τηνικαῦτα γὰρ b
εἷς τῶν ἱεροψαλτῶν ὁ Ἀσὰφ τυγχάνων, ὡς ἐν τῇ βίβλῳ φέρεται τῶν Παραλειπομένων, τοὺς ἐπιγεγραμμένους
5 [u]αὐτοῦ Ψαλμοὺς θείῳ πνεύματι προσεφώνησε. Τί δὴ οὖν περιέχουσιν οἱ Ψαλμοί; Προρρήσεις τῆς πολιορκίας τῆς βασιλικῆς πόλεως τοῦ Ἰουδαίων ἔθνους, ἥτις γέγονεν ἐγγύς που πεντακοσίοις ἔτεσι μετὰ τὴν πρόρ-
6 ρησιν. Λέγει δ' οὖν ὁ ἑβδομηκοστὸς τρίτος ἐπιγεγραμμένος συνέσεως τῷ Ἀσὰφ, *Ἱνατί ἀπώσω ὁ Θεὸς εἰς τέλος, ὠργίσθη ὁ θυμός σου ἐπὶ πρόβατα νομῆς σου; μνήσθητι τῆς* c
συναγωγῆς σου, ἧς ἐκτήσω ἀπ' ἀρχῆς, ἐλυτρώσω ῥάβδον κληρονομίας σου. Ὄρος *Σιὼν τοῦτο, ὃ κατεσκήνωσας ἐν αὐτῷ, ἔπαρον τὰς χεῖράς σου ἐπὶ τὰς ὑπερηφανίας αὐτῶν*

[t] Ψαλμοῖς * ἐπιγεγραμμένοις δὲ κατὰ τοῦ] Ψαλμοῖς ἐπιγεγραμμένοις μὲν τοῦ ἀσὰφ, εἰρημένοις δὲ κατὰ τοὺς τοῦ P. cum interprete. [u] αὐτὸν] αὐτοῦ P.

et carmina theologica continere, præsagia vero aut de rebus futuris prophetias non item, primum illud erit observandum, quod innumerabilia sunt quæ in illis futura canuntur, quæ quidem longum esset in præsentia colligere, sed satis fuerit ad hujusce propositi confirmationem duobus nunc uti Psalmis, qui ipsi quidem Asaph inscripti sunt, dicti vero ipsius David temporibus, tunc enim quum Asaph unus esset ex iis viris sanctis qui Psalmos canebant, ut scriptum est in libro qui Paralipomenon inscribitur, Psalmos qui illi attribuuntur 1 Par. 16, 4.
divino afflatus spiritu enuntiavit. Quid igitur hujuscemodi Psalmi continent? Nimirum vaticinia, quibus Judæorum regiæ civitatis vastatio prædicitur, quæ vastatio Judæis accidit anno circiter quingentesimo post ejusmodi vaticinium. Ergo Psalmus septuagesimus Ps. 73, 1.
tertius, qui *intellectus Asaph* inscribitur, ita habet, *Ut quid Deus repulisti in finem? iratus est furor tuus super oves pascuæ tuæ? memor esto congregationis tuæ, quam possedisti ab initio, redemisti virgam hæreditatis tuæ, mons Sion hic, in quo habitasti in eo, leva manus tuas in superbias eorum in finem, quanta malignatus est inimicus in sanctis*

εἰς τέλος. Ὅσα* ἐπονηρεύσατο ὁ ἐχθρὸς ἐν τοῖς ἁγίοις σου,
καὶ ἐνεκαυχήσαντο οἱ μισοῦντές σε ἐν μέσῳ τῆς ἑορτῆς σου.
7 Ἔθεντο τὰ σημεῖα αὐτῶν σημεῖα, καὶ οὐκ ἔγνωσαν ὡς εἰς
τὴν ˣεἴσοδον ὑπεράνω. Ὡς ἐν δρυμῷ ξύλων ἀξίναις ἐξ-
έκοψαν τὰς θύρας αὐτῆς ἐπὶ τὸ αὐτὸ, ἐν πελέκει καὶ d
λαξευτηρίῳ κατέρραξαν αὐτήν. Ἐνεπύρισαν ἐν πυρὶ τὸ
ἁγιαστήριόν σου, εἰς τὴν γῆν ἐβεβήλωσαν τὸ σκήνωμα τοῦ
ὀνόματός σου. Ταῦτα μὲν ὁ ἑβδομηκοστὸς τρίτος Ψαλμός.
8 Καὶ ὁ ἑβδομηκοστὸς δὲ ὄγδοος τοῦ Ἀσὰφ καὶ αὐτὸς
τυγχάνων τάδε περιέχει· Ὁ Θεὸς εἰσήλθοσαν ἔθνη εἰς τὴν
κληρονομίαν σου, ἐμίαναν τὸν ναὸν τὸν ἅγιόν σου. Ἔθεντο
Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον, ἔθεντο τὰ θνησιμαῖα τῶν
δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, τὰς σάρκας
9 τῶν ὁσίων σου τοῖς θηρίοις τῆς γῆς. Τούτων δὲ τὰ μὲν
πρῶτα, λέγω δὲ τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ τρίτου
Ψαλμοῦ, εἴρητο βασιλεύοντος ἔτι τοῦ Δαβὶδ πρὸ τοῦ
τὸν ναὸν ὑπὸ Σολόμωνος κατασκευασθῆναι· τέλους δὲ p. 465
ἔτυχεν οὐκ ἄλλοτε ἢ πρῶτον μὲν ἐπὶ τῆς Βαβυλωνίων
πολιορκίας, δεύτερον δὲ ἐπὶ τοῦ Ῥωμαϊκοῦ πρὸς Ἰου-
10 δαίους πολέμου. Ἕκαστα γὰρ τῶν εἰρημένων ἐπληροῦτο

ˣ ἔξοδον] εἴσοδον P.

tuis, et gloriati sunt qui oderunt te in medio solennitatis tuæ, posuerunt signa sua signa: et non cognoverunt sicut in exitu desuper, quasi in sylva lignorum securibus exciderunt januas ejus in id ipsum, in securi et vecte dejecerunt eam, incenderunt igni sanctuarium tuum, in terra polluerunt tabernaculum nominis tui. Hæc quidem septuagesimus tertius Psalmus. Septuagesimus autem octavus, qui ipse quoque est Asaph,
Ps. 78, 1. hæc continet, *Deus, venerunt gentes in hæreditatem tuam, polluerunt templum sanctum tuum, posuerunt Hierusalem quasi pomorum custodiam, posuerunt morticina servorum tuorum escas volatilibus cœli, carnes sanctorum tuorum bestiis terræ.* Ex his ea quæ prius recitata sunt, dico autem ea quæ de septuagesimo Psalmo accepimus, prædicta sunt adhuc regnante David, antequam templum a Solomone constructum esset: sed suum finem contigere non alias quam semel quidem populantibus Babyloniis, iterum autem bello quod adversum Judæos a Romanis gestum est. Unumquodque enim eorum, quæ dicta

ἐπί τε τῆς πρώτης καὶ δευτέρας τοῦ ἱεροῦ κατασκαφῆς
προγνωσθέντα καὶ ἀναφωνηθέντα ἐν τοῖς εἰρημένοις
Ψαλμοῖς ὑπὸ τοῦ Ἀσάφ· τὰ δὲ δεύτερα ἀπὸ τοῦ ἑβδο-
μηκοστοῦ ὀγδόου ἐπληροῦτο κατὰ τοὺς Ἀντιόχου χρό-
νους, τοῦ κληθέντος Ἐπιφανοῦς, ὃς τῆς Συρίας βασιλεύσας
ὑπάγεται μὲν τὰ Ἱεροσόλυμα, μιαίνει δὲ τὸν ναόν, καὶ b
καθαιρεῖ τὸ θυσιαστήριον, ἔπειτα τοὺς Ἰουδαίους [y] ἑλλη-
νίζειν ἐπαναγκάζων, πλείστους ὅσους αὐτῶν ἄνδρας [z] τε
καὶ γυναῖκας ὑπὲρ τοῦ οἰκείου νόμου καὶ τῆς πατρῴας
εὐσεβείας ἀνῄρει, ποικίλαις προαικιζόμενος τιμωρίαις.
11 Εἰς ἐκεῖνον τοιγαροῦν τὸν καιρόν, καὶ εἰς τοὺς μετὰ
ταῦτα τῷ Ἀντιόχῳ τὰ ἴσα πράξαντας, ἀναφωνεῖ ὁ
Ἀσὰφ [a] τὰ ἀπὸ τοῦ ἑβδομηκοστοῦ ὀγδόου Ψαλμοῦ.
Μαρτυρεῖ δὲ τῷ λόγῳ ἡ τῶν καλουμένων Μακκαβαίων
γραφή, τοῦτον ἔχουσα τὸν τρόπον· *Καὶ προσεπισυνήχθησαν* c
πρὸς Ἰάκειμον καὶ Βακχίδην συναγωγὴ γραμματέων ἐκ-
12 *ζητοῦσα δίκαια.* Καὶ ἑξῆς ἐπιλέγει· *Καὶ ὤμοσεν αὐτοῖς*
λέγων, οὐκ ἐκζητήσομεν ὑμῖν κακὸν καὶ τοῖς φίλοις ὑμῶν·
καὶ ἐνεπίστευσαν αὐτῷ· καὶ συνέλαβεν ἐξ αὐτῶν ἑξήκοντα

[y] ἑλληνίζων] ἑλληνίζειν ἐπαναγκάζων P. cum interprete. [z] καὶ] τε καὶ P. [a] τὸ] τὰ P.

sunt, completum est tam prima templi eversione, quam ea quæ secuta est, tametsi in hisce duobus Psalmis et provisum et enunciatum est: quæ vero secundo loco recitavimus, et a septuagesimo octavo Psalmo accepimus, completa sunt ejus Antiochi temporibus, qui vocatus est Illustris, qui, quum in Syria regnaret, irrupit quidem in urbem Hierosolyma, fœdavit vero templum, et sanctuarium evertit, dumque Judæos Græcorum moribus cogit vivere, quam plurimos eorum tam mares quam fœminas, qui neque proprias leges neque patriam pietatem deserere volebant, variis prius vexatos suppliciis interfecit. In illud ergo tempus, et in eos qui posthac eadem quæ Antiochus patraverint, clamat Asaph ea quæ septuagesimo octavo Psalmo continentur. Fidem huic rei facit ea quæ vocatur Maccabæorum historia, quæ in hunc modum se habet: *Et convenerunt ad* 1 Macc. 7. 12.
Jacimum et Bacchidem congregatio scribarum requirentium quæ justa sunt: et deinceps adjungit, *et juravit illis dicens, Non inferemus vobis malum neque amicis vestris, et crediderunt ei, et comprehendit ex iis*

ἄνδρας, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ἡμέρᾳ μιᾷ κατὰ τὸν λόγον Ἀσὰφ ὃν ἔγραψεν, ἔδωκαν τὰ θνησιμαῖα τῶν δούλων σου βρώματα τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, σάρκας ὁσίων σου τοῖς ζώοις τῆς γῆς, αἵματα αὐτῶν ἐξέχεαν d
13 *κύκλῳ Ἱερουσαλὴμ, καὶ οὐκ ἦν ὁ θάπτων.* Τούτων οὕτω προρρηθέντων καὶ ἀποτελεσθέντων, οὐ θαυμαστὸν εἰ κατὰ τὸν αὐτὸν τρόπον καὶ τὰ προεκτεθέντα τοῦ τεσσαρακοστοῦ Ψαλμοῦ λόγια σημαίνει τὰ μέλλοντα ἔσεσθαι κατὰ [b] τὸν καιρὸν τῆς τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλῆς, ἅπερ μὴ πάντων ἀνθρώπων συνιέντων, ὅπως Λόγος ὢν Θεοῦ, καὶ σοφία, καὶ ζωὴ, καὶ φῶς ἀληθινὸν, καὶ πάντα πλοῦτον ἀγαθῶν κεκτημένος, δι' ἡμᾶς ἐπτώχευσε σάρκα λαβὼν, καὶ τοῖς τὸ γένος θνητοῖς ἀνθρώποις καὶ πτωχοῖς ὁμοιωθεὶς, μορφήν τε δούλου καὶ πένητος ἀνειληφὼς, καὶ μάλιστα καθ' ὃν καιρὸν ἐπλήρου τὴν ἀπὸ τοῦ Ψαλμοῦ προφητείαν, εἰκότως ἐν ἀρχῇ τοῦ Ψαλμοῦ μακαρίζεται ὁ ταῦτα περὶ αὐτοῦ συνιεὶς, ἐπαγγελίας τυγχάνων τῆς ἀναγεγραμμένης. Εἶθ' ἑξῆς ἐκ προσώπου p. 466
λοιπὸν δὴ τοῦ πένητος καὶ πτωχοῦ, αὐτοῦ δηλαδὴ τοῦ

[b] τὸν τῆς] τὸν καιρὸν τῆς P. omisso χρόνον post ἐπιβουλῆς.

sexaginta viros, et occidit eos in uno die, secundum verbum Asaph quod scripsit, dederunt morticina servorum tuorum escas volatilibus cœli, carnes sanctorum tuorum bestiis terræ, sanguinemque eorum effuderunt in circuitu Hierusalem, et non erat qui sepeliret. Quum hæc in hunc modum et prædicta et completa sint, mirum videri non debet, si eodem modo etiam oracula de quadragesimo Psalmo nuper accepta quid futurum esset per id tempus, quo Judæi adversus Salvatorem nostrum conspirarunt, significant: ex quibus quum universi homines non intelligerent quonam pacto qui Verbum Dei est, et sapientia, et vita, et lumen verum, et omnes bonorum divitias possidens, propter nos assumpto corpore et pauper et natura mortalibus hominibus et egenis similis sit factus, formamque et servi et pauperis acceperit, maxime quo tempore complebat ea quæ ad prophetiam hujus Psalmi pertinent, merito in initio Psalmi is ut beatus commendatur, qui hæc de illo intellexerit, utpote qui promissum publicæ memoriæ traditum obtineat. Tum deinceps, quod superest, ex ipsius pauperis atque egeni persona, ipsius videlicet Salvatoris nostri, qui propter nos

δι' ἡμᾶς πτωχεύσαντος Σωτῆρος ἡμῶν, ἐπιλέγεται, ἐγὼ
εἶπα, Κύριε ἐλέησόν με. Ὅτι δὲ ἐκ προσώπου τοῦ
Σωτῆρος τὰ ἐν τῷ Ψαλμῷ θεσπίζεται, αὐτάρκης μάρτυς
14 ὁ εὐαγγελιστὴς Ἰωάννης τυγχάνει. Ἱστορεῖ γὰρ ὅτι
λαβὼν ὁ Ἰησοῦς ποτε λέντιον περιεζώσατο, καὶ νίψας τοὺς
πόδας τῶν μαθητῶν αὐτοῦ εἶπεν, Ἐγὼ οἶδα οὓς ἐξελεξάμην.
Ἀλλ' ἵνα ἡ γραφὴ πληρωθῇ, ὁ τρώγων μετ' ἐμοῦ τὸν ἄρτον,
15 ἐπῆρεν ἐπ' ἐμὲ τὴν πτέρναν αὐτοῦ. Ποίαν γὰρ πεπλη-
ρῶσθαι γραφὴν ἐν τούτοις ἐδήλου, ἀλλ' ἢ τὴν τοῦ μετὰ b
χεῖρας Ψαλμοῦ ἐν ᾧ εἴρηται, καὶ γὰρ ὁ ἄνθρωπος τῆς
εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν
ἐπ' ἐμὲ πτερνισμόν; Φησὶν οὖν ἀρχόμενος, ἐγὼ εἶπα,
Κύριε, ἐλέησόν με, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι,
16 καὶ δι' ὅλου τοῦ Ψαλμοῦ· ἅπερ σαφέστερον ὁ Σύμ-
μαχος τοῦτον ἐξέδωκε τὸν τρόπον· ἐμοῦ λέγοντος, Κύριε,
[c] οἰκτείρησόν με, ἴασαι τὴν ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι,
οἱ ἐχθροί μου ἔλεγον περὶ ἐμοῦ κακά, πότε ἀποθάνῃ, καὶ
ἀπολεῖται τὸ ὄνομα αὐτοῦ; Καὶ εἰσερχόμενος ἐπισκέψασθαι, c
μάταια ἐλάλει ἡ καρδία αὐτοῦ, ἤθροιζεν ἀδικίαν ἑαυτῷ·

[c] οἴκτειρον] οἰκτείρησον ED. PARIS. et P.

inopem vitam assumpsit, adjungitur, *Ego dixi, Domine, miserere mei.* Quod vero ex persona Salvatoris quæ ad hunc Psalmum pertinent prædicta sint, optimus sane sit testis evangelista Joannes. Narrat enim, ut olim Jesus, *quum accepisset linteum, præcinxerit se, quumque* Jo. 13, 4. *pedes discipulorum suorum abluisset, dixerit, Ego scio quos elegerim, sed ut compleatur scriptura, Qui edit mecum panem, levavit contra me calcaneum suum.* Etenim quam tandem aliam in his scripturam completam esse dicebat, nisi eam quæ in hoc Psalmo habetur qui nunc in manibus est, in quo quidem Psalmo illud dictum est, *Etenim homo pacis meæ in quo speravi, qui edebat panes meos, magnificavit super me supplantationem.* Initio ergo sic ait, *Ego dixi, Domine, miserere mei, sana animam meam, quia peccavi tibi:* et per totum Psalmum: ea quæ planius in hunc modum Symmachus edidit, *me dicente, Domine, miserere mei, sana animam meam, etsi peccavi tibi, inimici mei dixerunt de me mala, quando morietur, et peribit nomen ejus? et quum ingrederetur, vana loquebatur cor ejus, congregabat injustitiam sibi: quum egrederetur foras, obloquebatur, uno animo*

ἐξερχόμενος δὲ ἔξω κατελάλει. Ὁμοθυμαδὸν ἐψιθύριζον
κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με, περὶ ἐμοῦ ἐννοοῦντες
17 κακά μοι. Λόγος παράνομος ἐκκέχυτο ἔνδον αὐτῶν, καὶ
πεσὼν οὐκέτι ἀναστήσεται. Ἀλλὰ καὶ ἄνθρωπος, ὃς εἰρή-
νευέ μοι, ᾧ ἐπεποίθειν, [d]συνεσθίων μοι ἄρτον ἐμὸν, κατεμε-
γαλύνθη μου ἀκολούθως, σὺ δὲ Κύριε οἴκτειρόν με, καὶ
ἀνέγειρόν με, ἵνα ἀνταποδώσω αὐτοῖς. Διὰ τοῦτο γνώσομαι
ὅτι θελήσεις, ἐὰν μὴ καταλαλήσῃ ὁ ἐχθρός μου. Ἐμοῦ δὲ d
διὰ τὴν ἁπλότητα ἀντέσχου, καὶ παραστήσεις με ἔμπρο-
18 σθέν σου δι' αἰῶνος. Ἰσοδυναμεῖ δὲ τοῖς τοῦ Συμμάχου
καὶ τὰ Ἀκύλου. Πρῶτον οὖν περὶ τοῦ δοκεῖν [e]ἀπεμ-
φαίνειν ἐκ προσώπου τοῦ Σωτῆρος ἡμῶν τὸ εἰρημένον,
τὸ, ἴασαι τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι, τηρήσεις τὸ
παρὰ τῷ Συμμάχῳ μὴ οὕτως ἔχον, ἀλλὰ, ἴασαι τὴν
ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι. Καὶ οὕτως δὲ τοῦτό
φησιν, ἐπειδὴ τὰς ἡμετέρας κοινοποιεῖ εἰς ἑαυτὸν ἁμαρ-
19 τίας. Διὸ λέλεκται, καὶ Κύριος παρέδωκεν αὐτὸν ταῖς
ἁμαρτίαις ἡμῶν· καὶ, αὐτὸς [f]τὰς ἁμαρτίας ἡμῶν φέρει.

[d] συνέσθων P. [e] ἀπεμφαίνειν] Interpres legisse videtur ἀποφαίνειν, nisi leg. ὑπεμφαίνειν. [f] τὰς add. P.

susurrabant contra me omnes qui oderant me, de me cogitabant mala mihi, verbum iniquum effusum erat inter ipsos, et qui cecidit non amplius surget, sed et homo qui pacem habebat mecum, cui confidebam, comedens mecum panem meum, magnificatus est contra me consequenter, tu autem, Domine, miserere mei, et suscita me, ut retribuam eis: propter hoc cognoscam quod voles, si non obloquetur inimicus meus, me autem propter simplicitatem suscepisti, et constitues me in conspectu tuo in æternum. Cum his vero quæ Symmachus edidit concordant etiam ea quæ ab Aquila edita sunt, sensuque idem valent. Primum igitur de eo quod ex persona Salvatoris nostri enuntiari videatur, illud quod dictum est, *Sana animam meam, quia peccavi tibi,* observato, quæso te, ut idem apud Symmachum non eodem modo se habeat, sed sic, *Sana animam meam, etsi peccavi tibi.* Sic autem hoc ille ait, propterea quod nostra secum ipse peccata communicavit. Ex quo illud dictum est, *Et dominus tradidit eum peccatis nostris,* et *ipse pec-*
2 Cor. 5, 21. *cata nostra fert.* Factus est igitur pro nobis execratio ille *agnus*

20 Γέγονε γοῦν ὑπὲρ ἡμῶν κατάρα ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων p. 467
τὴν ἁμαρτίαν τοῦ κόσμου· ὃν καὶ μὴ γνόντα ἁμαρτίαν ὁ
Θεὸς ὑπὲρ ἡμῶν ἁμαρτίαν ἐποίησεν, ἀντίψυχον ὑπὲρ πάν-
των ἡμῶν προέμενος αὐτὸν, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη
Θεοῦ ἐν αὐτῷ. Ἀλλ' ἐπεὶ καὶ ἐν ὁμοιώματι σαρκὸς
ἁμαρτίας γενόμενος κατέκρινε τὴν ἁμαρτίαν ἐν τῇ σαρκὶ,
21 εἰκότως προφέρεται τὰ ἐκκείμενα. Ὅτι δὲ τὰς ἡμετέρας
ἁμαρτίας ἐξοικειούμενος διὰ τὴν πρὸς ἡμᾶς ἀγάπην καὶ
φιλανθρωπίαν, ταῦτά φησιν, ἑξῆς ὑποκαταβὰς ἐν αὐτῷ b
τῷ Ψαλμῷ ἐπιφέρει, λέγων, *ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν
ἀντελάβου*, σαφῶς τὸ ἀπειρόκακον τοῦ ἀμνοῦ τοῦ Θεοῦ
παριστάς. Πῶς δὲ τὰς ἡμετέρας ἁμαρτίας ἐξοικειοῦται,
καὶ πῶς φέρειν λέγεται τὰς ἀνομίας ἡμῶν, ἢ καθ' ὃ
σῶμα αὐτοῦ εἶναι λεγόμεθα, κατὰ τὸν ἀπόστολον
φήσαντα, *ὑμεῖς δὲ ἐστὲ σῶμα Χριστοῦ, καὶ μέλη ἐκ μέρους*;
22 Καὶ καθ' ὃ *πάσχοντος ἑνὸς μέλους συμπάσχει πάντα τὰ
μέλη*, οὕτως τῶν πολλῶν μελῶν πασχόντων καὶ ἁμαρ-
τανόντων, καὶ αὐτὸς κατὰ τοὺς τῆς συμπαθείας λόγους, c
(ἐπειδήπερ εὐδόκησε Θεοῦ Λόγος ὢν μορφὴν δούλου
λαβεῖν καὶ τῷ κοινῷ πάντων ἡμῶν σκηνώματι συν-

Dei, qui tollit peccatum mundi, quem non cognoscentem peccatum Deus pro nobis peccatum fecit, dum illum pretium animatum ac vivum pro nostris omnium animis tradit, *ut nos efficiamur justitia Dei in ipso.* Sed quando etiam in similitudinem carnis peccati factus condemnavit peccatum in carne, merito proferuntur ea, quæ jam exposita sunt. Quod autem peccata nostra sua faciens propter charitatem erga nos ac benevolentiam hæc dicat, deinceps oratione progressus in eodem Psalmo demonstrat, dicens, *Me autem propter innocentiam suscepisti.* Quibus verbis planissime agnum Dei omnis mali expertem et innocuum ostendit. Sed quo tandem modo ille peccata nostra sua fecit, et quo item modo iniquitates nostras tulit? num ex eo quod corpus illius nos esse dicti sumus, ut ait apostolus? *Vos autem estis corpus* 1 Cor. 12, 27. *Christi et membra ex parte*, et ex eo quod *dum unum membrum patitur, simul omnia cum eo membra patiuntur*, ita nimirum, multis enim patientibus et peccantibus membris, ipse quoque ratione consentientis sibi invicem naturæ (quandoquidem quum Dei Verbum esset ei placuit et formam servi accipere, et communi omnium nostro domi-

αφθῆναι,) τοὺς τῶν πασχόντων μελῶν πόνους εἰς ἑαυτὸν ἀναλαμβάνει, καὶ τὰς ἡμετέρας νόσους ἰδιοποιεῖται, καὶ πάντων ἡμῶν ὑπεραλγεῖ καὶ ὑπερπονεῖ κατὰ τοὺς τῆς
23 φιλανθρωπίας νόμους. Οὐ μόνον δὲ ταῦτα πράξας ὁ ἀμνὸς τοῦ Θεοῦ, ἀλλὰ καὶ ὑπὲρ ἡμῶν κολασθεὶς καὶ
τιμωρίαν ὑποσχὼν ἣν αὐτὸς μὲν οὐκ ὤφειλεν ἀλλ' d
ἡμεῖς τοῦ πλήθους ἕνεκεν τῶν πεπλημμελημένων, ἡμῖν αἴτιος τῆς τῶν ἁμαρτημάτων ἀφέσεως κατέστη, ἅτε τὸν ὑπὲρ ἡμῶν ἀναδεξάμενος θάνατον, μάστιγάς τε καὶ ὕβρεις καὶ ἀτιμίας ἡμῖν ἐποφειλομένας εἰς [g] αὐτὸν [h] μετατιθεὶς, καὶ τὴν ἡμῖν προστετιμημένην κατάραν ἐφ' ἑαυτὸν ἑλκύσας, γενόμενος ὑπὲρ ἡμῶν κατάρα· καὶ τί γὰρ ἄλλο, ἢ ἀντίψυχον; διὸ φησὶν ἐξ ἡμετέρου προσώπου τὸ λόγιον, *τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰάθημεν*, καὶ Κύριος *παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις ἡμῶν*, ὥστε εἰκότως ἑνῶν ἑαυτὸν ἡμῖν ἡμᾶς τε αὐτῷ, καὶ τὰ ἡμέτερα πάθη ἰδιοποιούμενος, φησὶν, *ἐγὼ εἶπα*, Κύριε *ἐλέησόν με, ἴασαι*
24 *τὴν ψυχήν μου, ὅτι ἥμαρτόν σοι*. Ὁρῶντας δὲ εἰκότως
τοὺς ἐπιβουλεύοντας οὐ μόνον ἀνθρώπους ἀλλὰ καὶ p. 468

[g] αὐτὸν] ἑαυτὸν S. [h] μεταθεὶς] μετατιθεὶς P.

cilio copulari) patientium membrorum labores in seipsum assumpsit, et nostras valetudinis infirmitates suas fecit, et ex legibus humanitatis pro omnibus nobis et dolores et labores sustinuit. Cæterum non modo rebus his gestis Dei agnus, verum etiam pro nobis tormenta passus supplicioque affectus, quo ipse quidem dignus minime erat sed nos ipsi propter multitudinem peccatorum, ut peccata nobis dimitterentur author extitit: utpote qui pro nobis et mortem subierit, et verbera, et probra, et contumelias, quibus nos digni eramus, in seipsum transtulerit, et execratio pro nobis factus execrationem quæ nobis debebatur ad seipsum attraxerit. Quid enim aliud ille, quam pro animis nostris pretium? itaque ex persona nostra oraculum
Es. 53, 5. 6. ait, *Livore ejus nos sanati sumus:* et *Dominus tradidit eum peccatis nostris.* Proinde merito dum seipsum nobis conjungit, et nos ac vitia nostra sibi adsciscit, ita ait, *Ego dixi, Domine, miserere mei, sana animam meam, quia peccavi tibi:* videntesque item merito non solum insidiatores homines, sed etiam insidiatrices invisibiles potestates, vim immensam illius divinæ appellationis et nominis, quo haud ita

ἀοράτους δυνάμεις τὴν ὑπερβάλλουσαν ἰσχὺν αὐτοῦ τῆς θείας προσηγορίας καὶ τοῦ ὀνόματος, δι' οὗ μικρὸν ὕστερον Χριστιανῶν τὴν πᾶσαν κατέπλησεν οἰκουμένην, σβέσειν αὐτὴν [i]οἴεσθαι ὑπειληφέναι, εἰ τὰ πρὸς θάνατον
25 ἐπιβουλεύσαιεν αὐτῷ. Τοῦτο δὴ οὖν αὐτὸ διελέγχει φάσκων, *οἱ ἐχθροί μου εἶπαν κακά μοι, πότε ἀποθανεῖται καὶ ἀπολεῖται τὸ ὄνομα αὐτοῦ;* Ἐπεὶ δὲ καθυποκρινόμενοι προσῄεσαν πειράζοντες ὅπως αὐτὸν παγιδεύσωσιν, ὡς ἡ θεία γραφὴ μαρτυρεῖ, ἄλλοτε [k]ἄλλως αὐτοὺς προφάσεις καὶ κατηγορίας κατ' αὐτοῦ συσκευάζεσθαι ἱστο- b
ροῦσα, τούτων ἕνεκα ἐπιλέγει, *καὶ εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν, μάτην ἐλάλει ἡ καρδία αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ, ἐξεπορεύετο ἔξω καὶ ἐλάλει ἐπὶ τὸ αὐτὸ κατ' ἐμοῦ.*
26 Ἑξῆς δὲ τούτοις ἤδη σαφῶς ἐμφαίνει καὶ αὐτὸν ἐκεῖνον τὸν δυσσεβέστατον προδότην, ἐπειδὴ συνέβαινεν μεθ' ἃς πεποίητο συνθήκας τοῖς ἄρχουσι τῶν Ἰουδαίων περὶ τῆς τοῦ διδασκάλου προδοσίας μηκέτ' ἀπαντᾶν αὐτὸν συνήθως ἐπὶ τὴν τῶν θείων μαθημάτων διδασκαλίαν, c
μὴ δ' ὡς παρὰ [l]διδάσκαλον φοιτᾶν, μὴ δ' ὁμοίως τοῖς

[i] οἶμαι] οἴεσθαι P. [k] ἄλλας] ἄλλως P. [l] διδάσκαλον] διδασκάλῳ P. v. p. 469 A 8.

multo post totum orbem terrarum Christianis implevit, illam se posse extinguere putaverunt, si mortem illi machinarentur. Hoc ipsum igitur his verbis redarguit, *Inimici mei dixerunt mala mihi, quando morietur et peribit nomen ejus?* Quoniam autem simulatis verbis accedebant tentantes ut ipsum caperent in sermone, ut legimus apud divinam scripturam, quæ illos contra illum alias aliis et occasionibus Matth. 22, 15.
et criminibus utentes inducit, idcirco illud adjungit, *et ingrediebatur ut videret, vana loquebatur cor ejus, congregavit iniquitatem sibi, egrediebatur foras et loquebatur in id ipsum contra me.* Hisce vero rebus expositis, deinceps ipsum illum scelestissimum proditorem verbis indicat: quandoquidem illud evenit, ut postquam de prodendo præceptore cum principibus Judæorum pactus esset non amplius, ut solebat, ad divina præcepta perdiscenda conveniret, neque vero tanquam ad præceptorem accederet, aut aliorum more præceptoris consuetudine uteretur, sed tempus duntaxat circumspiceret atque observaret, quo adoriri illum posset. Proinde illum ista molientem ac

ἑτέροις παραβάλλειν τῇ τοῦ Σωτῆρος διατριβῇ, ἀλλ' ἐπὶ
τῷ κατοπτεύειν καὶ θηρεύειν καιρὸν, ὅτε [m] δέοι ἐπιθέσθαι
27 αὐτῷ. Τοῦτο δ' οὖν καὶ κατηγορεῖται πράττων ὑπὸ
τῶν ἱερῶν εὐαγγελιστῶν, ὧν ὁ μὲν Ματθαῖός φησι,
Τότε πορευθεὶς εἷς τῶν δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκα-
ριώτης, πρὸς τοὺς ἀρχιερεῖς, εἶπεν αὐτοῖς, Τί θέλετέ μοι
δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ
τριάκοντα ἀργύρια. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν ἵνα
αὐτὸν παραδῷ αὐτοῖς. Ὁ δὲ Μάρκος, Καὶ Ἰούδας ὁ
Ἰσκαριώτης εἷς τῶν δώδεκα ἀπῆλθεν πρὸς τοὺς ἀρχιερεῖς, d
28 ἵνα αὐτὸν παραδῷ αὐτοῖς. Οἱ δὲ ἀκούσαντες ἐχάρησαν,
καὶ ἐπηγγείλαντο αὐτῷ ἀργύριον δοῦναι· καὶ ἐζήτει πῶς
αὐτὸν εὐκαίρως παραδῷ. Ὁ δὲ Λουκᾶς γράφει λέγων,
Εἰσῆλθε δὲ ὁ Σατανᾶς εἰς Ἰούδαν τὸν ἐπικαλούμενον Ἰσκα-
ριώτην, ὄντα ἐκ τοῦ ἀριθμοῦ τῶν δώδεκα, καὶ ἀπελθὼν
συνελάλησε τοῖς ἀρχιερεῦσι καὶ γραμματεῦσι, καὶ τοῖς
στρατηγοῖς τοῦ ἱεροῦ, ἵνα αὐτὸν παραδῷ αὐτοῖς καὶ ἐχά-
ρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύριον δοῦναι. Καὶ ἐζήτει
29 εὐκαιρίαν τοῦ παραδοῦναι αὐτὸν αὐτοῖς ἄτερ ὄχλου. Ταῦτα
δὴ οὖν αὐτὰ θεσπίζουσα ἡ μετὰ χεῖρας πρόρρησις ἐπι-
λέγει, Καὶ [n] εἰ εἰσεπορεύετο τοῦ ἰδεῖν μάτην ἐλάλει ἡ καρδία

[m] δέοι] δεῖ P. [n] εἰ om. S. cum interprete.

patrantem sancti evangelistæ criminantur: quorum unus Matthæus
Matth. 26, 14. ita ait, *Tunc abiens unus ex duodecim, qui dicebatur Judas Iscariotes, ad principes sacerdotum, ait illis, Quid vultis mihi dare, et ego eum vobis tradam? illi autem constituerunt ei triginta argenteos. Et ex illo quærebat opportunitatem, ut ipsum eis traderet.* Marcus autem sic,
Marc. 14, 10. *Et Judas Iscariotes, unus ex duodecim, abiit ad principes sacerdotum ut eum illis traderet. Illi autem audientes gavisi sunt. Et promiserunt se argentum ei daturos: et quærebat quomodo illum opportune traderet.*
Luc. 22, 3. Lucas vero in hunc modum scribit, *Intravit autem Satanas in Judam qui vocatur Iscariotes, unum de duodecim. Et abiit et locutus est cum principibus sacerdotum et scribis et ducibus templi, ut eum illis traderet. Et gavisi sunt, et pacti sunt argentum illi dare: et quærebat opportunitatem, ut traderet illum sine turbis.* Eadem igitur hæc vaticinium quod nunc in manibus est canens, ita ait, *Et ingrediebatur ut videret,*

αὐτοῦ, συνήγαγεν ἀνομίαν ἑαυτῷ. Ἐξεπορεύετο ἔξω, καὶ p. 469
ἐλάλει ἐπὶ τὸ αὐτό. Κατ' ἐμοῦ ἐψιθύριζον πάντες οἱ
30 ἐχθροί μου. Ὁ γοῦν Σύμμαχος, εἰσερχόμενος, φησὶν, ἐπι-
σκοπῆσαι, μάταια ἐλάλει ἡ καρδία αὐτοῦ, ἤθροιζεν ἀδικίαν
ἑαυτῇ· ἐξερχόμενος δὲ ἔξω κατελάλει. Ὁμοθυμαδὸν ἐψι-
θύριζον κατ' ἐμοῦ πάντες οἱ μισοῦντές με. Μόνος μὲν οὖν
ὡς ἂν γνώριμος καὶ μαθητὴς παρὰ διδάσκαλον εἰσιὼν,
περιεσκόπει καὶ κατεμάνθανεν, ἔνδον ἐπὶ τῆς ἑαυτοῦ
31 καρδίας κρύπτων τὴν ἐπιβουλήν. Ἐξιὼν δὲ, μετὰ πλει- b
όνων ὁμοθυμαδὸν καὶ ἐπὶ τὸ αὐτὸ κατελάλει, τοῖς ἐχθροῖς
προδιδοὺς τὸν Σωτῆρα, καὶ συνταττόμενος τοῖς τῶν
Ἰουδαίων ἄρχουσι λεληθότως περὶ ἑτέρων, οὐ μὴν ἀλλὰ
καὶ περὶ τῶν χρημάτων, ἐφ' οἷς παραδώσειν αὐτὸν ὑπ-
ισχνεῖτο, περὶ ὧν μετ' αὐτῶν ἐκείνων ἐψιθύριζε. Διό
φησιν, ἐξεπορεύετο ἔξω, καὶ °ἐλάλει ἐπὶ τὸ αὐτό. Κατ'
ἐμοῦ ἐψιθύριζον πάντες οἱ ἐχθροί μου, κατ' ἐμοῦ ἐλογίζοντο
32 κακά μοι. Λόγον παράνομον κατέθεντο κατ' ἐμοῦ. Ἔοικε
δὲ τὴν συνταγὴν τὴν περὶ τῶν ἀργυρίων λόγον παράνομον c
διὰ τῆς προφητείας ὀνομάζειν, ἢ καὶ ὅτι ἀσεβῆ καὶ

° ἐλάλη S.

vana loquebatur cor ejus, congregavit iniquitatem sibi. Egrediebatur foras, et loquebatur in id ipsum. Contra me susurrabunt omnes inimici mei. Symmachus autem, *Ingrediens,* inquit, *ut inspiceret, vana loquebatur cor ejus, congregabat injustitiam sibi. Egrediens autem foras obloquebatur. Uno animo susurrabant contra me omnes qui oderunt me.* Solus igitur tanquam familiaris et discipulus ingressus circumspiciebat et explorabat intus, insidias in corde suo occultans. Egressus autem cum pluribus uno animo et in idem obloquebatur, dum Salvatorem inimicis tradebat, et latenter paciscebatur cum principibus Judæorum quum de aliis rebus, tum vero etiam de pecunia qua se traditurum illum promittebat, et de qua una cum ipsis illis susurrabat. Ex quo ait: *egredietur foras, et loquebatur in id ipsum. Adversus me susurrabant omnes inimici mei. Adversum me cogitabant mala mihi. Verbum iniquum constituerunt adversum me.* Videtur autem pactionem de argenteis *verbum iniquum* prophetice nominare: aut etiam ita dicit, propterea quod nefaria et iniqua adversus illum cogitabant, utpote qui illum extinguendum et post necem abolendum,

παράνομα κατ' αὐτοῦ διενοοῦντο, ὡς ἂν σβεσθησομένου καὶ διαφθαρησομένου μετὰ τὸν θάνατον, καὶ [p] μηκέτ' ἐν
33 ζῶσιν ἐξετασθησομένου. Τοιοῦτον γάρ ἐστι τὸ, μὴ ὁ κοιμώμενος οὐχὶ προσθήσει τοῦ ἀναστῆναι; ὅπερ λευκότερον ὁ Σύμμαχος ἐξέφηνεν εἰπὼν, καὶ πεσὼν οὐκέτ' ἀναστήσεται; Ὁ δὲ Ἀκύλας φησὶν, καὶ ὃς ἂν κοιμηθῇ, οὐ προσθήσει τοῦ ἀναστῆναι; Καὶ ταῦτα ἔτι κοινῶς περὶ πάντων εἴρηται τῶν κατὰ τὸν καιρὸν τοῦ πάθους ἐπι- d
βεβουλευκότων αὐτῷ· ἰδίως δὲ πάλιν περὶ τοῦ προδότου, ὡς ἂν περὶ μαθητευθέντος αὐτῷ, ἑξῆς ἐπιφέρει λέγων, καὶ γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ
34 ἐσθίων ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμόν. Ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος, καὶ ἄνθρωπος, φησὶν, ὃς εἰρήνευέ μοι, ᾧ ἐπεποίθειν, συνεσθίων μοι ἄρτον ἐμὸν, κατεμεγαλύνθη μου. Χείριστος γὰρ ἀληθῶς ἁπάντων καὶ [q] ἐναγέστατος ὁ μετὰ κοινὴν τράπεζαν καὶ τὴν ἐν λόγοις τοῦ διδασκάλου τροφὴν ἐπὶ τὰ χείρω τραπεὶς, καὶ τοῖς ἐναντίοις τὸν
35 εὐεργέτην ἀνταμειψάμενος. Ἀλλ' ἐπειδήπερ ἐπιβουλεύοντες οἱ ἐχθροὶ ἔλεγον, πότε ἀποθανεῖται καὶ ἀπολεῖται

[p] μηκέτι] μηκέτ' ἐν P. [q] ἐναργέστατος] ἐναγέστατος P.

neque amplius inter vivos requirendum arbitrarentur. Tale est enim illud, *Nunquid qui dormit, non adjiciet ut resurgat?* quod lucidius protulit Symmachus his verbis, *et qui cecidit non ultra resurget.* Aquila vero, *et qui,* inquit, *dormierit, non adjiciet ut resurgat:* et hæc quidem adhuc communiter de universis dicta sunt, qui sub ipsum passionis tempus insidias illi fecerunt. At seorsum de proditore, tanquam de eo quem ipse ut discipulum instituisset, deinceps adjungit, dicens, *Etenim homo pacis meæ, in quo speravi, qui edebat panes meos, magnificavit super me supplantationem.* Pro quo rursum Symmachus, *Et homo,* inquit, *qui pacem habebat mecum, cui confidebam, comedens mecum panem meum, magnificatus est contra me.* Pessimus enim re vera omnium et sceleratissimus, qui post communem mensam, et post cibi inter verba præceptoris assumptionem, se ad deteriora convertit, et contrariis rebus eum a quo juvabatur et beneficia capiebat remuneravit. At vero quoniam inimici insidiantes dicebant, *quando morietur, et peribit nomen ejus?* et putabant morte

τὸ ὄνομα αὐτοῦ; ᾤοντό τε κοιμηθέντα μηκέτ' ἀναστή-
σεσθαι, τούτου χάριν αὐτὸς ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν p. 470
τἀναντία τούτοις εὐχόμενος, καὶ τῆς ἀναστάσεως ἀκω-
λύτως τυχεῖν ἀξιῶν τὸν πατέρα, φησὶ, σὺ δὲ, Κύριε,
ἐλέησόν με, καὶ ἀνάστησόν με, καὶ ἀνταποδώσω αὐτοῖς.
Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ μὴ ἐπιχαρῇ ὁ
36 ἐχθρός μου ἐπ' [r]ἐμέ. Καὶ πρόδηλόν γε τίνα τρόπον μετὰ
τὴν ἐκ νεκρῶν ἀνάστασιν αὐτοῦ παραχρῆμα καὶ οὐκ εἰς
[s]μακρὸν μετῆλθε τοὺς ἐπιβεβουλευκότας αὐτῷ ἡ ἀντα-
πόδοσις, ὅπως τε ὁ ἐχθρὸς αὐτοῦ ζωῆς τυγχάνοντος
θάνατος κατῃσχύνθη, ὥστε τοὺς ἐπονειδίζοντας εἰπεῖν,
ποῦ σου, θάνατε, τὸ κέντρον; ποῦ σου, θάνατε, τὸ νῖκος; b
ἐντυχὼν δέ τις ταῖς μετὰ τὴν ἀνάστασιν τοῦ Σωτῆρος
ἡμῶν ἱστορίαις τῷ Ἰωσήπῳ γραφείσαις εἴσεται τὰς
μετελθούσας τὸ Ἰουδαίων ἔθνος καὶ τοὺς ἄρχοντας αὐ-
τῶν συμφορὰς, αἷς εἰκότως περιπεπτώκασι τὰ ἐπίχειρα
37 ὧν εἰς αὐτὸν ἔδρασαν ἀπολαμβάνοντες. Καὶ ταῦτα μὲν
εἰς ἐκείνους ἐπληροῦτο πάντα κατὰ τὴν πρόρρησιν· τοῦ
δὲ Σωτῆρος ἡμῶν ἡ ἐκ νεκρῶν ἀνάστασις διέδειξε τοῖς

[r] ἐμοὶ] ἐμὲ P. [s] μακρὰν] μακρὸν S.

sopitum non amplius surrecturum, idcirco ipse Salvator ac Dominus noster his adversa precatur, et reditionis ad vitam sine impedimento se compotem fieri patrem suum orat, dicens, *Tu autem, Domine, miserere mei, et suscita me, et retribuam eis. In hoc cognovi quod voluisti me, quod non gaudebit inimicus meus super me.* Et sane haud obscurum est, quem in modum postquam a mortuis rediit, e vestigio neque ita multo post, eos qui illi insidias struxerant retributio ulta sit, utque ea quæ vitæ ejus inimica erat mors sit pudore confusa, adeo illa quidem ut quasi probrum ei objicientes dicerent, *Ubi est, mors, stimulus tuus? ubi est mors victoria tua?* (1 Cor. 15, 55.) Cæterum si quis historias tempora post reditionem ad vitam Salvatoris nostri complexas, quæ ab Josepho conscriptæ sint, evolverit, facile videbit quænam calamitates Judaicam gentem atque ejus principes invaserint atque afflixerint, in quas merito illi inciderunt, ut sceleris quod in illum patraverant præmia digna reciperent: et hæc quidem omnia adversus illos completa sunt, ut oraculum prædixerat. Salvatoris autem nostri de morte ad vitam reditio plane omnibus demonstravit quantum sibi pater in illo placuerit, quam quidem rem ipse ostendit,

πᾶσιν ὅπως ἐν αὐτῷ εὐδόκησεν ὁ πατὴρ, [t] ὃ καὶ αὐτὸς
διδάσκει λέγων, ἐλέησόν με καὶ ἀνάστησόν με, καὶ ἀντα- c
ποδώσω αὐτοῖς. Ἐν τούτῳ ἔγνων ὅτι τεθέληκάς με, ὅτι οὐ
μὴ ἐπιχαρῇ ὁ ἐχθρός μου ἐπ' ἐμοί. Τούτοις ἐπιλέγει,
38 ἐμοῦ δὲ διὰ τὴν ἀκακίαν ἀντελάβου. Καὶ τήρει γε τίνα
τρόπον αὐτῷ τῷ Θεῷ καὶ πατρὶ αὐτοῦ τὴν εὐχὴν ἀνα-
πέμπων ἐπὶ τοσαύτῃ τεθάρρηκε παρρησίᾳ ὡς ἀκακίαν
ἑαυτῷ μαρτυρεῖν, καίτοι ἀνωτέρω φήσας, ἴασαι τὴν ψυ-
χήν μου, ὅτι ἥμαρτόν σοι. Ἀλλὰ τὸ [u] μὲν ἥμαρτόν σοι
39 ὁποίας ἔχεται διανοίας προδιειλήφαμεν, καὶ ὁ Σύμ- d
μαχος δὲ σαφέστερον παρέστησεν εἰπὼν, ἴασαι τὴν
ψυχήν μου, καὶ εἰ ἥμαρτόν σοι, ὃ καὶ αὐτὸ λέγοιτ' ἂν
περὶ τῶν ἡμετέρων ἁμαρτημάτων, ἅπερ ὁ Σωτὴρ καὶ
40 Κύριος ἡμῶν εἰς ἑαυτὸν ἀνεδέξατο. Τὸ δὲ, ἐμοῦ δὲ διὰ
τὴν ἀκακίαν ἀντελάβου, τὴν δι' ὅλου καθαρότητα τῆς
αὐτοῦ φύσεως παρίστησι, δι' ἣν καὶ τὸ ἑδραῖον καὶ
ἄσειστον τῆς ζωῆς καὶ τῆς μετὰ τὴν ἀνάστασιν αὐτοῦ
σωτηρίας διδάσκων ἐπιλέγει, καὶ ἐβεβαίωσάς με ἐνώπιόν
σου εἰς τὸν αἰῶνα· ἢ, καὶ παραστήσεις με ἔμπροσθέν σου
δι' αἰῶνος, κατὰ τὸν Σύμμαχον.

[t] ὃς] ὁ P. [u] μὲν] ἢ μὲν S. i. e. εἰ μέν.

dicens, *Miserere mei, et suscita me, et retribuam eis. In hoc cognovi quod voluisti me, quod non gaudebit inimicus meus super me.* Deinde adjungit, *Me autem propter innocentiam suscepisti.* Attende autem quonam pacto ipsi Deo et patri suo supplicans tanta utatur libertate loquendi, ut sibi ipsi innocentiæ testimonium exhibeat, tametsi superius dixit, *Sana animam meam quia peccavi tibi.* Sed illud quidem *peccavi tibi* quo sensu sit accipiendum antea planum fecimus, quod Symmachus apertius exposuit, quum dixit, *Sana animam meam etsi peccavi tibi:* quod sane ipsum etiam de peccatis nostris dici potest, quæ Salvator ac Dominus noster in seipsum suscepit. Illud autem *Me autem propter innocentiam suscepisti* puritatem naturæ ipsius, quam totam possidebat, demonstrat, ex qua puritate vitam quoque et salutem stabilem atque inconcussam post reditum ipsius ad vitam exponens adjungit, *Et confirmasti me in conspectu tuo in æternum:* aut aliter, *et constitues me ante te in æternum,* ut interpretatus est Symmachus.

ἈΠΟ ΤΟΥ͂ ΨΑΛΜΟΥ͂ νδ΄.

p. 471

"Ετι περὶ τοῦ Ἰούδα, καὶ τῶν σὺν αὐτῷ τὴν κατὰ τοῦ Χριστοῦ συσκευὴν πεποιημένων.

2 Ἐνώτισαι ὁ Θεὸς τὴν προσευχήν μου, καὶ μὴ ὑπερίδῃς τὴν δέησίν μου, πρόσχες μοι, καὶ εἰσάκουσόν μου. Ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ b ἀπὸ θλίψεως ἁμαρτωλοῦ. Ὅτι ἐξέκλιναν ἐπ' ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ ἐνεκότουν μοι. Ἡ καρδία μου [x]ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θανάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ, καὶ ἐκάλυψέ με σκότος,

2 καὶ τὰ ἑξῆς. Οἷς ἐπιλέγει,

Καταπόντισον, Κύριε, καὶ καταδίελε τὰς γλώσσας αὐτῶν, ὅτι εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει. Ἡμέρας καὶ νυκτὸς κυκλώσει αὐτὴν ἐπὶ τὰ τείχη αὐτῆς, καὶ ἀνομία καὶ κόπος ἐν μέσῳ αὐτῆς καὶ ἀδικία, καὶ οὐκ ἐξέλιπεν ἐκ τῶν c πλατειῶν αὐτῆς τόκος καὶ δόλος. Ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἄν· [y]καὶ εἰ ὁ μισῶν με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην ἂν [z]ἀπ' αὐτοῦ· σὺ δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου καὶ γνωστέ μου, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ἐν τῷ οἴκῳ τοῦ Θεοῦ ἐπορεύθημεν ἐν ὁμονοίᾳ.

3 Τὸ, εἰ ἐχθρὸς ὠνείδισέ με, [a]ὑπήνεγκα ἂν, καὶ εἰ ὁ μισῶν d

[x] Repetit ἐταράχθην—καρδιά μου S. [y] εἰ] καὶ εἰ S. qui mox ἐμεγαλορημόνησεν et infra. [z] ἐπ'] ἀπ' S. [a] ὑπήνε S.

A PSALMO LIV.

Ps. 54, 1. Item de Juda, et de iis qui cum eo adversus Christum conjurationem fecerunt.

2 *Auribus percipe, Deus, orationem meam, et ne despexeris deprecationem meam. Præsta attentum te mihi, et exaudi me. Contristatus sum in nugatione mea, et conturbatus sum a voce inimici, et a tribulatione peccatoris: quoniam declinaverunt in me iniquitatem, et in ira molesti erant mihi. Cor meum conturbatum est in me, et formido mortis cecidit super me. Timor et tremor venerunt super me, et contexerunt me tenebræ:* et quæ sequuntur, quibus adjungit, *Præcipita, Domine, et divide linguas eorum: quoniam vidi iniquitatem et contradictionem in civitate. Die ac nocte circundabit eam super muros ejus, et iniquitas et labor in medio ejus et injustitia: et non defecit de plateis ejus usura et dolus. Quoniam si inimicus probro me affecisset, sustinuissem utique: et si is qui oderat me super me magna locutus fuisset, abscondissem me forsitan ab eo. Tu vero homo unanimis, et dux meus, et notus meus: qui in idem dulces comparabas mihi cibos. In domo Dei ambulavimus cum consensu.* Ex his igitur illud, *Si inimicus probro me*

με ἐπ' ἐμὲ ἐμεγαλορρημόνησεν, ἐκρύβην [b] ἂν ἀπ' αὐτοῦ. Σὺ
δὲ, ἄνθρωπε ἰσόψυχε, ἡγεμὼν μου καὶ γνωστέ μου, ὃς ἐπὶ
τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα, ὅμοιόν ἐστι τῷ, καὶ
γὰρ ὁ ἄνθρωπος τῆς εἰρήνης μου, ἐφ' ὃν ἤλπισα, ὁ ἐσθίων
ἄρτους μου, ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν, περὶ τοῦ Ἰούδα
4 ἐν τῇ πρὸ ταύτης προφητείᾳ [c] κειμένῳ. Ὥσπερ οὖν ἐν
ἐκείνῳ ἐδείκνυτο ἄνθρωπος εἰρήνης ποτὲ γεγονὼς, ὅτε
τῷ Σωτῆρι ἐμαθητεύετο εἷς καὶ αὐτὸς τοῦ τῶν ἀποστό-
λων ἀριθμοῦ χρηματίσας, οὕτως καὶ ἐν τῷ προκειμένῳ
ἰσόψυχος καὶ ἡγεμὼν καὶ γνωστὸς αὐτῷ [d] προσηγόρευται.
5 Καὶ πάλιν ὡς ἐν ἐκείνῳ περὶ αὐτοῦ εἴρητο, ὁ ἐσθίων
ἄρτους μου ἐμεγάλυνεν ἐπ' ἐμὲ πτερνισμὸν, τὸν αὐτὸν
τρόπον καὶ ἐπὶ τοῦ παρόντος εἰς αὐτοῦ πρόσωπον λέγε-
ται τὸ, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι ἐδέσματα. Καὶ γὰρ
τῶν καταξιουμένων καὶ αὐτὸς εἷς ἦν τῆς ἀπορρήτου
πρὸς τοὺς μαθητὰς τοῦ Σωτῆρος ἡμῶν ὁμιλίας τε καὶ
6 πνευματικῆς τροφῆς. Τοῖς μὲν γὰρ ἔξω πλήθεσι καὶ p. 472
τοῖς ὄχλοις ἐν παραβολαῖς ἐλάλει, μόνοις δὲ τοῖς ἑαυτοῦ
μαθηταῖς, ἐν οἷς καὶ ὁ Ἰούδας ἐξητάζετο, ἐπέλυεν

[b] ἂν ἐπ'] ἀπ' S. [c] κειμένῳ] κείμενον P. [d] προσαγορεύεται] προσηγόρευται S.

affecisset, sustinuissem utique: et si is qui oderat me super me magna locutus fuisset, abscondissem me forsitan ab eo. Tu vero homo unanimis, et dux meus, et notus meus, qui in idem dulces comparabas mihi cibos, simile est illi, *Etenim homo pacis meæ, in quo speravi, qui edebat panes meos, magnificavit super me supplantationem:* quod quum de Juda sit accipiendum in superiori prophetia positum est. Ut ergo in illo dicebatur homo pacis aliquando fuisse, qui quondam a Salvatore instituebatur, quum ipse quoque ex numero apostolorum unus esset, sic etiam in præsenti, et unanimis, et dux, et notus dictus est. Item quemadmodum in illo de eodem dictum est, *Qui edebat panes meos magnificavit super me supplantationem,* ita etiam nunc ex persona ipsius dicitur illud, *qui in idem dulces comparabas mihi cibos.* Etenim ex iis ipse quoque unus erat, qui ad arcanam, qua cum suis discipulis utebatur, Salvatoris nostri consuetudinem spiritualemque cibum assumpti fuerant: nam ad profanam multitudinem et ad turbas quum verba faceret, parabolis utebatur, solis

ἅπαντα. Διὸ λέλεκται, ὁ ἐσθίων ἄρτους μου ἐμεγάλυνεν
ἐπ' ἐμὲ πτερνισμὸν, καὶ, ὃς ἐπὶ τὸ αὐτὸ ἐγλύκανάς μοι
7 ἐδέσματα. Ἅπερ σαφέστερον ἐξέφηνεν ὁ μὲν Ἀκύλας
εἰπὼν, οἳ ὁμοῦ ἐγλυκάναμεν ἀπόρρητον, ὁ δὲ Σύμμαχος, οἵ
τινες ἐκοινολογούμεθα γλυκεῖαν ὁμιλίαν. Ἀντὶ δὲ τοῦ, σὺ b
δὲ ἄνθρωπε ἰσόψυχε, ἡγεμών μου, καὶ γνωστέ μου, ὁ Σύμ-
μαχός φησι, σὺ δὲ ἄνθρωπε [e] ὁμότροπέ μοι, καὶ [f] ἡγεμὼν
μου, καὶ γνωστέ μου. Ἐπειδήπερ τοσούτων ἠξιωμένος
φίλος ἐν τοῖς μάλιστα ἦν τοῦ Σωτῆρος, εἰκότως φησὶ
περὶ αὐτοῦ τὸ, ὅτι εἰ ἐχθρὸς ὠνείδισέ με, ὑπήνεγκα ἂν,
8 καὶ τὰ ἑξῆς. Ταῦτα δὲ περὶ τοῦ Ἰούδα θεσπίσας,
ἀκολούθως τὴν ἐκ τοῦ θανάτου σωτηρίαν καὶ ἀποφυγὴν
ἑαυτοῦ προδιδάσκει λέγων, ἐγὼ πρὸς τὸν Θεὸν ἐκέκραξα,
καὶ ὁ Κύριος ἔσωσέ με. Ἑσπέρας καὶ πρωῒ καὶ μεσημ-
βρίας διηγήσομαι καὶ ἀπαγγελῶ, καὶ εἰσακούσεται τῆς
9 φωνῆς μου, λυτρώσεται ἐν εἰρήνῃ τὴν ψυχήν μου. Ὡς ἐν c
εὐχῇ [g] τὸν πρὸ τοῦ θανάτου καιρὸν σημαίνει, καθ' ὃν
καὶ ὁ Ἰούδας τὰ τῆς κατ' αὐτοῦ προδοσίας [h] συνεσκευά-

[e] ὁμότροπος P.S. [f] ἡγεμὸν S. [g] τὸν] τῶν S. [h] συνεσκευάσατο] ἐπεσατο P. Sic collator. Nescio an in ms. ἐπεσκευάσατο. Cum vulg. consentit S.

vero suis discipulis, in quorum ordinem etiam Judas admissus fuerat, apertius omnia demonstrabat. Ex quo illud dictum est, *Qui edebat panes meos, magnificavit super me supplantationem,* et illud, *qui in idem dulces comparabas mihi cibos,* quod sane evidentius expressit Aquila quidem sic, *qui simul dulce comparabamus arcanum,* Symmachus autem sic, *Qui inter nos communicabamus dulcem sermonis consuetudinem.* Pro illo vero, *Tu autem homo unanimis, dux meus, et notus meus,* Symmachus ita convertit, *Tu autem homo moris ejusdem mecum, et dux meus, et notus meus:* nam quum ad tantam dignitatem assumptus esset, et ob id inter primos Salvatoris amicos censeretur, merito de eo sic ait, *Si inimicus probro me affecisset, sustinuissem utique,* et quæ sequuntur. Ubi autem hæc de Juda cecinit, ordine deinceps liberationem a morte evasionemque suam tanto ante indicat illis verbis, *Ego ad Deum clamavi, et Dominus salvavit me. Vespere et mane et meridie narrabo et annuntiabo, et exaudiet vocem meam, redimet in pace animam meam.* Sic tanquam in prece tempus quod mortem antecessit significat, quo quidem tempore Judas quoque ad

10 σατο. Τότε οὖν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, ὡς ἐπὶ
ὀλέθρῳ καὶ ἀπωλείᾳ τοῦ γνωρίμου δυσφορῶν, καὶ ἔτι
μᾶλλον ἐπὶ τῇ τοῦ παντὸς Ἰουδαίων ἔθνους ἀποβολῇ,
ὥσπερ ἐπὶ μεμηνόσιν οἰκείοις καὶ ὡς ἐπὶ φιλτάτοις συμ-
πάσχων, πᾶσαν τὴν πρὸς αὐτοὺς ὁμιλίαν καὶ διδασκα-
λίαν, διὰ τὸ μηδὲν αὐτοὺς ὠφεληκέναι, ἀδολεσχίαν
ἀποκαλεῖ φάσκων, ἐλυπήθην ἐν τῇ ἀδολεσχίᾳ μου, καὶ
ἐταράχθην ἀπὸ φωνῆς ἐχθροῦ, καὶ ἀπὸ θλίψεως ἁμαρτωλοῦ.
Ὅτι ἐξέκλιναν, φησὶν, ἐπ' [i] ἐμὲ ἀνομίαν, καὶ ἐν ὀργῇ d
11 ἐνεκότουν μοι. Ἅπερ δύναται μὲν καὶ ἐπὶ τοὺς ἄρχοντας
τῶν ἐκ περιτομῆς ἀναφέρεσθαι, τοὺς ἐχθρωδῶς καὶ ἐπι-
βουλευτικῶς ἐνεδρεύειν αὐτὸν πειρωμένους, δύναται δὲ
καὶ περὶ δυνάμεων ἀοράτων ἔξωθεν αὐτὸν προσπολε-
μουσῶν καὶ τὴν δι' ἀνθρώπων κατασκευὴν ἐνεργουσῶν
λέγεσθαι. Ἃ καὶ συνᾴδειν μοι δοκεῖ τοῖς ἐν τῷ εὐαγ-
γελίῳ ὑπ' αὐτοῦ λελεγμένοις, κατὰ τὸν τοῦ πάθους
καιρὸν, ὅτε λέγει τοῖς ἑαυτοῦ μαθηταῖς, περίλυπός ἐστιν
ἡ ψυχή μου ἕως θανάτου· μείνατε ὧδε, καὶ γρηγορεῖτε
12 μετ' ἐμοῦ. Καὶ πάλιν, νῦν ἡ ψυχή μου τετάρακται.

[i] ἐ S.

proditionem comparabatur contra illum. Tunc enim Salvator ac Dominus noster, veluti ob perniciem atque interitum sui familiaris dolens mœrensque ac multo etiam magis ob totius Judaicæ gentis perditionem, tanquam ob suos ad insaniam redactos, et tanquam ob sibi charissimos misericordia commotus, omnem qua cum illis utebatur sermonis consuetudinem ac doctrinam, eo quod illis nihil profuisset, nugationem appellat, dicens, *Contristatus sum in nugatione mea, et conturbatus sum a voce inimici, et a tribulatione peccatoris: quoniam declinaverunt*, inquit, *in me iniquitatem et in ira molesti erant mihi:* quæ quidem possunt etiam ad principes Judæorum referri, qui inimico insidiantique animo circumvenire illum conabantur. Possunt etiam de potestatibus invisibilibus, quæ extrinsecus illum oppugnabant ac per homines talia illi machinabantur, intelligi. Proinde
Matth. 26, 38. eadem mihi videntur concordare cum iis, quæ ab ipso in evangelio dicta sunt sub ipsum passionis tempus, ubi ait ad suos discipulos,
Jo. 12, 27. *Tristis est anima mea usque ad mortem, manete hic et vigilate mecum.* Et rursus, *Nunc anima mea conturbata est.* Similia namque his sunt

Ὅμοια γοῦν τούτοις ἐστὶ καὶ τὰ ἐν τῷ Ψαλμῷ, ἐν ᾧ p. 473
λέλεκται, ἡ καρδία μου ἐταράχθη ἐν ἐμοὶ, καὶ δειλία θα-
νάτου ἐπέπεσεν ἐπ' ἐμέ. Φόβος καὶ τρόμος ἦλθεν ἐπ' ἐμὲ,
καὶ ἐκάλυψέ με σκότος, δι' ὧν τῶν ἀντικειμένων δυνά-
13 μεων τὰς κατ' αὐτοῦ ὁρμὰς σημαίνει. Ὡς γοῦν ἐν ταῖς
προφητείαις ὠνόμασταί τι πνεῦμα πορνείας, κατὰ τὸ,
πνεύματι πορνείας ἐπλανήθησαν, καὶ ἄλλο πνεῦμα πλανή-
σεως ἐν τῇ ἐρήμῳ· [k]τὸν αὐτὸν τρόπον καὶ πνεῦμα θανάτου
εἴη ἂν δειλίας ποιητικὸν, ὡς καὶ πνεῦμα ἰσχύος καὶ
δυνάμεως καὶ ἀνδρείας τῆς κατὰ Θεὸν ἐνεργητικόν.
14 Οὕτω δ' ἂν λεχθείη πνεῦμα φόβου καὶ τρόμου, καὶ b
πάλιν ἕτερον παρὰ ταῦτα πνεῦμα φόβου καὶ συγχύσεως,
ἃ καὶ σχεδὸν εἰπεῖν ἅπασι μὲν τοῖς ἐν μαρτυρίῳ τὸν
ὑπὲρ εὐσεβείας θάνατον ἀναδεχομένοις ἐφορμᾶν εἴωθε,
πολὺ πλέον δὲ καὶ μᾶλλον ἐπιτέθειται αὐτῷ τὸν ὑπὲρ
15 ἁπάντων θάνατον ὑπομείναντι. Πλὴν ἀλλ' εἴτε πνεῦμα
δειλίας καὶ θανάτου, εἴτε φόβου καὶ τρόμου, ἢ εἴ τις [l]γε
ἑτέρα τοιαύτη δύναμις ἐπιπέπτωκεν αὐτῷ, ἀλλ' οὔ τι γε
κατέρραξεν αὐτὸν, ἐπεὶ, οἷα γενναῖος ἀθλητὴς, τὴν μὲν
δειλίαν τοῦ θανάτου πεποιθήσει ζωῆς, αὐτὸς γὰρ ἡ ζωὴ, c

[k] τὸν om. S. [l] γε add. P.

etiam quæ Psalmus hic continet, ubi sic ait, *Cor meum conturbatum est in me, et formido mortis cecidit super me, et contexerunt me tenebræ :* quibus verbis contrariarum potestatum conatus adversum se significat. Quemadmodum enim in prophetiis nominatur quidem spiritus fornicationis, ut est illud, *spiritu fornicationis aberraverunt,* et alius Os. 3, 12.
spiritus erroris in deserto, ita etiam spiritus fuerit formidinem mortis Jer. 4, 11.
efficiens : sane ut etiam spiritus roboris, et potentiæ, et fortitudinis ejus, quæ Deo aliena non est, author. Quare sic etiam dicetur spiritus timoris ac tremoris, et rursus alius præter hos, spiritus timoris et confusionis, qui quidem pene, ut ita dixerim, omnes mortem pro vera religione testimonii gratia subeuntes invadere consueverunt, ac multo etiam magis longeque vehementius illum aggressi sunt, qui pro omnibus mortem sustinuit. Veruntamen sive spiritus formidinis et mortis, sive timoris et tremoris, sive alia quæpiam ejusdem generis potestas illum adorta est, ea illum non confregit, propterea quod tanquam generosus certator formidinem quidem mortis, confidentia

μακρὰν ἀπέρριψεν ἀποσεισάμενος. Ὡσαύτως δὲ καὶ τὸ
[m] ἐπελθὸν αὐτῷ πνεῦμα φόβου ἢ τρόμου ποιητικὸν πνεύ-
ματι θάρσους καὶ δυνάμεως καὶ ἰσχύος πορρωτάτω
16 ἀπηκόντισεν. Ἐπεὶ κατὰ τὸν Ἡσαΐαν, [n] ἐπανεπαύσατο
ἐπ' αὐτὸν μετὰ τῶν ἄλλων πνευμάτων καὶ πνεῦμα βουλῆς
καὶ ἰσχύος. Οὕτω καὶ τὸ πνεῦμα τοῦ σκότους τῇ τοῦ
ἰδίου φωτὸς ἀπεσκέδασε δυνάμει. Ἐπεὶ τὸ φῶς ἐν τῇ
σκοτίᾳ [o] φαίνει, καὶ ἡ σκοτία αὐτὸ οὐ κατέλαβεν. Εὕροις
δ' ἂν τὰ παραπλήσια τούτοις καὶ ἐν εἰκοστῷ πρώτῳ
Ψαλμῷ, ἐν [p] ᾧ πάλιν ἐκ τοῦ αὐτοῦ λέλεκται προσώπου, d
περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον
με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς λέων ὁ ἁρπά-
17 ζων καὶ ὠρυόμενος. Καὶ πάλιν, ὅτι ἐκύκλωσάν με κύνες
πολλοὶ, συναγωγὴ πονηρευομένων περιέσχον με. Καὶ αὖθις,
ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς
τὴν μονογενῆ μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ
18 ἀπὸ κεράτων [q] μονοκερώτων τὴν ταπείνωσίν μου. Σαφῶς
γὰρ ἐν τούτοις δυνάμεις πονηρὰς ταύρους καὶ μόσχους
καὶ λέοντας καὶ κύνας καὶ μονοκέρωτας ἀποκαλεῖ, αἳ

[m] ἐπελθὼν S. [n] ἐπαύσατο S. [o] φαίνει κ. ἡ σ. add. P. [p] τῷ] ᾧ S. [q] μονοκερώτων om. S.

vitæ, (ipse enim vita,) procul deturbatam abjecit. Alium autem qui ipsum item invaserat spiritum timoris et tremoris efficientem, spiritu confidentiæ, et potentiæ, et roboris, longissime a se præcipitavit :
Es. 11, 2. quandoquidem, ut est apud Esaiam, *quievit super eum una cum* aliis spiritibus etiam *spiritus consilii et fortitudinis.* Sic porro etiam
Jo. 1, 5. spiritum tenebrarum proprii luminis vi dissipavit, propterea quod *lux in tenebris lucet, et tenebræ eam non comprehenderunt.* Cæterum his similia etiam in vigesimo primo Psalmo invenire poteris, in quo ex
Ps. 21, 12. ejusdem persona rursus illud dictum est, *Circundederunt me vituli multi : tauri pingues obsederunt me. Aperuerunt super me os suum sicut leo rapiens et rugiens.* Et rursus, *Quoniam circundederunt me canes multi : concilium malignantium obsedit me.* Et rursus, *Erue a framea Deus animam meam, et de manu canis unicam meam. Salva me ex ore leonis, et a cornibus unicornium humilitatem meam.* Plane enim in his malignas potestates, taurorum, et vitulorum, et leonum, et canum, et unicornium nominibus appellat, quæ quidem illum sub

περιέσχον μὲν αὐτὸν καὶ περιεκύκλωσαν κατὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν, οὐ μὴν καὶ ἐνεργῆσαί τι κατ' p. 474
19 αὐτοῦ δεδύνηνται. Καὶ ταῦτα μὲν, εἰ καὶ ταῦτα τοῦ Ψαλμοῦ τὰ μέρη ἐπὶ τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν ἀνάγοιτο· εἰ δὲ μὴ ἐπ' αὐτὸν ἀλλ' ἐφ' ἕτερον πρόσωπον, ἐπιστήσεις καὶ αὐτὸς ὡς ἂν ἐξομαλισθέντα τὰ κατὰ τὸν τόπον. Πλὴν ἀλλὰ καὶ περὶ τῆς τῶν Ἰουδαίων μητροπόλεως, αὐτῆς δὴ τῆς Ἱερουσαλὴμ, ἀκολούθως μετὰ τὴν κατὰ τῶν ἐπιβουλευσάντων αὐτῷ πρόρρησιν ἐπιλέγει ἑξῆς, εἶδον ἀνομίαν καὶ ἀντιλογίαν ἐν τῇ πόλει, καὶ τὰ τούτοις ἀκόλουθα, ἃ καὶ ὁποίας ἔχεται διανοίας οὐ νῦν b
σχολὴ διηγεῖσθαι.

ΑΠΟ ΤΟΥ ΨΑΛΜΟΥ ρη'.

3 Ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιωπήσῃς, ὅτι στόμα c
ἁμαρτωλοῦ καὶ στόμα δολίου ἐπ' ἐμὲ ἠνοίχθη. Ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ, καὶ λόγοις μίσους ἐκύκλωσάν με, καὶ ἐπολέμησάν με δωρεάν. Ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, ἐγὼ δὲ προσηυχόμην· καὶ ἔθεντο κατ' ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεώς μου. Κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν, καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι αὐτὸν, ἐξέλθοι καταδεδικασμένος,

Ἔτι περὶ τοῦ Ἰούδα, καὶ τοῦ εἰς τὴν χώραν αὐτοῦ ἀντεισαχθέντος ἀποστόλου, καὶ

ipsum passionis tempus obsederunt ac circundederunt, non tamen etiam aliquid efficere contra illum potuerunt. Et hæc quidem talem habeant rationem, si modo etiam hæ Psalmi partes ad Salvatorem Dominumque nostrum referantur. Quod si non ad illum sed ad aliam personam, ipse quoque diligenter attendes, ut ea quæ ad ipsum hunc locum pertinent sibi invicem æquata respondeant. Veruntamen de ipsa etiam Judæorum civitate, de ipsa inquam Hierusalem, ordine deinceps post vaticinium de iis qui insidias illi fecerint, adjungit in hunc modum, *Vidi iniquitatem et contradictionem in civitate*, et quæ sequuntur, quæ quo sensu sint accipienda non est nunc narrandi tempus.

A PSALMO CVIII.

3 *Deus laudem meam ne tacueris, quia os peccatoris et os dolosi super me apertum est. Loquti sunt adversum me lingua dolosa, et sermonibus odii circundederunt me, et oppugnaverunt me gratis. Pro eo ut me diligerent, detrahebant mihi: ego autem orabam. Et posuerunt ad-*

Ps. 108, 1. Item de Juda, et de suffecto in locum ejus apo-

περὶ τοῦ Ἰουδαίων ἔθνους.

καὶ ἡ προσευχὴ αὐτοῦ γενηθήτω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλίγαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ [r] λαβέτω d ἕτερος.

2 Καὶ τῆς τῶν προκειμένων ἐπὶ τὸν προδότην Ἰούδαν ἀναφορᾶς ἐχέγγυος μάρτυς ὁ ἀπόστολος Πέτρος, μετὰ τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνάληψιν συνηγμένων τῶν ἀποστόλων πάντων σὺν καὶ ἄλλοις πλείοσιν ἀδελφοῖς, μέσος ἀναστὰς, καὶ ταῦτα φήσας· Ἄνδρες ἀδελφοὶ, ἔδει πληρωθῆναι τὴν γραφὴν, ἣν προεῖπε τὸ Πνεῦμα τὸ ἅγιον διὰ στόματος Δαβὶδ περὶ Ἰούδα τοῦ γενομένου ὁδηγοῦ τοῖς συλλαβοῦσιν Ἰησοῦν, ὅτι κατηριθμημένος ἦν ἐν ἡμῖν, καὶ
3 ἔλαχε τὸν κλῆρον τῆς διακονίας ταύτης. Οὗτος μὲν οὖν ἐκτήσατο χωρίον ἐκ μισθοῦ τῆς ἀδικίας αὐτοῦ, καὶ πρηνὴς γενόμενος ἐλάκησε μέσος, καὶ ἐξεχύθη πάντα τὰ σπλάγχνα αὐτοῦ, καὶ γνωστὸν ἐγένετο πᾶσι τοῖς κατοικοῦσιν Ἱερου- p. 475
σαλὴμ, ὥστε κληθῆναι τὸ χωρίον ἐκεῖνο τῇ ἰδίᾳ διαλέκτῳ αὐτῶν Ἀκελδαμὰχ, ὅ ἐστι χωρίον αἵματος. Γέγραπται γὰρ ἐν βίβλῳ Ψαλμῶν, Γενηθήτω ἡ ἔπαυλις αὐτοῦ ἔρημος, καὶ μὴ ἔστω ὁ κατοικῶν ἐν αὐτῇ, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ
4 λαβέτω ἕτερος. Ταῦτα γοῦν ὁ Πέτρος εἰπὼν ὑποτίθεται

[r] λαβέτωσαν S.

stolo, et de gente Judaica.

versum me mala pro bonis, et odium pro dilectione mea. Constitue super eum peccatorem, et diabolus stet a dextris ejus. Dum judicatur, exeat condemnatus, et oratio ejus fiat in peccatum. Fiant dies ejus pauci, et episcopatum ejus accipiat alter. Quod etiam hæc ad proditorem Judam sint referenda idoneus sane esto testis apostolus Petrus, qui post Salvatoris nostri ascensum, coactis in unum locum apostolis omnibus aliisque quam plurimis fratribus, in mediis illis stetit atque

Act. i, 16.

ait, *Viri fratres, oportuit impleri scripturam hanc, quam prædixit Spiritus sanctus per os David de Juda, qui fuit dux eorum qui comprehenderunt Jesum : quia numeratus erat nobiscum, et sortitus erat sortem ministerii hujus. Hic igitur possedit agrum de mercede injustitiæ suæ : et suspensus crepuit medius, et effusa sunt omnia viscera ejus. Et notum factum est omnibus habitantibus Hierusalem : ita ut appellaretur ager ille lingua eorum Akeldamach, hoc est, ager sanguinis. Scriptum est enim in libro Psalmorum, Fiat commoratio ejus deserta, et non sit qui habitet in ea, et episcopatum ejus accipiat alter.* Petrus vero quum

ἕτερον ἀντὶ τοῦ Ἰούδα δεῖν παραλαβεῖν εἰς τὸν λείποντα
τῶν δώδεκα ἀποστόλων ἀριθμὸν, ὅπως πληρωθῇ τὸ τῆς
προφητείας· ὅτε κλήρου γενομένου, ἔπεσεν ὁ κλῆρος
ἐπὶ Ματθίαν, καὶ συγκατεψηφίσθη μετὰ τῶν δώδεκα b
ἀποστόλων. Τούτων οὕτως ἐκτελεσθέντων, [s]ἀκόλουθον
ἂν εἴη τὸ λέγον ἐν τῷ Ψαλμῷ πρόσωπον οὐχ ἕτερον
[t]ἡγεῖσθαι τοῦ Σωτῆρος ἡμῶν, ὃς τῷ πατρὶ τὴν ἀνα-
πεμφθεῖσαν αὐτῷ παρὰ τὸν τοῦ πάθους καιρὸν εὐχὴν
τῆς διὰ τοῦ ἁγίου Πνεύματος ἀναγραφῆς προλαβὼν
κατηξίωσε, τὸ μέλλον περὶ αὐτοῦ συμβήσεσθαι θεσπί-
5 σας. Φησὶν οὖν, ὁ Θεὸς τὴν αἴνεσίν μου μὴ παρασιω-
πήσῃς, τὴν ὑπ' αὐτοῦ παραδοθεῖσαν τοῖς αὐτοῦ μαθηταῖς
διδασκαλίαν καὶ τῆς καινῆς διαθήκης τὴν αἴνεσιν παρα- c
καλῶν μὴ κατασιγασθῆναι, ἀλλὰ καὶ εἰς τὸν ἑξῆς
ἅπαντα αἰῶνα παραμεῖναι τῷ βίῳ. Στόμα δὲ ἁμαρτωλοῦ
καὶ στόμα δολίου κυρίως ἂν λεχθείη τὸ τοῦ Ἰούδα, ὃς
πορευθεὶς πρὸς τοὺς ἀρχιερεῖς εἶπεν αὐτοῖς, τί θέλετέ μοι
δοῦναι, κἀγὼ ὑμῖν παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ
6 τριάκοντα στατῆρας. Καὶ ἀπὸ τότε ἐζήτει εὐκαιρίαν, ἵνα

[s] ἀκολούθως] ἀκόλουθον S. [t] ἡγεῖσθαι add. P. ἡγεῖσθαι τοῦτο ED. PARIS.

talia dixisset, subjecit in locum Judæ alium assumi oportere, quo duodecim apostolorum numerus, qui diminutus fuerat, compleretur, ut prophetia suum finem contingeret. Quo etiam tempore quum sors jacta esset, *ea cecidit super Matthiam, et connumeratus est cum duodecim apostolis.* (Act. 1, 26.) Quum hæc igitur in hunc modum peracta sint, sequitur ut personam quæ in hoc Psalmo loquitur non aliam esse arbitremur quam Salvatoris nostri, qui assignatam sibi a patre sub ipsum passionis tempus orationem publica tanto ante per Spiritum sanctum descriptione dignatus, quod sibi usu venturum erat cecinit. Ait igitur, *Deus laudem meam ne tacueris:* ubi videlicet doctrinam quam ipse suis discipulis tradidit et laudem novi testamenti non esse premendam silentio exhortatur, sed in omne futurum ævum ad vitæ humanæ utilitatem permanere. *Os autem peccatoris et os dolosi,* os ipsius Judæ proprie nominaverit quispiam, qui quum abiisset ad principes sacerdotum, eis dixit, *Quid vultis mihi dare, et ego eum vobis tradam? At illi constituerunt ei triginta stateres. Et ex illo qua-*

7 αὐτὸν παραδῷ [u] αὐτοῖς. Τοιαῦτα γοῦν κατ' αὐτοῦ συν-
θέμενος, εἷς ἦν τῶν μετὰ ταῦτα σὺν αὐτῷ ἀνακειμένων
ἐν τῷ τοῦ Πάσχα συμποσίῳ, ὅτε καὶ αὐτὸς ὁ Σωτὴρ
ἡμῶν ἀνέκειτο μετὰ τῶν δώδεκα, ἐσθιόντων τε αὐτῶν εἶπεν, d
Ἀμὴν ἀμὴν λέγω ὑμῖν, ὅτι εἷς ἐξ ὑμῶν παραδώσει με.
8 Καὶ [x] λυπούμενοι σφόδρα ἤρξαντο λέγειν ἕκαστος αὐτῶν,
Μή τι ἐγώ εἰμι, Κύριε; ἐν οἷς ἦν καὶ Ἰούδας, ὃς τὸ πλή-
ρες παντὸς δόλου καὶ εἰρωνείας ἀνοίξας στόμα ἀποκρι-
θεὶς εἶπεν, Μή τι ἐγώ εἰμι Ῥαββί; δόλιον [y] δὴ στόμα,
δι' οὗ τὸ σημεῖον τοῖς ἐπιβούλοις τοῦ Σωτῆρος ἡμῶν
ἐδήλου, λέγων, ὃν ἐὰν φιλήσω, αὐτός ἐστι, κρατήσατε
9 αὐτόν. Ὃ καὶ εἰπὼν, ἔργῳ τὸν δόλον ἀπεπλήρου, ὅτε
[z] προσελθὼν τῷ Ἰησοῦ, εἶπεν αὐτῷ, Χαῖρε Ῥαββὶ, καὶ κατ-
εφίλησεν αὐτόν. Ὁ δὲ Ἰησοῦς εἶπεν αὐτῷ, Ἑταῖρε ἐφ' ᾧ
πάρει; καὶ πάλιν, Ἰούδα, φιλήματι τὸν υἱὸν τοῦ ἀνθρώπου
παραδίδως; Τούτων δ' οὖν ἕνεκα προλαβὼν διὰ τοῦ p. 476
Ψαλμοῦ φησὶν, ὅτι στόμα ἁμαρτωλοῦ καὶ στόμα δολίου
ἐπ' ἐμὲ ἠνοίχθη, ἐλάλησαν κατ' ἐμοῦ γλώσσῃ δολίᾳ καὶ
λόγοις [a] μίσους ἐκύκλωσάν με καὶ ἐπολέμησάν με δωρεάν.

[u] αὐτοῖς add. P. [x] λοιπούμενοι S. [y] δὴ add. P. [z] προσελθὸν S. [a] μύσους S.

rebat occasionem ut illum eis proderet. Quum ergo talia contra illum molitus esset, unus postea fuit ex iis qui cum illo in paschali cœna accubuerunt, quo tempore ipse quoque Salvator ac Dominus noster *accumbebat una cum ipsis duodecim, qui etiam comedentibus illis dixit,*
Matth. 26, 21. *Amen amen dico vobis, quod unus vestrum me tradet. Et dum valde contristantur, cæperunt singuli dicere, Nunquid ego sum, Domine?* In quibus erat etiam Judas, qui quum omnis doli ac simulationis plenum os aperuisset respondit ac dixit, *Nunquid ego sum rabbi?* Dolosum ergo os, quo insidiatoribus Salvatoris nostri signum proposuit,
Matth. 26, 48. dicens, *Quemcunque osculatus fuero, ipse est, tenete eum.* Quod quum dixisset verbo, re quoque ipsa dolum complevit, quo videlicet tempore *quum ad Jesum accessisset, dixit ei, Salve rabbi: et osculatus est eum. Jesus vero ad illum dixit, Amice, ad quid venisti?* Et rursus, *Juda, osculo filium hominis tradis?* Harum ergo rerum causa tanto ante in Psalmo ait, *Quoniam os peccatoris et os dolosi super me apertum est. Locuti sunt contra me lingua dolosa et sermonibus odii circundederunt*

Ἔνθα μετὰ τοῦ Ἰούδα καὶ τῶν λοιπῶν τῶν ἐπιβουλευ-
10 σάντων αὐτῷ μνημονεύει. Λέγει δ' οὖν τὸ εὐαγγέλιον,
ὡς ἄρα τοῦ Σωτῆρος ἡμῶν ἔτι τοῖς ἑαυτοῦ μαθηταῖς λα-
λοῦντος, Ἰδοὺ Ἰούδας εἷς τῶν δώδεκα ἦλθε, καὶ μετ' αὐτοῦ
ὄχλος πολὺς μετὰ μαχαιρῶν καὶ ξύλων, ἀπὸ τῶν ἀρχιε-
11 ρέων καὶ πρεσβυτέρων τοῦ λαοῦ. Οἷς καὶ εἶπεν ὁ Κύριος, b
ὡς ἐπὶ λῃστὴν ἐξήλθετε, μετὰ μαχαιρῶν καὶ ξύλων συλλα-
βεῖν με; καθ' ἡμέραν πρὸς ὑμᾶς ἐκαθεζόμην ἐν τῷ ἱερῷ
διδάσκων, καὶ οὐκ ἐκρατήσατέ με. Τοῦτο δὲ ὅλον γέγονεν,
ἵνα πληρωθῶσιν αἱ γραφαὶ τῶν προφητῶν. Ἔτι δέ φησιν
ἐν τῷ Ψαλμῷ, ἀντὶ τοῦ ἀγαπᾶν με, ἐνδιέβαλλόν με, ἐγὼ
12 δὲ προσηυχόμην. [b]Τότε καὶ αὐτὸ τέλους ἐτύγχανεν, ὅτε
τοῦ Σωτῆρος ἡμῶν ἐν τῷ καλουμένῳ Γεθσημανῇ χωρίῳ
μετὰ τῶν ἕνδεκα ἀποστόλων προσευχομένου, μικρόν [c]γε
ἀναχωρήσαντος αὐτῶν, καὶ προσπεσόντος τῷ πατρὶ, c
δεύτερόν τε εὐξαμένου καὶ τρίτον, ὁ Ἰούδας σὺν τοῖς
ἄρχουσι τῶν Ἰουδαίων τὰ τῆς ἐπιβουλῆς αὐτῷ [d]κατήρ-
τυεν, συνάγων καὶ προξενῶν τὸ πλῆθος τῶν μετὰ
μαχαιρῶν καὶ ξύλων συλλαβεῖν αὐτὸν παρεσκευασμένων.

[b] τότε καὶ add. P. [c] τε] γε P. [d] κατήρτιεν S.

me, et oppugnaverunt me gratis: ubi cum ipso Juda etiam reliquorum meminit, qui ipsi insidias fecerunt. Itaque ipsum evangelium narrat, quemadmodum Salvatore nostro suos *adhuc adloquente discipulos, ille venerit, Ecce,* inquit, *Judas unus de duodecim venit, et cum eo turba multa cum gladiis et lignis, a principibus sacerdotum et senioribus populi.* (Matth. 26, 47.) Quibus etiam Dominus dixit, *Tanquam ad latronem existis cum gladiis et lignis comprehendere me? quotidie apud vos sedebam in templo docens, et non tenuistis me. Hoc autem totum factum est, ut impleantur scripturæ prophetarum.* (Matth. 26, 55.) Præterea vero quod ait in Psalmo, *Pro eo ut me diligerent detrahebant mihi, ego autem orabam:* ipsum quoque tunc suum finem contigit, quum Salvatore nostro in loco qui dicitur Gethsemani cum undecim apostolis orante, paululumque ab illis digresso ut procumbens patrem precaretur, iterumque et tertio supplicante, Judas cum principibus Judæorum insidias illi maturavit, dum cogit ipse et conducit copias quæ cum gladiis et fustibus, ut illum comprehenderent, paratæ erant. *Tunc autem mala adversus*

Κακὰ δὲ εἰς αὐτὸν ἔθεντο ἀντὶ ἀγαθῶν, καὶ μῖσος ἀντὶ τῆς
ἀγαπήσεως αὐτοῦ, ὅτε πονηρὰ διετέθειντο τὸν Σωτῆρα
καὶ εὐεργέτην καὶ διδάσκαλον, μυρίας ὅσας ἰάσεις καὶ
θεραπείας λόγων τε διδασκαλίας καὶ παντοίας ὠφελείας d
13 αὐτοῖς παρεσχημένον. Ἀνθ' ὧν, ἐπειδήπερ κακὰ ἀντὶ
ἀγαθῶν ἔθεντο κατ' αὐτοῦ, καὶ μῖσος ἀντὶ τῆς ἀγαπήσεως
αὐτοῦ, εἰκότως ἐπιλέγει, κατάστησον ἐπ' αὐτὸν ἁμαρτωλὸν,
καὶ διάβολος στήτω ἐκ δεξιῶν αὐτοῦ. Ἐν τῷ κρίνεσθαι
αὐτὸν ἐξέλθοι καταδεδικασμένος, καὶ ἡ προσευχὴ αὐτοῦ
γενηθήτω εἰς ἁμαρτίαν. Γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ ὀλί-
14 γαι, καὶ τὴν ἐπισκοπὴν αὐτοῦ λαβέτω ἕτερος. Ἃ καὶ
αὐτὰ ὁποίαν εἴληφε τὴν ἔκβασιν ὁ ἱερὸς ἀπόστολος
Πέτρος προλαβὼν [e] διεσάφησεν, ἐπ' αὐτὸν [f] τὸν προ-
δότην ἐφαρμόσας τὴν γραφήν. Καί σοι δὲ αὐτῷ πάρ-
εστι συνορᾶν, εἰ μὴ καθέσταται ἐπὶ τὸ Ἰουδαίων ἔθνος
ἄρχων καὶ ἡγούμενος ἁμαρτωλὸς, ᾧ μετὰ τὰ τολμηθέντα
αὐτοῖς κατὰ τοῦ Σωτῆρος ἡμῶν παρεδόθησαν, ἀντὶ τῶν
πάλαι οἰκείων καὶ θεοφιλῶν ἀρχόντων ἀλλοφύλοις καὶ p. 477
15 εἰδωλολάτραις δουλεύειν κατηναγκασμένοι. Τίς δ' οὐκ

[e] διεσάφησαν S. [f] τὸν sdd. P.

ipsum posuerunt pro bonis, et odium pro dilectione ipsius, quum malis affecerunt ipsum Salvatorem et bene de ipsis meritum et magistrum, qui innumerabiles sanationes et medelas sermonumque documenta et omnis generis utilitates ipsis præstiterat. Quas ob res *quum mala pro bonis adversus ipsum posuerint, et odium pro dilectione ipsius*, merito adjungit, *Constitue super eum peccatorem, et diabolus stet a dextris ejus. Dum judicatur, exeat condemnatus, et oratio ejus fiat in peccatum. Fiant dies ejus pauci, et episcopatum ejus accipiat alter.* Quæ quidem ipsa quem exitum sortita sint sanctus apostolus Petrus paulo ante indicavit, dum scripturam hanc ad ipsum proditorem accommodat. Et sane tibi ipsi interim licet intueri, num super Judaicam gentem constitutus sit princeps ac dux peccator, cui videlicet post scelera adversus Salvatorem nostrum audacissime commissa traditi sunt, interim pro antiquis et ipsorum domesticis Deoque amicis principibus externis et simulachra colentibus servire coacti. Cæterum quis tandem non obstupescat ipsius prædictionis eventum?

ἂν θαυμάσειε [g]τῆς προρρήσεως τὸ ἀποτέλεσμα; Φή-
σαντος γὰρ τοῦ λόγου, *γενηθήτωσαν αἱ ἡμέραι αὐτοῦ*
ὀλίγαι, σαφὲς ὅπως βραχὺς ὁ πᾶς διεγένετο μετὰ τὴν
[h]κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν χρόνος καθ'
ὃν ἔδοξαν διαμένειν, μεθ' ὃν τὴν ὑστάτην ὑπέμειναν
πολιορκίαν καὶ τὴν παντελῆ καθαίρεσιν, ἐφ' ᾗ καὶ τὴν
ἐπισκοπὴν αὐτῶν ἔλαβεν ἕτερος, ὁ διὰ Χριστοῦ συγ-
16 κροτηθεὶς [i]λαός. Καὶ τὰ λοιπὰ δὲ τοῦ Ψαλμοῦ αὐτοῖς
τούτοις καταλλήλως νοήσεις· τὰ δὲ ἑξῆς, ὡς περί τινων b
υἱῶν τοῦ Ἰούδα λεγόμενα, ἐν τῷ, *γενηθήτωσαν οἱ υἱοὶ*
αὐτοῦ ὀρφανοὶ, καὶ τὰ παραπλήσια, ἀνάγοιτ' ἂν καὶ ἐπ'
αὐτὸν μὲν προηγουμένως τὸν Ἰούδαν, μετ' ἐκεῖνον δὲ καὶ
ἐπὶ πάντας τοὺς ὁμοίους αὐτῷ τὸν σωτήριον λόγον προ-
διδόντας· καταλλήλως δὲ νοήσεις καὶ τὴν γυναῖκα αὐτοῦ,
καὶ τὰς ἁμαρτίας τῶν πατέρων αὐτοῦ καὶ τῆς λεγομένης
μητρὸς αὐτοῦ, τῆς τοῦ Ἰουδαίων ἔθνους συναγωγῆς.
Περὶ αὐτῆς γὰρ ἡγοῦμαι λέγεσθαι τὸ, *καὶ ἡ ἁμαρτία*
17 *τῆς μητρὸς αὐτοῦ μὴ ἐξαλειφθείη*. Πλὴν ὥσπερ ἐν τῇ c
πρὸ ταύτης προφητείᾳ πτωχὸς καὶ πένης ὠνομάζετο ὁ
Σωτὴρ καὶ Κύριος ἡμῶν, καθάπερ ἀπεδείξαμεν ἐν τῷ,

[g] τῆς add. P. [h] κατὰ add. P. [i] λαός add. P. cum interprete.

Nam quum oraculum dixerit, *fiant dies ejus pauci*, constat plane quam breve post structas adversus Salvatorem nostrum ab illis insidias omne fuerit tempus, quo manere visi sunt. Post quod tempus novissimam vastationem extremumque interitum passi sunt, ex quo etiam episcopatum eorum accepit alter, conditus videlicet per Christum novus populus. Porro etiam reliqua hujus Psalmi omnia per horum ipsorum exemplar intelliges: quæ vero sequuntur et quasi de quibusdam Judæ filiis dici videntur, illis verbis, *Fiant filii ejus orphani*, et quæcunque alia his similia sunt, referentur primo quidem loco in ipsum Judam, post illum vero etiam in omnes illi similes salutare verbum prodentes. Eadem vero ratione intelliges uxorem quoque ejus, et peccata patris, et ejus quæ ipsius mater dicitur, Judaicæ gentis videlicet congregationis. De hac enim arbitror dici illud, *Et peccatum matris ejus non deleatur.* Veruntamen sicut in ea quæ proxime antecessit prophetia egenus et pauper nominabatur Salvator

μακάριος ὁ συνιὼν ἐπὶ πτωχὸν καὶ πένητα· τὸν αὐτὸν
τρόπον καὶ ἐν τῷ παρόντι Ψαλμῷ τούτοις ἐπικέκληται
18 τοῖς ὀνόμασι. Τάδε γὰρ καὶ τάδε γενηθήτω τῷ Ἰούδᾳ
καὶ τοῖς τὰ ὅμοια αὐτῷ ἐζηλωκόσι διὰ τὰ τετολμημένα
αὐτῷ φησί. Τίνα δὲ ταῦτα ἐπιφέρει λέγων, ἀνθ᾽ ὧν
οὐκ ἐμνήσθη τοῦ ποιῆσαι [k] ἔλεος, καὶ κατεδίωξεν ἄνθρωπον
πένητα καὶ πτωχὸν καὶ κατανενυγμένον τῇ καρδίᾳ τοῦ
θανατῶσαι. Καὶ ἠγάπησε κατάραν, καὶ ἥξει αὐτῷ, καὶ d
19 οὐκ ἠθέλησεν εὐλογίαν, καὶ μακρυνθήσεται ἀπ᾽ αὐτοῦ. Οἷς
ἑξῆς ἐπικαταβὰς, αὖθις πένητα καὶ πτωχὸν ἑαυτὸν ὀνο-
μάζει λέγων, καὶ σὺ, Κύριε Κύριε, ποίησον μετ᾽ ἐμοῦ ἔλεος,
ἕνεκεν τοῦ ὀνόματός σου, ὅτι χρηστὸν τὸ ἔλεός σου. Ῥῦσαί
με ὅτι πτωχὸς καὶ πένης εἰμὶ ἐγώ. Οἷς μεθ᾽ ἕτερα ἐπι-
λέγει, τὰ γόνατά μου ἠσθένησαν ἀπὸ νηστείας, καὶ ἡ σάρξ
μου ἠλλοιώθη δι᾽ ἔλαιον, καὶ ἐγὼ ἐγενήθην ὄνειδος αὐτοῖς.
20 [l] Εἴδοσάν με, ἐσάλευσαν κεφαλὰς αὐτῶν. Ἃ καὶ αὐτὰ
τέλους ἐτύγχανεν ὅτε οἱ παραπορευόμενοι ἐβλασφήμουν
αὐτὸν, κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, Ἄλλους
ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ἐπεὶ δὲ εἰσέτι νῦν οἱ

[k] ἔλαιος S. [l] ἴδοσαν P. et mox om. *καί* post *με*.

Ps. 40, 1. ac Dominus noster, veluti demonstravimus in illo, *Beatus qui intelligit super egenum et pauperem :* ita etiam in præsenti Psalmo iisdem vocatur nominibus. Fiant enim illa et illa ipsi Judæ iisque qui illi similia æmulati sint propter illa quæ est ausus, inquit. Quænam
Ps. 108, 16. vero ista sint adjungit, dicens, *Pro eo quod non est recordatus facere misericordiam, et persecutus est hominem pauperem et egenum et compunctum corde, ut morte afficeret. Et dilexit execrationem et veniet ei. Et noluit benedictionem, et procul amovebitur ab eo.* Post quæ verba deinceps oratione progressus, rursus pauperem atque egenum seipsum nominat, dicens, *Et tu Domine Domine fac mecum misericordiam propter nomen tuum, quia benigna est misericordia tua. Libera me, quia egenus et pauper sum ego.* Quibus post alia adjungit, *Genua mea infirmata sunt a jejunio, et caro mea immutata est propter oleum : et ego factus sum opprobrium illis. Viderunt me et moverunt capita sua :* quæ sane ipsa nihilominus suum finem consecuta sunt, quo tempore
Matth. 27, 40. qui præteribant maledicebant, ei *moventes capita sua et dicentes, Alios salvos fecit, seipsum non potest salvum facere.* Quoniam vero etiam

ἐκ περιτομῆς τὴν τῶν πατέρων αὐτῶν εἰς ἑαυτοὺς ἀρὰν p. 478
ἐπισπώμενοι βλασφήμοις καὶ ἀσεβέσι ῥήμασιν [m] κατ-
αναθεματίζειν τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν καὶ τοὺς
εἰς αὐτὸν πεπιστευκότας ἅπαντας εἰώθασι, τούτου χάριν
ἑξῆς ἐπιλέγει, *καταράσονται αὐτοὶ, καὶ σὺ εὐλογήσεις.*
21 *Οἱ ἐπανιστάμενοί μοι αἰσχυνθήτωσαν, ὁ δὲ δοῦλός σου εὐ-
φρανθήσεται. Ἐνδυσάσθωσαν οἱ ἐνδιαβάλλοντές με ἐντροπὴν,
καὶ περιβαλέσθωσαν ὡς διπλοΐδα αἰσχύνην αὐτῶν. Ἐγὼ
δὲ ἐξομολογήσομαι τῷ Κυρίῳ [n] σφόδρα ἐν τῷ στόματί μου,
καὶ ἐν μέσῳ πολλῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη ἐκ δεξιῶν* b
πένητος τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.
22 Καὶ πρόδηλόν γε ὁπόσοις εἰσέτι καὶ νῦν οἱ τὰς κατ᾽
αὐτοῦ ἀρὰς ἐν ταῖς ἑαυτῶν συναγωγαῖς ποιούμενοι πα-
λαίουσι κακοῖς, ἀπὸ τῶν αὐτῶν χρόνων μὴ δ᾽ ὅλως
ἀνανεῦσαι δεδυνημένοι, ὅπως τε αὐτὸς αἶνον τῷ πατρὶ
ἐν μέσῳ πολλῶν ἐθνῶν τὸν διὰ τῆς καινῆς διαθήκης
αὐτοῦ καταρτίζεται, συνεργὸν τὸν πατέρα καὶ τῆς ἑαυτοῦ
δεξιᾶς πάρεδρον κεκτημένος. Διὸ, φησὶν, *ἐν μέσῳ πολ-*
23 *λῶν αἰνέσω αὐτὸν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος.* Καὶ c

[m] ἀναθεματίζειν] καταναθεματίζειν P. καταθεματίζειν S. [n] σφόδρα om. P.S. cum interprete.

nunc Judæi patrum suorum in seipsos execrationem attrahentes execrabilibus et nefariis verbis detestari Salvatorem ac Dominum nostrum omnesque quicunque in fidem ejus transierint consuevere, idcirco deinceps adjungit, *Maledicent illi et tu benedices. Qui insurgunt in me, confundantur : servus autem tuus lætabitur. Induantur qui detrahunt mihi pudore, et operiantur sicut diploide confusione sua. Ego autem confitebor Domino in ore meo : et in medio multorum laudabo eum. Quoniam adstitit a dextris pauperis, ut salvam faceret a persequentibus animam meam.* Et sane constat quam multis etiam nunc rebus adversis conflictentur quicunque execrationes adversus illum in suis conventibus jactant, quippe qui ab iisdem temporibus ne respirare quidem aut suspicere unquam potuerint, quamque ille feliciter in medio multarum gentium per suum ipsius novum testamentum suo patri laudem perficiat, dum eundem patrem adjutorem et suæ dextræ assessorem obtinet, quas ob res ita loquitur, *In medio multorum laudabo eum, quia adstitit a dextris pauperis.* Salutem præ-

τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν διδάσκει, λέγων,
24 τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου. Ἀνωτέρω γοῦν φήσας τὸ, κατεδίωξεν ἄνθρωπον πένητα καὶ πτωχὸν καὶ [o] κατανενυγμένον τῇ καρδίᾳ τοῦ θανατῶσαι, καὶ σαφῶς δηλώσας ἑαυτοῦ τὸν θάνατον περιγράφων τὴν προφητείαν, τὴν μετὰ τὸν θάνατον αὐτοῦ σωτηρίαν ἠνίξατο εἰπὼν, ὅτι παρέστη ἐκ δεξιῶν πένητος, τοῦ σῶσαι ἐκ τῶν καταδιωκόντων τὴν ψυχήν μου.

ἈΠῸ ΤΟΥ͂ ΖΑΧΑΡΊΟΥ.

Ἔτι περὶ τοῦ Ἰούδα καὶ τῶν ἀργυρίων, ἀνθ' ὧν τὸν Κύριον προὔδωκε, καὶ περὶ τῆς ἀποβολῆς τῶν παρὰ Ἰουδαίοις ἀρχόντων

4 Καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα, καὶ ποιμανῶ τὰ πρόβατά μου, καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς. Καὶ γὰρ αἱ ψυχαὶ p. 479
αὐτῶν ἐπωρύοντο ἐπ' ἐμὲ, καὶ εἶπα, Οὐ ποιμανῶ ὑμᾶς· τὸ ἀποθνῆσκον ἀποθνησκέτω, καὶ τὸ [p] ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. Καὶ λήψομαι τὴν ῥάβδον τὴν καλὴν, καὶ ἀπορρίψω αὐτὴν τοῦ διασκεδάσαι τὴν διαθήκην μου, ἣν διεθέμην πρὸς πάντας τοὺς λαούς. Καὶ διασκεδασθήσεται ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυλασ-

[o] κατανενηγμένον S. [p] ἐκλεῖπον om. S.

terea quæ ipsius mortem secuta est docet his verbis, *Ut salvam faceret a persequentibus animam meam.* Supra enim quum illud dixerit, *Persecutus est hominem pauperem et egenum, et compunctum corde, ut morte afficeret,* planeque suam mortem indicaverit, dum prophetiam circumscribit: tum vero salutem quæ mortem ipsius secuta est significavit dicens, *Quoniam adstitit a dextris pauperis, ut salvam faceret a persequentibus animam meam.*

A ZACHARIA.

Zach. 11, 7. Item de Juda et argenteis, quibus Dominum prodidit, deque rejectione apud Judæos, tam eorum,

4 *Et capiam mihi duas virgas, unam vocavi pulchritudinem, et alteram vocavi funiculum, et pascam oves meas, et auferam tres pastores in mense uno, et gravabitur anima mea super eos. Etenim animæ eorum rugierunt super me, et dixi, non pascam vos, quod moritur, moriatur, et quod deficit, deficiat: et quæ reliqua sunt devorent, unusquisque carnes proximi sui, et capiam virgam pulchram, et abjiciam eam, ad dissipandum testamentum meum, quod disposui ad omnes populos, et dissipabitur in die illa, et cognoscent Chananæi oves quæ custodiuntur mihi,*

σόμενά μοι, ὅτι λόγος Κυρίου ἐστί. Καὶ ἐρῶ πρὸς αὐτούς, εἰ καλὸν ἐνώπιον ὑμῶν ἐστὶ, δότε τὸν μισθόν μου ἢ ἀπείπασθε. Καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρους. b Καὶ εἶπεν Κύριος πρός με, Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκιμάσθην [q]ὑπὲρ αὐτῶν. Καὶ ἔλαβον τοὺς τριάκοντα ἀργύρους, καὶ ἐνέβαλον αὐτοὺς εἰς τὸν οἶκον Κυρίου εἰς τὸ χωνευτήριον, καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ.

τε καὶ ἀρχομένων.

2 Καὶ ταῦτα τέλους ἐτύγχανεν ὅτε κατὰ [r]μὲν τὸν Λου-
κᾶν ἀπελθὼν ὁ Ἰούδας συνελάλει τοῖς ἀρχιερεῦσι καὶ c
γραμματεῦσι καὶ στρατηγοῖς τοῦ ἱεροῦ, ὅπως αὐτὸν παραδῷ
αὐτοῖς· καὶ ἐχάρησαν, καὶ συνέθεντο αὐτῷ ἀργύρια δοῦναι,
κατὰ δὲ τὸν Μάρκον, ὁπηνίκα ἀπῆλθε πρὸς τοὺς ἀρχιερεῖς,
3 ἵνα παραδῷ αὐτόν. Οἱ δὲ ἐχάρησαν, καὶ ἐπηγγείλαντο
αὐτῷ ἀργύρια δοῦναι. Ἀλλ' ἐν τούτοις μὲν ἁπλῶς τὸ
ἀργύριον ὠνόμασται· παρὰ δὲ τῷ Ματθαίῳ μνημονεύε-
ται καὶ ὁ ἀριθμὸς, συνᾴδων τῇ ἀπὸ τοῦ Ζαχαρίου παρα-
4 θέσει. Λέγει δ' οὖν ὁ Ματθαῖος, τότε πορευθεὶς εἷς τῶν
δώδεκα, ὁ λεγόμενος Ἰούδας Ἰσκαριώτης, πρὸς τοὺς ἀρχ- d

q ὑπὲρ] ὑπ' S. r μὲν om. S.

quod verbum Domini est. Et dicam ad eos, si honestum est in conspectu vestro, date mercedem meam, aut renuite: et constituerunt mercedem meam, XXX *argenteos. Et dixit Dominus ad me, dimitte eos in fornacem, et specta num approbatum sit, quemadmodum probatus sum pro illis. Et accepi* XXX *argenteos, et projeci eos in domo Domini in fornacem, et abjeci virgam alteram, quæ dicitur funiculus, ad dissipandum testamentum inter Judam et Israel.* Hæc igitur suum finem consecuta sunt quo tempore, ut est apud Lucam, *abiens Judas locutus est cum principibus sacerdotum et scribis et ducibus templi, quomodo illum eis traderet: et gavisi sunt, et pacti sunt argentum illi dare.* Ut vero apud Marcum legimus, quum *abiit ad principes sacerdotum, ut illum proderet: illi autem gavisi sunt, et promiserunt ei se argentum daturos.* Verum apud hos quidem argentum simpliciter nominatum est: apud Matthæum autem numerus quoque indicatur, qui sane ab eo quem posuit Zacharias minime discrepat. Dicit igitur Matthæus, *Tunc abiens unus de duodecim qui dicitur Judas Iscariotes ad*

qui imperabant, quam eorum, quibus imperabatur.

Luc. 22, 4.

Marc. 14, 10.

Matth. 26, 14.

ἱερεῖς, εἶπεν αὐτοῖς, Τί θέλετέ μοι δοῦναι, κἀγὼ ὑμῖν
παραδώσω αὐτόν; οἱ δὲ ἔστησαν αὐτῷ τριάκοντα στατῆρας.
Σύμφωνα οὖν ταῦτά ἐστι τῷ, καὶ ἔστησαν τὸν μισθόν μου
τριάκοντα ἀργύρους, ἐν τῇ προφητείᾳ εἰρημένῳ ὑπὸ τοῦ
5 Κυρίου. Ἀνθ' οὗ ὁ μὲν Σύμμαχος ἐποίησε, καὶ ἐστά-
θμισαν τὸν μισθόν μου τριάκοντα ἀργύρους· ὁ δὲ Ἀκύλας,
καὶ ἔστησαν τὸν μισθόν μου τριάκοντα ἀργύρους. Οἷς ἐπι-
λέγεται, καὶ εἶπε Κύριος πρός με, Κάθες αὐτοὺς εἰς τὸ
χωνευτήριον, καὶ σκέψαι εἰ δόκιμόν ἐστιν, ὃν τρόπον ἐδοκι-
6 μάσθην ὑπὲρ αὐτῶν. Ἀνθ' οὗ πάλιν ὁ μὲν Ἀκύλας φησὶ,
καὶ εἶπε Κύριος πρός με, Κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον,
ῥίψον αὐτὰ πρὸς τὸν πλάστην· ὑπερμεγέθης ἡ τιμὴ, ἣν
ἐτιμήθην ὑπὲρ αὐτῶν. Καὶ πρόσχες τίνα τρόπον αὐτὸς p. 480
ὁ Κύριος τιμὴν ἑαυτοῦ ὁμολογεῖ τοὺς τριάκοντα ἀργύ-
7 ρους δεδόσθαι. Ἔοικε δὲ ἡ τῆς λέξεως διάνοια τοιοῦτόν
τινα ἐμφαίνειν νοῦν· [s] ἐγὼ μὲν ὁ Κύριος ἐκ πρώτης
ἀρξάμενος ἡμέρας οὐ διέλιπον τῆς ἐμαυτοῦ χρηστότητος
ὑμῖν τοῖς ἐκ περιτομῆς δείγματα παρέχων, καὶ μυρία
ὅσα ὑμᾶς εὐεργετῶν, οὐ μόνον τὰ διὰ τῶν ἀνέκαθεν
προφητῶν, ἀλλὰ καὶ τὰ διὰ τῆς ἐμαυτοῦ παρουσίας ἐν

[s] σημ S. in marg.

principes sacerdotum dixit eis: quid vultis mihi dare, et ego eum vobis tradam? illi autem constituerunt ei XXX stateres. Consentanea igitur hæc sunt ei quod in prophetia dictum est a Domino, *et constituerunt mercedem meam XXX argenteos.* Pro quo Symmachus quidem ait, *et apprehenderunt mercedem meam XXX argenteos:* Aquila vero, *et constituerunt mercedem meam XXX argenteos.* Quibus illud adjungitur, *Et dixit Dominus ad me, dimitte eos in fornacem, et vide num probatum sit, quemadmodum probatus sum pro illis.* Pro quo rursus Aquila quidem sic ait, *Et dixit Dominus ad me, dimitte eos in fornacem, projice eos ad figulum, immensum pretium quo æstimatus sum pro illis.* Et sane attende quonam pacto ipse Dominus pretium suum confitetur xxx argenteos datum esse. Videtur autem ipsa verborum excogitatio talem præ se ferre sensum: ego quidem Dominus a primo incipiens die nunquam desii meæ benignitatis indicia vobis Judæis impendere innumerabilibusque vos beneficiis afficere, non solum dum ad vos ab initio prophetas mitto, sed etiam dum me ipsum vobis præ-

τε ταῖς προτρεπτικαῖς διδασκαλίαις καὶ τοῖς λογι-
κοῖς μαθήμασιν, ἔν τε τοῖς σημείοις καὶ τέρασι, καὶ
ταῖς ἄλλαις παραδοξοποιΐαις, ταῖς τε ἰάσεσι καὶ ταῖς b
θεραπείαις· ὑμεῖς δὲ οἱ τῆς τοσαύτης εὐεργεσίας ἠξιω-
μένοι δότε τὸν μισθόν μου ἢ ἀπείπασθε, αἰτῶν αὐτοὺς, ὡς
εἰκὸς, καρποὺς εὐσεβείας καὶ δεῖγμα τῆς εἰς αὐτὸν
8 πίστεως. Οἱ δὲ, κατὰ τὸ εἰρημένον ἐν τῇ πρὸ ταύτης
παραθέσει, ἀντὶ τοῦ ἀγαπᾶν με ἐνδιέβαλλόν με, καὶ ἔθεντο
κατ᾽ ἐμοῦ κακὰ ἀντὶ ἀγαθῶν καὶ μῖσος ἀντὶ τῆς ἀγαπή-
σεώς μου, τριάκοντα ἀργύρους στήσαντες, ὥσπερ [t]τοσού-
9 του αὐτὸν πωλούμενον ἐτιμήσαντο. Ἀλλ᾽ ἐπεὶ τὸ
ἑκάστου ἔργον ὁποῖόν ἐστι τὸ πῦρ αὐτὸ δοκιμάσει, εἰ-
κότως προστάττει [u]καθεῖναι αὐτοὺς εἰς τὸ χωνευτήριον,
ἐπιλέγων, ὃν τρόπον ἐδοκιμάσθην ὑπὲρ αὐτῶν. Χωνευτή- c
ριον δὲ ἐνταῦθα ἔοικε τὸν οἶκον Κυρίου ὀνομάζειν.
Εἰπόντος γοῦν τοῦ Κυρίου κατὰ τοὺς Ἑβδομήκοντα,
κάθες αὐτοὺς εἰς τὸ χωνευτήριον, ἐπιφέρει, καὶ ἐνέβαλον
10 αὐτοὺς εἰς τὸν οἶκον Κυρίου, εἰς τὸ χωνευτήριον. Κατὰ δὲ
τὸν Ἀκύλαν εἰπόντος τοῦ Κυρίου, ῥίψον αὐτὸ, δῆλον δ᾽
ὅτι τὸ ἀργύριον, πρὸς τὸν πλάστην, ἐπιφέρει, καὶ ἔρριψα

[t] τοσοῦτον S. [u] καθῆναι] καθεῖναι P. ut vulg. S.

sentem exhibeo, tum in monitis ac documentis rationalibusque præceptis, tum in signis et portentis et aliis miraculorum generibus, tum etiam in sanationibus et medelis: vos ergo qui tanta beneficentia digni habiti estis *date mercedem meam aut renuite,* sic quidem ab illis, ut par est, fructus pietatis et indicia fidei erga seipsum postulans. At illi (ut in ea quam proxime ante hanc posuimus prophetia dictum est) *pro eo ut me diligerent detrahebant mihi, et posuerunt adversum me mala pro bonis, et odium pro dilectione mea,* et quum XXX argenteos constituerint, tanquam eum qui tanti venderetur æstimaverunt. Sed quoniam *uniuscujusque opus quale sit ignis probabit,* 1 Cor. 3, 13. merito imperat ut mittantur in fornacem, illud adjungens, *Quemadmodum probatus sum pro illis.* Fornacem vero hoc loco ipsam domum Domini nominare videtur. Nam cum Dominus dixerit, ut est apud LXX, *dimitte eos in fornacem,* tum adjungit, *et projeci eos in domo Domini in fornacem.* Ut vero est apud Aquilam, quum Dominus dixerit, *projice illud,* ipsum videlicet argentum, *ad figulum,* tum ad-

11 αὐτὸ ἐν οἴκῳ Κυρίου πρὸς τὸν πλάστην. Κατὰ δὲ τὸν
Σύμμαχον εἰπόντος τοῦ Κυρίου, ῥίψον αὐτὸ εἰς τὸ χωνευ-
τήριον, ἐπιφέρει λέγων, καὶ ἔρριψα αὐτὸ εἰς τὸν οἶκον d
Κυρίου, εἰς τὸ χωνευτήριον. Μήποτε δὲ καὶ τοῦτο ἐπλη-
ροῦτο, ὅτε Ἰούδας ὁ παραδιδοὺς τὸν Κύριον, ἰδὼν ὅτι
κατεκρίθη, μεταμεληθεὶς ἀπέστρεψε τὸ ἀργύριον τοῖς ἀρχ-
ιερεῦσι καὶ πρεσβυτέροις, λέγων, Ἥμαρτον παραδοὺς αἷμα
ἀθῷον. Οἱ δὲ εἶπαν αὐτῷ, Τί πρὸς ἡμᾶς; σὺ ὄψει. Καὶ
ῥίψας τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε, καὶ ἀπελθὼν
12 ἀπήγξατο. Οἱ δὲ ἀρχιερεῖς λαβόντες τὰ ἀργύρια εἶπαν,
Οὐκ [x]ἔστι βαλεῖν αὐτὰ εἰς τὸν κορβανᾶν, ἐπεὶ τιμὴ αἵμα-
τός ἐστιν. Συμβούλιον δὲ λαβόντες, ἠγόρασαν ἐξ αὐτῶν
τὸν ἀγρὸν τοῦ κεραμέως εἰς ταφὴν τοῖς ξένοις. Διὸ ἐκλήθη p. 481
ὁ ἀγρὸς ἐκεῖνος, ἀγρὸς αἵματος, ἕως τῆς σήμερον ἡμέρας.
Τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ Ἱερεμίου τοῦ προφήτου λέγοντος,
Καὶ ἔλαβον τὰ τριάκοντα ἀργύρια, τὴν τιμὴν τοῦ τετιμη-
μένου, ὃν ἐτιμήσαντο ἀπὸ υἱῶν Ἰσραὴλ, καὶ [y]ἔδωκαν αὐτὰ
εἰς τὸν [z]ἀγρὸν τοῦ κεραμέως, καθὰ συνέταξέ μοι Κύριος.
13 Ἔνθα καὶ ἐπιστήσεις, ἐπεὶ μὴ ταῦτα φέρεται ἐν τῇ τοῦ

[x] ἔστι] ξε ἔστιν sic S. [y] ἔδωκα P.S. et infra B 8. [z] γρ. οἶκον P. marg. nil in S.

jungit, *et projeci illud in domo Domini ad figulum.* At vero ex Symmachi editione quum Dominus dixerit, *projice illud in fornacem,* tum adjungit verba illa, *et projeci illud in domo Domini in fornacem.* Num igitur hoc tunc forsitan completum est, quum Judas qui Dominum
Matth. 27, 3. prodidit, *videns quod condemnatus esset, pœnitentia ductus retulit argentum principibus sacerdotum et senioribus, dicens, Peccavi tradens sanguinem innocentem. At illi dixerunt ei, Quid ad nos? tu videris. Et projectis argenteis in templo, recessit: et abiens laqueo se suspendit. Principes autem sacerdotum acceptis argenteis dixerunt: non licet eos mittere in corbanam, quia pretium sanguinis est. Consilio autem inito, emerunt ex illis agrum figuli in sepulturam peregrinorum. Quapropter vocatus est ager ille, ager sanguinis, usque in præsentem diem. Tunc impletum est quod dictum est per Hieremiam prophetam dicentem, Et acceperunt XXX argenteos pretium appretiati, quem appretiaverunt a filiis Israel, et dederunt eos in agrum figuli, sicut constituit mihi Dominus.* Ubi diligenter considerabis, quum hæc non habeantur apud

Ἱερεμίου προφητείᾳ, εἴτε χρὴ ὑπονοεῖν περιῃρῆσθαι αὐτὰ
ἐξ αὐτῆς κατά τινα ῥᾳδιουργίαν, ἢ καὶ [a] σφάλμα γρα- b
φικὸν γεγονέναι, τῶν ἀμελέστερον τὰ τῶν ἱερῶν εὐαγ-
γελίων ἀντίγραφα πεποιημένων σφαλέντος τινος, καὶ
ἀντὶ μὲν τοῦ Ζαχαρίου Ἱερεμίαν τεθεικότος, ὡς δέον
οὕτως ἀναγεγράφθαι, *τότε ἐπληρώθη τὸ ῥηθὲν διὰ*
14 *Ζαχαρίου τοῦ προφήτου*, ἀντὶ δὲ τοῦ, [b] *καὶ ἐνέβαλον*
αὐτοὺς εἰς τὸν οἶκον Κυρίου, εἰς τὸ χωνευτήριον, ἐσφαλμένως
πεποιηκότος, *καὶ ἔδωκαν αὐτὰ εἰς τὸν ἀγρὸν τοῦ κεραμέως*.
Σαφῶς γὰρ διὰ μὲν τῆς προφητείας εἰς τὸν τοῦ Κυρίου
ναὸν ἐρρίφθαι λέγεται τὸ ἀργύριον, καὶ δι' αὐτοῦ δὲ τοῦ c
εὐαγγελίου εἰς τὸν ναόν· [c] *ῥίψας γοῦν*, φησὶν, *Ἰούδας*
15 *τὰ ἀργύρια εἰς τὸν ναὸν ἀνεχώρησε*. Καὶ εἰκός γε ἐξ
ἐκείνων τῶν ἀργυρίων βέβηλον γεγονέναι τὸν ναὸν, καὶ
πεπληρῶσθαι τὸ, *ἰδοὺ ἀφίεται ὑμῖν ὁ οἶκος ὑμῶν ἔρημος*.
Καὶ ὅρα γε μήποτε χωνευτήριον ὁ οἶκος Κυρίου διὰ
τοῦτο κέκληται, ἐπείπερ ὡς ἐν χωνείᾳ μεταπλάττεσθαι
τὰς ψυχὰς ἐκ τῆς τῶν θείων λόγων πυρώσεως ἐν τῷ
τοῦ Θεοῦ οἴκῳ συμβαίνει, ἢ ἄλλως [d] ἀπελέγχεσθαι μὴ
καθαρὰς, ὡς ἐν χωνευτηρίῳ πυρουμένας καὶ δοκιμαζο-

[a] σημ S. in marg. [b] καὶ add. P. [c] Ῥίψας ναὸν om. S.
[d] ἀπελέγχεται] ἀπελέγχεσθαι P.

Hieremiam prophetam, num arbitrari oporteat ea per quandam malitiam ex illo sublata esse, an vero librarii erratum fuisse, qui negligentius sanctorum evangeliorum exemplaria confecerit, et ex negligentia in errorem inciderit, et pro Zacharia posuerit Hieremiam, utpote quum ita scripto opus fuerit, *tunc completum est, quod dictum est per Zachariam prophetam.* Pro eo autem quod perperam conversum est, *et miserunt eos in domo Domini in fornacem,* dictum est illud, *Et dedi eos in agrum figuli.* Plane enim in ipsa prophetia in templo Domini projectum fuisse argentum dicitur, et ab evangelio itidem in templo, *Projectis enim,* inquit, *Judas argenteis in templo, recessit.* Et sane æquum est ex illis argenteis templum fuisse profanatum, et completum fuisse illud, *Ecce relinquitur vobis domus vestra deserta.* Porro autem etiam illud contemplare, num fornax dicta sit domus Domini, propterea quod in templo Dei quasi in fornace conflatoris animos ex divinorum sermonum calore atque

16 μένας. [e] Ὅθεν ὁ Ἀκύλας, ἔρριψα, φήσας, τὸ ἀργύριον
ἐν τῷ οἴκῳ Κυρίου πρὸς τὸν πλάστην, σαφῶς διδάσκει, ὡς d
τοῦ λόγου τοῦ θείου δίκην πλάστου κατοικοῦντος εἰς τὸν
οἶκον Κυρίου, καὶ πλάττοντος καὶ ἀνανεοῦντος τὰς τῶν
προσιόντων ψυχάς. Πλὴν ἀλλ' ἐπείπερ ἡ τιμὴ τοῦ
τετιμημένου εἰς ἐκεῖνον μεταβληθεῖσα τὸν οἶκον βέβηλον
αὐτὸν κατεστήσατο, εἰκότως εὐθὺς ἐπιλέγει, καὶ ἀπέρ-
ριψα τὴν ῥάβδον τὴν δευτέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι
17 τὴν διαθήκην ἀνὰ μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. Ἐξ
ἐκείνου γάρ τοι τὸ πλῆθος τοῦ ἔθνους ἀπερρίφη τῆς
πάλαι πρότερον ἐφορώσης αὐτοὺς ἐπισκοπῆς τοῦ Θεοῦ.
Δευτέραν δὲ ῥάβδον ἡγοῦμαι τὸ πᾶν ἀθρόως Ἰουδαίων
ἔθνος ἐνταῦθα δηλοῦσθαι. Καλεῖ δ' οὖν αὐτὴν σχοί-
νισμα, λέγων, τὴν μίαν ἐκάλεσα κάλλος, καὶ τὴν δευτέραν p. 482
ἐκάλεσα σχοίνισμα. Καὶ σαφῶς ἐπιλέγει περὶ τῆς
δευτέρας φάσκων· καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν
τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ μέσον
18 Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. Οὗτοι γὰρ ἦσαν τὸ σχοί-
νισμα καὶ ἡ ῥάβδος ἡ δευτέρα. Ἡ δὲ προτέρα κάλλος

[e] ὅπερ—ἔρριψα] ὅθεν—ἔρριψε P. cum interprete.

igne transformari contingit, aut alioqui non puros dum tanquam in fornace igne explorantur redargui. Idcirco Aquila dum ita convertit, *Et projecit argentum in domo Domini ad figulum,* plane nos docet quemadmodum divinum verbum instar figuli habitet in domo Domini, et eorum qui illuc accedunt animas informet ac renovet. Veruntamen quum pretium appretiati in illa domo projectum eam ipsam profanam reddiderit, merito statim adjungit, *Et abjeci virgam alteram, quæ dicitur funiculus, ad dissipandum testamentum inter Judam et Israel.* Ex illo enim illa gentis multitudo abjecta est procul ab antiqua Dei tutela, quæ prius illos conservabat. Alteram autem virgam puto pro universa simul Judaica gente hoc in loco accipi oportere. Qua de causa illam etiam *funiculum* vocat, dicens, *Unam vocavi pulchritudinem, et alteram vocavi funiculum.* Tum de altera evidenter adjungit illud, *Et abjeci virgam alteram, quæ dicitur funiculus, ad dissipandum testamentum inter Judam et Israel.* Si quidem hi erant et funiculus et virga altera. Prior autem quæ *pulchritudo* nominata est, non alia fuerit quam ipsa Hierusalem, adora-

ὠνομασμένη οὐδ' ἄλλη γένοιτο τῆς Ἱερουσαλὴμ αὐτῆς,
καὶ τῆς κατὰ Μωσέα λατρείας, ἁπάσης τε τῆς παλαιᾶς
19 διαθήκης. Καὶ τοῦτο δὲ ἐξ αὐτῆς παρίσταται τῆς προ-
φητείας φησάσης, καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλήν, b
καὶ ἀπορρίψω αὐτήν, τοῦ διασκεδάσαι τὴν διαθήκην μου.
Ὁρᾷς ὡς τὴν μὲν διαθήκην αὐτοῦ τὴν ῥάβδον ἔφησεν
εἶναι τὴν πρώτην, τὴν [f] δὲ δευτέραν ῥάβδον τὸ σχοίνισμα,
πλὴν ἀμφοτέρας τὰς [g] ῥάβδους ἀπορρίψειν ἀπειλεῖ, προ-
ειπὼν πρότερον, καὶ λήψομαι ἐμαυτῷ δύο ῥάβδους, τὴν
μίαν ἐκάλεσα κάλλος, καὶ τὴν [h] δευτέραν ἐκάλεσα σχοί-
20 νισμα. Ἀνθ' ὧν ὁ μὲν Ἀκύλας φησί, τὴν μίαν ἐκάλεσα
εὐπρέπειαν, καὶ τὴν ἑτέραν ἐκάλεσα σχοίνισμα· ὁ δὲ
Σύμμαχος, τὴν μὲν ἐκάλεσα εὐπρέπειαν, τὴν δὲ μίαν ἐκά- c
λεσα σχοίνισμα. [i] Τοῦ μὲν οὖν παντὸς ἔθνους κάλλος
καὶ εὐπρέπειαν τὸν θεῖον νόμον καὶ τὴν ἐν αὐτῷ περι-
21 εχομένην διαθήκην ὠνόμασεν εἰκότως. Τά τε γὰρ
σεμνὰ τῆς Ἱερουσαλήμ, καὶ τὰ τῆς ἀρχιερατικῆς λει-
τουργίας, καὶ πάντα ὅσα πάλαι πρότερον ἐν αὐτοῖς κατὰ
τοὺς θείους νόμους καὶ κατὰ τὴν παλαιὰν διαθήκην ἐπο-
λιτεύετο, κόσμος εὐπρεπὴς ὑπῆρχε τοῖς ὑπὸ τούτων

[f] δευτέραν δὲ] δὲ δευτέραν P. [g] ῥάβδος S. [h] ἑτέραν ED. PARIS.
[i] Τοῦτο] τοῦ P. ut vulg. S.

tioque Mosaica, omnisque prisca constitutio, quæ vetus dicitur testamentum, hocque ipsum vel ex ipsa prophetia plane constiterit, dum ait, *Et capiam virgam meam pulchram, et abjiciam eam ad dissipandum testamentum meum.* Vides ut testamentum quidem suum virgam priorem esse dixerit: alteram vero virgam, funiculum, et tamen se utramque abjecturum minatur, quamvis prius dixerit, *et capiam mihi ipsi duas virgas, unam vocavi pulchritudinem, et alteram vocavi funiculum:* pro quo Aquila quidem sic convertit, *Unam vocavi decorem, et alteram vocavi funiculum:* Symmachus autem, *Hanc quidem vocavi decorem, illam autem vocavi funiculum.* Hoc igitur universæ gentis pulchritudinis decorisque nomine divinam legem et quod in ea continetur testamentum merito appellat. Venerabilitas enim illa urbis Hierusalem, et quæ in ea ad munus pontificum sacerdotumque pertinebant, tum etiam omnia quæcunque olim apud illos populos ex divinis legibus et ex veteri testamento de more prius administra-

κοσμουμένοις. Σχοίνισμα δὲ τὸ πλῆθος τοῦ ἔθνους καὶ
παρὰ Μωσεῖ κέκληται λέγοντι, ἐγενήθη μερὶς Κυρίου λαὸς d
αὐτοῦ Ἰακὼβ, σχοίνισμα κληρονομίας αὐτοῦ Ἰσραήλ.
22 Ἀλλὰ γὰρ τῶν δύο τούτων ῥάβδων [k] ἀθρόαν μεταβολὴν
γενήσεσθαι κατὰ τοὺς δηλουμένους χρόνους θεσπίζει, ὡς
καὶ τῆς πάλαι ἐν αὐτῇ παλαιᾶς διαθήκης, καὶ τοῦ πάλαι
ἐν αὐτῇ κάλλους ἀφανισθησομένου, τοῦ τε σχοινίσματος
καὶ τοῦ παντὸς ἔθνους διασκεδασθησομένου, ἐπὰν τὴν
τιμὴν τοῦ τετιμημένου τριάκοντα ἀργυρίων τιμησάμενοι
τῆς σφῶν δυσσεβείας τὴν προσήκουσαν ἀτιμίαν ὑπό-
23 σχοιεν. Λέγει δ' οὖν, καὶ λήψομαι τὴν ῥάβδον μου τὴν
καλὴν, καὶ ἀπορρίψω αὐτὴν, τοῦ διασκεδάσαι τὴν διαθήκην
μου. Καὶ πάλιν, καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευτέραν
τὸ σχοίνισμα. Ἐπὶ τούτοις ἐπὰν ἡ προφητεία φάσκῃ,
καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν μηνὶ ἑνὶ, νομίζω τρία p. 483
τάγματα αἰνίττεσθαι [l] τῶν πάλαι τοῦ λαοῦ τοῦ Θεοῦ
προεστώτων, [m] βασιλέως, καὶ ἀρχιερέως, καὶ προφήτου,
ἐπεὶ καὶ διὰ τῶν τριῶν τούτων ποιμένων πάντα τὰ κατὰ
24 τοὺς πάλαι πρότερον ᾠκονομεῖτο. Ἀλλ' ἐπειδὴ δια-

[k] ἀθρόως] ἀθρόαν P. ut vulg. S. [l] τὸν S. [m] βασιλέων—ἀρχιερέων—προφητῶν] βασιλέως—ἀρχιερέως—προφητοῦ P.

bantur, decens quidam ornatus iis erant, qui talibus rebus ornarentur. Funiculus autem ipsa gentis multitudo apud ipsum quoque Mosem vocata est in illis verbis, *Facta est portio Domini populus ejus Jacob, funiculus hæreditatis ejus Israel.* At vero hujusce utriusque virgæ mutationem magno impetu futuram iis temporibus, de quibus dictum est, divinat: utpote quum et vetus, quod prius in ea erat, testamentum, et pulchritudo quæ in eadem olim cernebatur delenda fuerit et ad nihilum redigenda, simul ac pretio illius æstimato, qui xxx argenteis æstimatus est, illi pro sua ipsorum impietate meritæ ignominiæ obnoxii facti sunt. Dicit igitur, *Et capiam virgam meam pulchram, et abjiciam eam ad dissipandum testamentum meum.* Et rursus, *Et abjeci virgam alteram, quæ dicitur funiculus.* Ad hæc quum in prophetia dicatur illud, *Et auferam tres pastores in mense uno,* arbitror sic tres ordines eorum significari, qui olim populo Dei præerant, regum, pontificum, et prophetarum: quoniam ab his tribus quasi pastoribus omnia quæ ad illos veteres olim pertinebant guber-

στροφὴν καὶ οἱ τρεῖς οὗτοι πεπόνθασι ποιμένες καθ' ἕνα
καιρὸν τὸν ἐπὶ τοῦ Σωτῆρος ἡμῶν, (ὅ τε γὰρ βασιλεὺς
παρανόμως αὐτῶν ἡγεῖτο, ἀλλόφυλός τις ὢν καὶ οὐκ
οἰκεῖος τοῦ ἔθνους· ὅ τε ἀρχιερεὺς ὑπὸ Ῥωμαίων παρα-
γενόμενος ἐπὶ τὴν λειτουργίαν, οὐ κατὰ τὴν τοῦ γένους
διαδοχὴν οὐδὲ κατὰ τοὺς ἐννόμους θεσμοὺς ἐπὶ τὴν τιμὴν
παρῄει· ὅ τε προφήτης μέχρις Ἰωάννου παυσάμενος b
οὐκέτι ἐν αὐτοῖς ἐνήργει, ἀντὶ δὲ τούτου ψευδοπροφήτης
τις ἀσεβὴς καὶ πλανῶν τὸν λαὸν,) εἰκότως τὰ τρία
χαρίσματα, πάλαι πρότερον ὑπὲρ πάντα κόσμον εὐ-
πρεπῆ τὸ πᾶν ἔθνος κοσμοῦντα, περιαιρήσειν ὑφ' ἕνα
καιρὸν ἀπειλεῖ λέγων, *Καὶ ἐξαρῶ τοὺς τρεῖς ποιμένας ἐν*
25 *μηνὶ ἑνὶ, καὶ βαρυνθήσεται ἡ ψυχή μου ἐπ' αὐτούς.* Ἀνθ'
οὗ ὁ μὲν Ἀκύλας φησὶ, *Καὶ ἐκολοβώθη ἡ ψυχή μου ἐν*
αὐτοῖς· ὁ δὲ Σύμμαχος, *Καὶ ὠλιγοψύχησα ἐν αὐτοῖς·*
ὁ δὲ Θεοδοτίων, *Καὶ ὠλιγοψύχησεν ἡ ψυχή μου ἐπ' αὐ-*
τούς. Καὶ τὸ αἴτιόν γε τῆς ὀλιγοψυχίας διδάσκει c
ἐπιλέγων, *Καὶ γὰρ αἱ ψυχαὶ αὐτῶν ἐπωρύοντο ἐπ' ἐμέ.*
Ἀνθ' οὗ πάλιν ὁ Ἀκύλας, *Καί γε ἡ ψυχὴ αὐτῶν ἐπέρ-*
26 *κασεν ἐν ἐμοί·* ὁ δὲ Σύμμαχος, *Καὶ ἡ ψυχὴ αὐτῶν*

nabantur. Sed quando tres isti pastores uno tempore conversionem passi sunt, Salvatore utique nostro adveniente (nam et rex præter leges creatus, non ab ipsorum genere oriundus, sed externus ipsis tunc præerat: et pontifex a Romanis ad sacram functionem provectus, non ex successione generis, neque secundum leges atque instituta, honorem illum obtinebat: nec propheta, qui usque ad Joannem perveniens desierat, amplius apud eos operabatur, sed loco ejus mendax quidam propheta et impius populum decipiebat) merito tria illa dona, quæ quondam supra omne ornamentum ac decus totam illam gentem ornabant, sublaturum se uno tempore minatur, dicens, *Et auferam tres pastores in mense uno, et gravabitur anima mea super eos,* pro quo Aquila quidem sic ait, *Et mutilata est anima mea in eis:* Symmachus autem, *Et exanimatus sum in eis:* Theodotion autem, *Et exanimata est anima mea super eos.* Et causam exanimationis ostendit in iis quæ adjungit, *Etenim animæ eorum rugierunt super me,* pro quo rursus Aquila hoc modo convertit, *Etenim anima eorum immaturuit in me:* Symmachus autem, *Et anima eorum invaluit in me.*

ἤκμασεν ἐν ἐμοί. Ὅμοιον δὲ τῷ, καὶ γὰρ αἱ ψυχαὶ
αὐτῶν ἐπωρύοντο ἐπ' ἐμὲ, παρὰ τοῖς ο' εἰρημένῳ, φέρεται
παρὰ τῷ Ἱερεμίᾳ ἐκ προσώπου τοῦ Κυρίου κείμενον τὸ,
ἐγκαταλέλοιπα τὸν οἶκόν μου, ἀφῆκα τὴν κληρονομίαν μου,
ἔδωκα τὴν ἠγαπημένην ψυχήν μου εἰς χεῖρας ἐχθρῶν αὐτῆς,
ἐγενήθη ἡ κληρονομία μου ἐμοὶ ὡς λέων ἐν δρυμῷ, ἔδωκεν d
27 ἐπ' ἐμὲ τὴν φωνὴν αὐτῆς. Μὴ σπήλαιον ὑαίνης ἡ κληρο-
νομία μου ἐμοί; Εἰκότως οὖν διὰ ταῦτα ἑξῆς ἐπιφέρει
λέγων, καὶ εἶπα, Οὐ ποιμανῶ ὑμᾶς, τὸ ἀποθνῆσκον ἀπο-
θνησκέτω, καὶ τὸ ἐκλεῖπον ἐκλειπέτω, καὶ τὰ κατάλοιπα
ἐσθιέτωσαν, ἕκαστος τὰς σάρκας τοῦ πλησίον αὐτοῦ. Μεθ'
ἃ ἐπιλέγει, καὶ λήψομαι τὴν ῥάβδον μου τὴν καλὴν, καὶ
28 ἀπορρίψω αὐτήν. Ἀνθ' οὗ [n] ὁ Ἀκύλας, καὶ ἔλαβον,
φησὶν, τὴν ῥάβδον μου, τὴν εὐπρέπειαν, καὶ περιέκοψα
αὐτὴν, δηλαδὴ τὴν κατὰ Μωσέα λατρείαν. Οὐκοῦν ἡ
μὲν πρώτη ῥάβδος ἡ ἐν ἀρχαῖς τοῦ λόγου πρώτη συν-
29 τριβήσεσθαι καὶ ἀπορριφήσεσθαι λέγεται. Ὅτε δὲ ἡ p. 484
τιμὴ τοῦ τετιμημένου καὶ τὸ ὑπὲρ αὐτοῦ τῷ προδότῃ
δοθὲν ἀργύριον ἐβλήθη εἰς τὸν οἶκον Κυρίου ὡς εἰς
χωνευτήριον, τότε δὴ καὶ τὰ περὶ τῆς δευτέρας ῥάβδου,

[n] ὁ add. S.

Illi vero quod apud LXX dictum est, *Etenim animæ eorum rugierunt super me*, simile quiddam fertur etiam apud Hieremiam, quod ex per-
Jer. 12, 7. sona Domini profertur his verbis, *Dereliqui domum meam, dimisi hæreditatem meam, dedi dilectam animam meam in manus inimicorum ejus, facta est hæreditas mea mihi ut leo in sylva, dedit super me vocem suam. Nunquid spelunca hyænæ hæreditas mea mihi?* Has igitur ob res merito deinceps adjungit, *Et dixi, non pascam vos, quod moritur, moriatur, et quod deficit, deficiat, et quæ reliqua sunt devorent, unusquisque carnes proximi sui.* Post quæ subjicit, *Et capiam virgam meam pulchram, et abjiciam eam.* Pro quo Aquila, *Et accepi*, inquit, *virgam meam, decorem, et excidi illam,* Mosaicam videlicet adorationem. Ergo prima quidem virga initio sermonis prima item quæ frangatur et abjiciatur fore dicitur. Quum autem pretium ejus, qui æstimatus est, et pro eo argentum proditori erogatum projectum est in domum Domini tanquam in fornacem, tum vero etiam ea quæ ad alteram virgam, hoc est, quæ sd universam gentem pertinent, quid

τοῦ παντὸς ἔθνους δηλαδή, ἀκολούθως οἷα πείσεται
προφητεύεται ἐν τῷ, καὶ ἀπέρριψα τὴν ῥάβδον τὴν δευ-
τέραν τὸ σχοίνισμα, τοῦ διασκεδάσαι τὴν διαθήκην ἀνὰ
30 μέσον Ἰούδα καὶ ἀνὰ μέσον Ἰσραήλ. Καὶ ἐπειδήπερ ἀπο-
βολὴν ἐκείνων σαφῶς διὰ τούτων ὁ λόγος [o] ἐμήνυσεν,
εἰκότως ἑξῆς οὐκέτ' αὐτοὺς ἐπιγνώσεσθαι τὴν τῶν προ-
φητευομένων δύναμίν φησιν ἀλλὰ τοὺς Χαναναίους, b
λέγων, καὶ γνώσονται οἱ Χαναναῖοι τὰ πρόβατα τὰ φυ-
31 λασσόμενά μοι, διότι λόγος Κυρίου ἐστί. Τίνες δ' ἂν
εἶεν οἱ Χαναναῖοι ἀλλ' [p] ἢ ἡμεῖς, οἱ πρὶν ἀλλόφυλοι καὶ
ἐξ ἁπάντων τῶν πάλαι ἀθέων καὶ ἀσεβῶν ἐθνῶν πρό-
βατα τῷ Χριστῷ πεφυλαγμένοι; οἳ καὶ διὰ τῆς αὐτοῦ
χάριτος μεταβεβλήμεθα, [q] καὶ συνέντες τὰ τεθεσπισμένα
γνῶσιν ἀληθῆ τοῦ λόγου τοῦ Κυρίου εἰλήφαμεν, ἔγνω-
μέν τε ἡμεῖς οἱ Χαναναῖοι καὶ συνήκαμεν τὰ δηλούμενα· c
οὐκ ἔγνωσαν δὲ οὐδὲ συνῆκαν οἱ τὸν Ἰσραὴλ αὐχοῦντες
καὶ ἐπὶ τῷ σπέρματι Ἀβραὰμ ἐπαιρόμενοι.

ΑΠΟ ΤΟΥ ΙΕΡΕΜΙΟΥ.

5 Ἁμαρτία Ἰούδα γέγραπται ἐν γραφείῳ σιδηρῷ, ἐν ὄνυχι — Ἔτι περὶ

[o] ἐμήνισεν ED. PARIS. Sic S. [p] ἢ om. P. [q] καὶ om. S.

latura sint mali, prophetice declaratur in illis verbis, *et abjeci virgam alteram, funiculum ad dissipandum testamentum inter Judam et Israel:* et quoniam illorum rejectionem his verbis plane oraculum indicavit, merito deinceps non amplius illos vim prophetiarum intellecturos affirmat, sed Chananæos, sic dicens, *Et cognoscent Chananæi oves quæ custodiuntur mihi, quod verbum Domini est.* Cæterum qui tandem alii fuerint hi Chananæi quam nos ipsi? qui prius alieni eramus, et qui ex universis olim profanis atque impiis gentibus oves Christo custoditi sumus? qui etiam beneficio illius sumus immutati, et ipsa vaticinia prophetarum intelligentes cognitionem veram verbi Domini accepimus. Iidem nos qui sumus Chananæi novimus atque intelleximus ea quæ dicuntur. Non noverunt autem neque intellexerunt qui nomine Israel gloriantur, et qui semen Abrahæ jactare consuerunt.

AB HIEREMIA.

5 *Peccatum Juda scriptum est stylo ferreo in ungue adamantino, exaratum super latitudinem cordis ejus, et in cornibus altarium vestrorum.* — Jer. 17. 1. Vide supra p. 54 B.

τοῦ Ἰούδα ὀνομαστί.

ἀδαμαντίνῳ, [r]ἐγκεκολαμμένη ἐπὶ τοῦ στήθους τῆς καρδίας αὐτοῦ, καὶ τοῖς κέρασι τῶν θυσιαστηρίων [s]ἡμῶν. Ἡνίκα d ἀναμνησθῶσιν οἱ υἱοὶ αὐτῶν τὰ θυσιαστήρια αὐτῶν, καὶ τὰ ἄλση αὐτῶν ἐπὶ ξύλου δασέος, καὶ ἐπὶ βουνῶν μετεώρων, ἰσχύν σου, καὶ πάντας τοὺς θησαυρούς σου εἰς προνομὴν δώσω, καὶ τὰ ὑψηλά σου ἐν ἁμαρτίᾳ ἐν πᾶσι τοῖς ὁρίοις σου. Καὶ ἀφαιρεθήσῃ, καὶ ταπεινωθήσῃ ἀπὸ τῆς κληρονομίας, ἧς ἔδωκά σοι, καὶ ἀναβιβῶ σε ἐν τοῖς ἐχθροῖς σου, ἐν τῇ γῇ [t]ᾗ οὐκ ἔγνως. Ὅτι πῦρ ἐκκέκαυται ἐν τῷ θυμῷ μου, ἕως αἰῶνος καυθήσεται.

2 Εἰ καὶ μὴ παρὰ τοῖς ο′, ἀλλ' [u]οὖν γε ἐν τῷ Ἑβραϊκῷ
ταῦτα εὑρόντες καὶ ἐν ταῖς τῶν λοιπῶν ἑρμηνευτῶν ἐκ-
δόσεσιν, ἔτι μὴν μετὰ παραθέσεως ἀστερίσκων καὶ ἐν
τοῖς ἀκριβέσι τῶν παρὰ τοῖς Ἑβδομήκοντα ἀντιγράφοις,
ἀναγκαίως αὐτὰ [x]παρεθέμεθα, ἅτε καὶ ὀνομαστὶ τὸν p. 485
προδότην Ἰούδα δηλοῦντα, καὶ τὴν πεπραγμένην αὐτῷ
ἁμαρτίαν ἀνεξάλειπτον εἶναι διδάσκοντα. Τοῦτο γὰρ
αἰνίττεσθαί μοι δοκεῖ τὸ, ἁμαρτία Ἰούδα ἐγγέγραπται ἐν
3 γραφείῳ σιδηρῷ, ἐν ὄνυχι ἀδαμαντίνῳ. Εἴη δ' ἂν καὶ ἐπὶ
πᾶν τὸ Ἰουδαίων ἔθνος ἀναφερόμενα, οἷς ἑξῆς καὶ ἀκο-

[r] ἐκκεκολαμμένη P.S. [s] ἡμῶν] ὑμῶν P. [t] ἣν] ᾗ P. [u] οὖν] οὖν γε S. [x] παραθέμεθα S.

Item de Juda nominatim.

Quum recordati fuerint filii eorum ararum suarum et lucorum suorum in ligno denso et in collibus excelsis, robur tuum et omnes thesauros tuos in direptionem dabo, et excelsa tua in peccato in omnibus finibus tuis, et privaberis et humiliaberis ab hæreditate, quam dedi tibi, et transferam te ad inimicos tuos in terram quam non nosti: quoniam ignis accensus est in furore meo, usque in sæculum ardebit. Tametsi hæc non apud LXX attamen in Hebraico nacti atque in reliquorum interpretum editionibus, item in exquisitioribus quoque ipsorum LXX exemplaribus cum appositione stellularum, necessario ea apposuimus, tanquam ea quæ nominatim ipsum proditorem Judam significent, et peccatum quod ab illo commissum est fieri non posse ut unquam aboleatur. Hoc enim mihi videtur significare illud, *Peccatum Juda scriptum est stylo ferreo in ungue adamantino.* Poterunt item referri ad universam Judaicam gentem, quibus deinceps ipso ordine post ipsorum scelus indelebile, extremam, quæ ipsos punitura est, perniciem interminatur,

λούθως μετὰ τὴν ἀνεξάλειπτον αὐτῶν ἀσέβειαν τὸν μετελθόντα αὐτοὺς ἔσχατον ὄλεθρον ἀπειλεῖ, ἅπερ κατὰ λέξιν ἑρμηνεύειν οὐ τοῦ παρόντος τυγχάνει καιροῦ.

Ἀλλὰ γὰρ τοσούτων περὶ τοῦ προδώσειν μέλλοντος b
τὸν Σωτῆρα καὶ Κύριον ἡμῶν τῶντε ἄλλως ἐπιβεβουλευκότων αὐτῷ προαναφωνηθέντων, καιρὸς ἰδεῖν καὶ τὰ ἀμφὶ τὸ πάθος αὐτοῦ μέλλοντα συμβήσεσθαι θεσπιζόμενα.

ΑΠΟ ΤΟΥ ΑΜΩΣ.

Περὶ τῆς ἐκλείψεως τοῦ ἡλίου τῆς ἐπὶ τῷ πάθει τοῦ Σωτῆρος ἡμῶν γεγενημένης, καὶ περὶ τοῦ παντελοῦς ὀλέθρου τοῦ Ἰουδαίων ἔθνους.

6 Ὀμνύει Κύριος κατὰ [y] ὑπερηφανίας Ἰακώβ, εἰ ἐπιλησθή- c
σεται εἰς νῖκος πάντα τὰ ἔργα ὑμῶν, καὶ ἐπὶ τούτοις οὐ
ταραχθήσεται ἡ γῆ, καὶ πενθήσει πᾶς ὁ κατοικῶν ἐν αὐτῇ,
καὶ ἀναβήσεται ὡς ποταμὸς [z] συντέλεια, καὶ καταβήσεται ὡς
ποταμὸς Αἰγύπτου καὶ ἔσται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, λέγει Κύ-
ριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ συσκοτάσει ἐπὶ τῆς
2 γῆς ἐν ἡμέρᾳ τὸ φῶς. Καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν d
εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ
ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλά-
κρωμα· καὶ θήσομαι αὐτὸν ὥσπερ πένθος ἀγαπητοῦ, καὶ τοὺς
μετ' αὐτοῦ ὡς ἡμέραν ὀδύνης. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει

[y] ὑπερηφανείας S. [z] ἡ συντέλεια] ἡ om. P.

quæ non est nunc singillatim ad verbum interpretandi tempus. Sed quando tam multa hactenus de eo, qui Salvatorem ac Dominum nostrum erat proditurus, aliisque qui illi insidias facturi erant, divinitus prædicta exposuimus, tempus jam fuerit quæ sub ipsam ejusdem passionem eventura fuerunt, ut item divinitus per prophetas denuntiata sint, intueri.

AB AMOS.

Amos 8, 7. De solis defectu, qui in ipsa Salvatoris nostri passione accidit, et de extremo Judaicæ gentis interitu.

6 *Jurat Dominus in superbiam Jacob, si obliviscetur in victoriam omnia opera vestra, et super his non turbabitur terra, et lugebit omnis qui habitat in ea, et ascendet quasi fluvius consummatio, et descendet quasi fluvius Ægypti, et erit in die illa dicit Dominus, occidet sol in meridie, et obtenebrabitur super terram in die lux, et convertam solennia vestra in luctum, et omnia cantica vestra in lamentum, et inducam super omnem lumbum saccum, et super omne caput calvitiem, et ponam eum tanquam luctum dilecti, et qui cum eo fuerint tanquam diem doloris. Ecce dies veniunt, dicit Dominus, et mittam famem in terram, non famem*

Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου, οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου. Καὶ σαλευθήσονται ὕδατα ἀπὸ θαλάσσης ἕως θαλάσσης, καὶ ἀπὸ Βορρᾶ ἕως ἀνατολῶν περιδραμοῦνται ζητοῦντες τὸν λόγον Κυρίου, καὶ οὐ μὴ εὕρωσι.

3 Τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ὕβριν καὶ ὑπερηφανίαν καὶ ἐπανάστασιν, ἣν ἐπανέστησαν αὐτῷ οἱ ἐκ περιτομῆς, θεσπίζουσα ἡ παροῦσα προφητεία, ὀμνύναι τὸν Κύριόν φησι καθ' ὑπερηφανίας Ἰακὼβ, ὡς οὐ μὴ γένοιτο λήθη p. 486
τῶν κατ' αὐτοῦ τετολμημένων αὐτοῖς, καὶ ὅτι πένθους ἄξια πείσεται ἡ γῆ αὐτῶν μετὰ καὶ τῶν οἰκητόρων, καὶ ὅτι οὐκέθ' ὡς τὸ πρὶν εἰς βραχὺ παιδευθέντες αὖθις ἀποκατασταθήσονται, ἀλλ' εἰς συντέλειαν τὰ κατ' αὐτοὺς ἥξει. Ἀναβήσεται γοῦν φησὶν ὡς ποταμὸς ἡ συντέλεια αὐτῶν, τὴν ἐπελθοῦσαν αὐτοῖς οὐδ' ἄλλοτε ἢ κατὰ τὴν Ῥωμαίων βασιλείαν ὀργὴν, ποταμὸν ἀναβησόμενον ἐπ' αὐτοὺς, ὡς ἐν ὕψει τὸ πρὶν ὄντας, αἰνιττό-
4 μενος. Καὶ δὴ μετὰ τὴν δηλωθεῖσαν κατ' αὐτῶν ἐκ τοῦ Θεοῦ ὀργὴν, αὖθις τὰ κατ' αὐτοὺς πράγματα, ὡς b
ποταμὸς, φησὶν, Αἰγύπτου καταβήσεται· δι' ὧν οἶμαι δηλοῦσθαι, ὅτι τὰ πάλαι μετέωρα καὶ παρὰ Θεῷ τετι-

panis, neque sitim aquæ, sed famem audiendi verbum Domini, et commovebuntur aquæ a mari usque ad mare, et ab Aquilone usque ad orientem circuibunt quærentes verbum Domini, et non invenient. Contumeliam et superbiam et insolentiam adversus Salvatorem nostrum, quam in illum excitarunt Judæi, hæc prophetia prædicens, jurare Dominum ait contra superbiam Jacob, non futuram esse oblivionem eorum, quæ contra ipsum ausi sint, dignaque luctu mala passuram esse ipsorum terram una cum habitatoribus, neque ultra sicut prius, ubi breviter emendati fuerint, esse iterum restituendos, sed in consummationem quæ ad ipsos spectant esse ventura. Siquidem *ascendet*, inquit, *ut fluvius consummatio* ipsorum : sic utique iram quæ illos non alias quam Romanis regnantibus invaserit, per fluvium ascensurum super eos, veluti qui prius in sublimi versarentur, significans. Deinceps post hanc, de qua dictum est, contra illos immissam a Deo iram, rursus ad illos spectantia negotia persequitur, *Ut fluvius*, inquit, *Ægypti descendet* : quibus verbis significari

μημένα καὶ ὥσπερ ἐν ὕψει κείμενα πλεονεκτήματα τοῦ Ἰουδαίων ἔθνους ὅμοια τοῖς ῥευστοῖς καὶ δίκην ποταμοῦ παρατρέχουσι τῶν ἀπίστων ἐθνῶν πράγμασι καταστήσεται, ἀφ' ὕψους [a] τε εἰς ταπεινὸν περιτραπήσεται.

5 Εἶθ' ἑξῆς τούτοις αὐτὰ δὴ τὰ ἀμφὶ τὸν καιρὸν τοῦ σωτηρίου πάθους συμβεβηκότα δηλῶν, ἐν ἐκείνῃ, φησὶ, τῇ ἡμέρᾳ, λέγει Κύριος, δύσεται ὁ ἥλιος μεσημβρίας, καὶ c συσκοτάσει ἐπὶ τῆς γῆς ἐν ἡμέρᾳ τὸ φῶς, ἃ καὶ ἐναργῆ τὴν ἔκβασιν εἴληφεν, ὅτε τοῦ Σωτῆρος ἡμῶν ὑψωθέντος κατὰ τὸν εὐαγγελιστὴν ἀπὸ ἕκτης ὥρας σκότος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν ἕως ὥρας ἐνάτης, περὶ δὲ τὴν ἐνάτην ὥραν ἀνεβόησεν ὁ Ἰησοῦς φωνῇ μεγάλῃ, λέγων [b] Ἠλὶ Ἠλὶ λαμᾶ σαβαχθανί.

6 Τούτων δὲ τοῦτον ἐπιτελεσθέντων τὸν τρόπον ἑξῆς ἐπιλέγει, καὶ μεταστρέψω τὰς ἑορτὰς ὑμῶν εἰς πένθος, καὶ πάσας τὰς ᾠδὰς ὑμῶν εἰς θρῆνον· καὶ ἀναβιβῶ ἐπὶ πᾶσαν ὀσφὺν σάκκον, καὶ ἐπὶ πᾶσαν κεφαλὴν φαλάκρωμα· καὶ d θήσομαι αὐτὸν ὥσπερ πένθος ἀγαπητοῦ, καὶ τοὺς μετ' [c] αὐτοῦ ὡς ἡμέραν ὀδύνης. Ἰδοὺ ἡμέραι ἔρχονται, λέγει

[a] τε om. S. [b] ἠλὶ ἠλὶ λεμᾶ P.S. cum interprete. [c] αὐτὸν S.

arbitror, quæ olim sublimia et apud Deum venerabilia fuerint, et quæ quasi in sublimi positæ Judaicæ gentis prælationes, ea similia et fluentis et rebus nationum fide carentium fluvii instar labentibus esse constituenda, ac de sublimiori in inferius esse præcipitanda. Deinde post hæc ipsa quæ dicta sunt ipso ordine ea quæ sub ipsum salutaris passionis tempus evenerint aperiens, *in illo*, inquit, *die dicit Dominus, occidet sol in meridie, et obtenebrabitur super terram in die lux,* quæ sane evidentem exitum sortita sunt tunc quum Salvatore in altum sublato, ut est apud evangelistam, *a sexta hora tenebræ factæ sunt super universam terram usque ad horam nonam, et circa horam nonam exclamavit Jesus voce magna dicens, Aeli, Aeli, lema sabachthani.* Matth. 27, 46.

Quæ quum in hunc modum suum finem contigerint, deinceps adjungit, *Et convertam solennia vestra in luctum, et omnia cantica vestra in lamentum, et inducam super omnem lumbum saccum, et super omne caput calvitiem, et ponam eum sicut luctum dilecti, et eos qui cum ipso fuerint, ut diem doloris. Ecce dies veniunt, dicit Dominus, et mittam*

Κύριος, καὶ ἐξαποστελῶ λιμὸν ἐπὶ τὴν γῆν, οὐ λιμὸν ἄρτου,
οὐδὲ δίψαν ὕδατος, ἀλλὰ λιμὸν τοῦ ἀκοῦσαι λόγον Κυρίου,
7 καὶ τὰ ἑξῆς. Ἅπερ ἅπαντα διὰ τὴν ὑπερηφανίαν αὐτῶν
τὴν κατὰ τοῦ Χριστοῦ γεγενημένην ἔσεσθαι προφητευ-
θέντα ἐναργῆ τὴν ἔκβασιν τῆς προρρήσεως ἀπεδείξατο
μετὰ τὴν κατὰ τοῦ Σωτῆρος ἡμῶν ἐπιβουλὴν αὐτῶν.
8 Οὐ πρότερον γοῦν, ἀλλ' ἐξ ἐκείνου καὶ εἰς δεῦρο μετ-
έστρεψεν αὐτῶν ὁ Θεὸς τὰς ἑορτὰς εἰς πένθος, καὶ τὰς
ᾠδὰς εἰς θρῆνον, τῆς περιβοήτου μητροπόλεως ἀποστε-
ρήσας αὐτούς, καὶ τὸ ἐν αὐτῇ σεμνὸν ἁγίασμα κατὰ τὴν p. 487
ἐπὶ Τίτου καὶ Οὐεσπασιανοῦ Ῥωμαίων αὐτοκρατόρων
ἡγεμονίαν καθελών, ὡς μὴ δὲ ἐλθόντας δύνασθαι ἐπ'
αὐτῆς τὰς ἐννόμους ἑορτὰς καὶ πανηγύρεις ἐπιτελεῖν.
Τί δεῖ λέγειν, ὡς ὁ λιμὸς τοῦ ἀκοῦσαι λόγον Κυρίου
πάντας αὐτοὺς μετῆλθεν, ἀνθ' ὧν ἐξήλασαν ἑαυτῶν τὸν
τοῦ Θεοῦ Λόγον, ὁμοθυμαδὸν αὐτὸν ἀρνησάμενοι, καὶ
ἀπαρνηθέντες ὑπ' αὐτοῦ;

ΑΠΟ ΤΟΥ ΖΑΧΑΡΙΟΥ. b

7 Ἔτι περὶ Καὶ παρέσται Κύριος ὁ Θεός μου, καὶ πάντες [d] οἱ ἅγιοι

[d] οἱ suprasc. P.

famem super terram, non famem panis, neque sitim aquæ, sed famem audiendi verbum Domini, et quæ sequuntur: quæ quidem omnia propter superbiam ipsorum, qua adversus Christum usi sunt, divinitus prædicta evidentem oraculi exitum ostenderunt, post ipsorum adversus Salvatorem nostrum insidias. Non ergo ante illud tempus, sed ex illo tempore in hunc usque diem solennia illorum in luctum convertit Deus, et cantica in lamentum: quippe qui illos celeberrima civitate privaverit, et venerabile illud sanctuarium quod in illa erat, Tito ac Vespasiano apud Romanos imperantibus, everterit, usque adeo ut non amplius venire et celebrare in ea legitima solennia et legitimos conventus possint. Cæterum quid opus est dicere quemadmodum fames audiendi verbum Domini omnes illos invaserit, propterea quod procul a seipsis Dei Verbum exegerint, quum illud uno animo negaverunt et ab eodem negati sunt?

A ZACHARIA.

7 Zach. 14, 6. Item de so- *Et adveniet Dominus Deus meus, et omnes sancti cum eo, in die illa*

μετ᾽ αὐτοῦ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ οὐκ ἔσται φῶς, καὶ ψύχος
καὶ πάγος ἔσται μίαν ἡμέραν. Καὶ ἡ ἡμέρα ἐκείνη γνωστὴ
τῷ Κυρίῳ, καὶ οὐχ ἡμέρα, καὶ οὐ νὺξ, [e]πρὸς ἑσπέραν ἔσται c
φῶς. Καὶ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐξελεύσεται ὕδωρ ζῶν ἐξ
Ἱερουσαλὴμ, τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν πρώτην,
καὶ τὸ ἥμισυ αὐτοῦ εἰς τὴν θάλασσαν τὴν ἐσχάτην. Ἐν
θέρει καὶ ἐν ἔαρι ἔσται οὕτως. Καὶ ἔσται Κύριος εἰς βασιλέα
ἐπὶ πᾶσαν τὴν γῆν. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἔσται Κύριος εἷς,
καὶ τὸ ὄνομα αὐτοῦ ἓν, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ τὴν
ἔρημον.

τῆς ἐκλείψεως τοῦ ἡλίου, καὶ τοῦ κατὰ τὸ σωτήριον πάθος καιροῦ.

2 Καὶ ταῦτα ἐπὶ τῆς παρουσίας τοῦ Σωτῆρος ἡμῶν
ἐπληροῦτο, ἣν ἐποιήσατο, ἤτοι μετὰ τῶν ἱερῶν ἀποστό-
λων αὐτοῦ καὶ μαθητῶν, ἢ μετὰ τῶν ἁγίων αὐτοῦ, θείων
τινῶν δυνάμεων καὶ ἀσωμάτων πνευμάτων, ἀγγέλων τε d
καὶ λειτουργῶν αὐτοῦ, περὶ ὧν εἴρηται ἐν τοῖς ἱεροῖς
εὐαγγελίοις, ὅτι προσῆλθον αὐτῷ ἄγγελοι, καὶ διηκόνουν
3 αὐτῷ. Κατὰ δὲ τὴν ἡμέραν ἐκείνην, (οὕτω δὲ φίλον
ἀποκαλεῖν [f]τῇ ἱερᾷ γραφῇ πάντα τὸν χρόνον τῆς ἐν
ἀνθρώποις αὐτοῦ διατριβῆς,) ἐπληροῦτο μετὰ τῶν ἄλλων
προρρήσεων καὶ τὰ ἐν χερσὶ τεθεσπισμένα, ὁπηνίκα
παρὰ τὸν τοῦ πάθους αὐτοῦ καιρὸν ἀπὸ ὥρας ἕκτης σκό-

[e] τὸ πρὸς] τὸ om. P. [f] τὴν ἱερὰν γραφὴν P.S.

non erit lux, et frigus, et gelu erit in uno die, et dies ille notus Domino, et neque dies, neque nox, ad vesperam erit lux, et in die illa egredietur aqua viva de Hierusalem, dimidium ejus in mare primum, et dimidium ejus in mare extremum, in æstate et in vere erit sic, et erit Dominus in regem super universam terram, in die illa erit Dominus unus, et nomen ejus unum, ambiens omnem terram et solitudinem. Hæc quoque in adventu Salvatoris nostri completa sunt: quum advenit, sive cum suis sacris apostolis, sive cum suis sanctis, divinis videlicet quibusdam potestatibus et incorporeis spiritibus, necnon angelis et ministris suis, de quibus dictum est in sacris evangeliis, quod utique *ad illum accesserint angeli, et illi ministraverint.* Porro autem die illo (sic autem sacræ literæ consueverunt omne tempus vocare, quo ille inter homines versatus est) una cum aliis prædictionibus etiam quod nunc tractatur oraculum completum est, quum utique sub illius passionis tempus *ab hora sexta tenebræ factæ sunt super universam terram usque*

lis defectu, et de tempore salutaris passionis.

Matth. 4, 11.

τος ἐγένετο ἐπὶ πᾶσαν τὴν γῆν, ἕως ὥρας ἐνάτης. Διό φησιν ἡ προφητεία, ἐν τῇ ἡμέρᾳ ἐκείνῃ οὐκ ἔσται φῶς. Καὶ πάλιν, καὶ οὐχ ἡμέρα καὶ οὐ νὺξ, τὸ πρὸς ἑσπέραν
4 ἔσται φῶς. Δι' ὧν λευκότατα [g]ἡγοῦμαι τὴν τοῦ καιροῦ κατάστασιν, ἐν ᾧ τοῦ Σωτῆρος ἀνυψωθέντος καὶ ἡμέρας οὔσης νὺξ ἀπὸ ὥρας ἕκτης τὸ περιέχον συνέσχε μέχρι p. 488
τῆς ἐνάτης, μεθ' ἣν αὖθις τοῦ σκότους διαλείποντος ἡμέρα καὶ φῶς ἐγίνετο, μεθ' ἃ πάλιν συνήθως ἡ νὺξ κατελάμβανεν. Ἅπερ ὁ τῆς προφητείας λόγος ᾐνίττετο φάσκων, καὶ ἡμέρα ἐκείνη γνωστὴ τῷ Κυρίῳ, καὶ οὐχ
5 ἡμέρα καὶ οὐ νὺξ, πρὸς ἑσπέραν ἔσται φῶς. Οὐχ ἡμέρα μὲν γὰρ ἦν διὰ τὸ μεσημβρινὸν σκότος· καὶ πάλιν οὐ νὺξ διὰ τὴν ἐπικαταλαβοῦσαν ἡμέραν, ἣν παρέστησεν ἐπισημηνάμενος διὰ τοῦ φάναι τὸ πρὸς ἑσπέραν ἔσται φῶς. Τίς δ' οὐκ ἂν θαυμάσειε [h]καὶ τῆς χειμαδίου ὥρας τὴν μνήμην; ἣν καὶ αὐτὴν ἐθέσπισεν ὁ λόγος φήσας, b
καὶ ψύχος καὶ πάγος ἔσται· ὃ καὶ αὐτὸ ἡ τοῦ εὐαγγελίου μαρτυρία συνίστησιν, ὁπηνίκα ὁ Πέτρος ἀκολουθῶν τῷ Ἰησοῦ, περιαψάντων πυρὰν ἐν τῇ αὐλῇ τοῦ Καϊάφα,
6 μετὰ τῶν ἄλλων ἐθερμαίνετο. Ὁ γοῦν Ἰωάννης ἀντι-

[g] ἡγοῦμαι] Deesse videtur δηλοῦσθαι vel simile quid. [h] καὶ add. P.

ad horam nonam. Ex quo sic ait prophetia, *In die illo non erit lux.* Et rursus, *Et neque dies, neque nox, ad vesperam erit lux*, quibus verbis perspicue indicari puto illius temporis conditionem, quum Salvatore nostro altius sublato in ipsa diei luce nox ab hora VI id quod circum terram est obtinuit usque ad horam IX, post quam rursus desinentibus tenebris dies et lux reversa est, post quæ rursus consueta nox secuta est. Quæ omnia sermo propheticus innuit, ubi ait, *Et dies ille notus Domino, et neque dies, neque nox, ad vesperam erit lux,* dies quidem ille non erat propter meridianas tenebras, sed nec item nox propter ipsius diei recursum, quem indicavit significans per illa verba, *ad vesperam erit lux.* Quis autem non admiretur etiam hybernæ horæ commemorationem? quam ipsam itidem divinavit oraculum, quum ait, *Et frigus et gelu erit:* quod item ipsum evangelii testimonium commendat, quum Petrus dum Jesum sequitur, accenso igne in atrio Caiphæ, una cum aliis calefaciebat se. Proinde Joannes

κρυς καὶ τοῦ ψύχους ἐμνημόνευσεν εἰπὼν, [i] εἱστήκεισαν οἱ
δοῦλοι καὶ οἱ ὑπηρέται ἀνθρακιὰν πεποιηκότες, ὅτι ψύχος
7 ἦν, καὶ ἐθερμαίνοντο. Καὶ πρὸς μὲν τὴν λέξιν τοιούτου
τέλους ἐτύγχανε τὰ προηγορευμένα· πρὸς δὲ διάνοιαν,
τὸ πᾶν Ἰουδαίων ἔθνος, τοῦ σωτηρίου φωτὸς αὐτοῖς
ἐπιλάμψαντος, αὐτῶν τε μᾶλλον τὸ σκότος ἢ τὸ φῶς c
ἑλομένων, τοῦθ' ὅπερ καὶ εἵλοντο μετῆλθεν αὐτοὺς, ἀνα-
χωρήσαντος μὲν αὐτῶν τοῦ φωτὸς, διαλαβούσης δὲ
αὐτοὺς νυκτὸς ἀφεγγοῦς, σκοτισθείσης αὐτῶν τῆς δια-
νοίας, πρὸς τὸ μὴ διαυγάσαι τὸν φωτισμὸν τοῦ εὐαγ-
γελίου ἐν ταῖς καρδίαις αὐτῶν, ἀλλὰ καὶ ψυγείσης τῆς
πρὸς τὸν Θεὸν ἀγάπης αὐτῶν, τὰ σύμβολα τούτων εἰ-
κότως ἐτελεῖτο, ἐπληροῦτό τε ἑξῆς τὰ τῆς προρρήσεως,
κατὰ τὴν τοιάνδε τῆς σωτηρίου ἐπιφανείας ἡμέραν ὕδα-
τος ζῶντος ἐξελθόντος ἐξ Ἰερουσαλὴμ, εἰς πάντα τὰ
ἔθνη προελθόντος τοῦ γονίμου καὶ ζωτικοῦ [k] λόγου τῆς d
εὐαγγελικῆς διδασκαλίας, ἀρξαμένου μὲν ἀπὸ τῆς Ἰου-
δαίας, καὶ ἐξ [l] αὐτῆς γε τῆς Ἱερουσαλὴμ, [m] διαδοθέντος δὲ
εἰς πᾶσαν τὴν γῆν, καὶ εἰς πάντα τὰ τῆς οἰκουμένης

[i] εἱστήκαν S. [k] λόγου add. P. [l] αὐτῆς γε] αὐτῆς τε P.
[m] διαδοθέντος δὲ] διαδοθέντος τε P.

frigoris quoque mentionem apertissime facit, dicens, *Stabant servi et ministri ad prunas, quia frigus erat, et calefaciebant se.* Et ad verbum quidem hujusmodi finem contigerunt, quæ sic prædicta sunt: ad sensum vero, quum Judæis salutare lumen illuxisset, ipsique potius tenebras quam lumen amplexi essent, hoc quod ab ipsis electum assumptumque est universam ipsorum nationem invasit. Quum enim ipsi recessissent a luce, et eos obscura nox occupasset, obscuratis ipsorum mentibus, eo quod illuminatio evangelica radios suos in corda ipsorum non immitteret, quinetiam refrigerata ipsorum erga Deum charitate talium rerum signa merito expressa sunt, et in tali salutaris adventus die completa sunt ea, quæ ad hoc oraculum pertinent, dum aqua vivens erumpit ex Hierusalem, et in omnes gentes progreditur fœcundus et vitæ apportator evangelicæ doctrinæ sermo: qui quum profectus sit de Judæa et de ipsa Hierusalem disseminatus postea est in omnem terram et in omnes orbis terrarum fines. Hujus Jo. 18,18.

8 πέρατα. Τούτου δὲ τοῦ ὕδατος καὶ αὐτὸς ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν μνημονεύει λέγων πρὸς τὴν [n] Σαμαρεῖτιν,
*εἰ ᾔδεις τίς ἐστὶν ὁ αἰτῶν σε πιεῖν, σὺ ἂν ᾔτησας αὐτὸν, καὶ
ἔδωκεν ἄν σοι ὕδωρ ζῶν.* Ὅση δὲ τοῖς ἀπογευσαμένοις
τοῦ ζῶντος καὶ λογικοῦ νάματος ὑπῆρξεν ὠφέλεια παρ-
ίστησιν ἑξῆς διδάσκων ὡς οἱ πιόντες αὐτοῦ, τοὺς πάλαι
πολλοὺς βασιλεύσαντας αὐτῶν δαίμονας πονηροὺς ἀπ-
αρνησάμενοι, τὸν ἕνα Κύριον καὶ βασιλέα σφῶν αὐτῶν
[o] ὁμολογήσουσι, καὶ ὡς ὁ Κύριος ὁ μόνοις τὸ πρὶν
Ἑβραίοις γνωριζόμενος γενήσεται βασιλεὺς πάντων τῶν p. 489
εἰς αὐτὸν ἐξ ἁπάσης τῆς γῆς πιστευσάντων ἐθνῶν, καὶ
τὸ ὄνομα αὐτοῦ ἓν ἔσται, κυκλοῦν πᾶσαν τὴν γῆν καὶ
9 τὴν ἔρημον. Ὃ καὶ αὐτὸ τίς οὐκ ἂν ὁρῶν ἐκπλαγείη;
Ἀπὸ γοῦν τῆς Χριστοῦ προσηγορίας, (αὐτὸς δὲ ἦν ὁ
Χριστὸς ὁ Κύριος,) τὸ τῶν Χριστιανῶν ὄνομα πάντα
τόπον καὶ πόλιν καὶ χώραν καὶ αὐτά γε τὰ ἐν ταῖς ἐρή-
μοις καὶ ταῖς ἐσχατιαῖς τῆς γῆς οἰκοῦντα ἔθνη περιεκύ-
κλωσε τοῖς τῆς προφητείας ἀκολούθως θεσπίσμασιν.

[n] σαμαρείτην S. [o] ὁμολογήσουσι] ὁμολογοῦσι S.

vero aquæ ipse quoque Salvator ac Dominus noster meminit, dum Jo. 4, 10. loquitur cum muliere Samaritana, *Si scires*, inquit, *qui est qui petit a te bibere, tu petisses ab eo, et dedisset tibi aquam vivam.* Quanta autem ad eos, qui vivam rationalemque aquam gustaverint, ventura sit utilitas, declarat deinceps, dum docet quemadmodum qui eam aquam biberint, et multos illos, qui antea ipsis imperabant, malignos dæmonas abnegaverint, ii unum sui ipsorum et Dominum et regem confitebuntur, item quod is Dominus, qui ab unis Hebræis antea noscebatur, rex fiet omnium earum nationum, quæ ex universa terra in ipsius fidem venerint: et nomen ejus unum erit, ambiens universam terram et solitudinem, quod quidem ipsum ubi quis viderit, qui fieri possit ut non admiretur? Etenim a Christi vocabulo, (Christus porro ipse Dominus est,) Christianorum nomen deductum omnem locum et civitatem et regionem ipsasque in desertis orisque extremis terræ habitantes nationes circuivit, fidem eo modo faciens et consentiens hujusce prophetiæ vaticinio.

ΑΠΟ ΨΑΛΜΟΥ κα'.

Περὶ τῶν κατὰ τὸ σωτήριον πάθος ἐπιτελεσθέντων. Εἰς τὸ τέλος ὑπὲρ τῆς ἀντιλήψεως τῆς ἑωθινῆς.

8 Ὁ Θεὸς ὁ Θεός μου, πρόσχες μοι, ἱνατί ἐγκατέλιπές με;
μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων
μου. Ὁ Θεός μου κεκράξομαι ἡμέρας πρός σε, καὶ οὐκ c
εἰσακούσῃ· καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Σὺ δὲ ἐν
ἁγίοις κατοικεῖς, ὁ ἔπαινος τοῦ Ἰσραήλ. Ἐπί σοι ἤλπισαν
οἱ πατέρες ἡμῶν, ἤλπισαν, καὶ ἐρρύσω αὐτούς. Πρός σε
ἐκέκραξαν καὶ ἐσώθησαν· ἐπί σοι ἤλπισαν οἱ πατέρες ἡμῶν,
2 καὶ οὐ κατησχύνθησαν. Ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄν-
θρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα λαοῦ. Πάντες οἱ
θεωροῦντές με ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκί-
νησαν κεφαλὴν, ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω
αὐτὸν, ὅτι θέλει αὐτόν. Ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ d
γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπί σε
ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ
σύ. Μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι [p]θλίψις ἐγγὺς, ὅτι οὐκ
3 ἔστιν ὁ βοηθῶν. Περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι
πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα αὐτῶν, ὡς
λέων ἁρπάζων καὶ [q]ὠρυόμενος. Ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ
διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου. Ἐγενήθη ἡ καρδία μου
ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς κοιλίας μου. Ἐξηράνθη

[p] θλίψεις S. [q] ὠρούμενος] ὠρυόμενος P. et mox ἐξεχύθη, ubi S. ἐξεχύθην ut vulg.

A PSALMO XXI.

Ps. 21, 1. De iis quæ in ipsa salutari passione facta sunt. In finem pro susceptione matutina.

8 *Deus Deus meus respice in me, quare me dereliquisti? longe a salute mea verba delictorum meorum. Deus meus clamabo per diem ad te, et non exaudies: et per noctem, et non ad insipientiam mihi. Tu autem in sanctis habitas, laus Israel. In te speraverunt patres nostri, speraverunt, et liberasti eos. Ad te clamaverunt, et salvi facti sunt. In te speraverunt, et non sunt confusi. Ego autem sum vermis et non homo: opprobrium hominum et abjectio plebis. Omnes videntes me subsannaverunt me, locuti sunt labiis, et moverunt caput, speravit in Domino, eripiat eum, salvum faciat eum, quoniam vult eum. Quoniam tu es, qui extraxisti me de ventre: spes mea ab uberibus matris meæ. In te projectus sum ex utero. De ventre matris meæ Deus meus es tu, ne discesseris a me, quoniam tribulatio proxima est, quoniam non est qui adjuvet. Circumdederunt me vituli multi: tauri pingues obsederunt me. Aperuerunt super me os suum, ut leo rapiens et rugiens. Sicut aqua effusus*

ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ γλῶσσά μου κεκόλληται τῷ
λάρυγγί μου, καὶ εἰς χοῦν θανάτου κατήγαγές με. Ὅτι p. 490
ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων περι-
4 έσχον με. Ὤρυξαν χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν
πάντα τὰ ὀστᾶ μου. Αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με·
διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν
μου ἔβαλον κλῆρον. Σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοή-
θειάν μου, εἰς τὴν ἀντίληψίν [r]μου πρόσχες. Ῥῦσαι ἀπὸ
ῥομφαίας τὴν ψυχήν μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ
μου. Σῶσόν με ἐκ στόματος λέοντος, καὶ ἀπὸ κεράτων b
5 μονοκερώτων τὴν ταπείνωσίν μου. Διηγήσομαι τὸ ὄνομά
σου τοῖς ἀδελφοῖς μου, ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε. Οἱ
φοβούμενοι [s]τὸν Κύριον αἰνέσατε αὐτόν· ἅπαν τὸ σπέρμα
Ἰακὼβ δοξάσατε αὐτόν. Φοβηθήτωσαν αὐτὸν ἅπαν τὸ
σπέρμα Ἰσραὴλ, ὅτι οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ
δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ
ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν, εἰσήκουσέ μου
παρά σου ὁ ἔπαινός μου ἐν ἐκκλησίᾳ μεγάλῃ· τὰς εὐχάς μου
6 ἀποδώσω ἐνώπιον τῶν φοβουμένων [t]αὐτόν. Φάγονται πένη- c
τες καὶ ἐμπλησθήσονται, καὶ αἰνέσουσι Κύριον οἱ ἐκζητοῦντες

[r] μου om. S. [s] τὸν om. S. [t] αὐτῶν S.

sum, et dispersa sunt omnia ossa mea. Factum est cor meum tanquam cera liquescens, in medio ventris mei. Aruit tanquam testa virtus mea. Et lingua mea adhæsit gutturi meo, et in pulverem mortis deduxisti me: quoniam circumdederunt me canes multi. Congregatio malignantium obsedit me. Foderunt manus meas et pedes meos: dinumeraverunt omnia ossa mea. Ipsi vero consideraverunt, et inspexerunt me: diviserunt vestimenta mea sibi, et super vestem meam miserunt sortem. Tu autem Domine ne procul amoveas auxilium meum. Ad susceptionem meam respice. Eripe a framea animam meam, et ex manu canis unicam meam. Salva me ex ore leonis, et a cornibus unicornium humilitatem meam. Narrabo nomen tuum fratribus meis. In medio ecclesiæ laudabo te. Qui timetis Dominum, laudate eum. Omne semen Jacob glorificate eum. Timeant eum omne semen Israel: quoniam non sprevit, neque moleste tulit deprecationem pauperis, neque avertit faciem suam a me, et quum clamarem ad eum, exaudivit me. A te laus mea in ecclesia magna. Vota mea reddam in conspectu timentium eum. Comedent pauperes, et saturabuntur, et laudabunt Dominum, qui requirunt eum: vivent corda eorum in sæculum sæculi. Reminiscentur et convertentur ad Dominum omnes fines terræ, et adorabunt in con-

7 αὐτόν. Ζήσονται αἱ καρδίαι αὐτῶν εἰς αἰῶνα τοῦ αἰῶνος,
μνησθήσονται καὶ ἐπιστραφήσονται πρὸς Κύριον πάντα τὰ
πέρατα τῆς γῆς, καὶ προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι
αἱ πατριαὶ τῶν ἐθνῶν, ὅτι τοῦ Κυρίου ἡ βασιλεία, καὶ αὐτὸς
δεσπόζει τῶν ἐθνῶν. Ἔφαγον καὶ προσεκύνησαν πάντες οἱ d
πίονες τῆς γῆς, ἐνώπιον αὐτοῦ [u] προσπεσοῦνται πάντες οἱ
καταβαίνοντες εἰς τὴν γῆν. Καὶ ἡ ψυχή μου αὐτῷ ζῇ, καὶ
τὸ σπέρμα μου δουλεύσει αὐτῷ. Ἀναγγελήσεται τῷ Κυρίῳ
γενεὰ ἡ ἐρχομένη, καὶ ἀναγγελοῦσι τὴν δικαιοσύνην αὐτοῦ
λαῷ τῷ τεχθησομένῳ, ὃν ἐποίησεν ὁ Κύριος.

8 Τὸ, ὁ Θεός μου πρόσχες μοι, ἱνατί ἐγκατέλιπές με,
ἐν ἀρχαῖς τοῦ Ψαλμοῦ λεγόμενον, κατὰ τὸν Ματθαῖον
ὑπὸ τοῦ Σωτῆρος ἡμῶν παρὰ τὸν τοῦ πάθους καιρὸν
οὕτως εἴρηται, γενομένης δὲ ὥρας ἕκτης, σκότος ἐγένετο ἐφ'
ὅλην τὴν γῆν ἕως ὥρας ἐνάτης, καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν
Ἰησοῦς φωνῇ μεγάλῃ Ἐλωεὶμ Ἐλωεὶμ [x] λαμᾶ σαβαχθανὶ,
ὅ ἐστι μεθερμηνευόμενον, ὁ Θεὸς ὁ Θεός μου ἱνατί ἐγκατέ-
λιπές με; Εἴληπται δὲ ἡ Ἑβραϊκὴ λέξις ἀπὸ τῆς ἐν
9 χερσὶ προφητείας. Αὐταῖς γοῦν συλλαβαῖς τὸ ἠλεὶ
ἠλεὶ λαμᾶ σαβαχθανὶ ἡ τοῦ Ψαλμοῦ καταρχὴ περιέχει,
ὅπερ ὁ Ἀκύλας τοῦτον ἡρμήνευσε τὸν τρόπον, ἰσχυρέ

[u] προπεσοῦνται S. [x] λεμᾶ S. et inf.

spectu ejus universæ familæ gentium: quoniam Domini est regnum, et ipse dominatur gentibus, comederunt et adoraverunt omnes pingues terræ, in conspectu ejus prolabentur omnes qui descendunt in terram, et anima mea illi vivit, et semen meum serviet ei, annunciabitur Domino generatio ventura, et annunciabunt justitiam ejus populo qui nascetur, quem fecit Dominus. Illud quidem *Deus Deus meus respice in me, quare dereliquisti me,* quod initio Psalmi dictum est, a Salvatore nostro, ut est apud Matthæum, ipso passionis tempore dictum est, in hunc modum, *A sexta autem hora tenebræ factæ sunt super universam terram usque ad horam nonam, et hora nona clamavit Jesus voce magna, Eloim, Eloim, lema sabachthani, quod ex interpretatione est, Deus Deus meus, quare dereliquisti me?* Accepta vero sunt Hebraica verba ex ea quæ nunc est in manibus prophetia. Siquidem vel iisdem syllabis illud ipsum, *Eli, Eli, lema sabachthani,* initio Psalmi continetur, quod Aquila in hunc modum interpretatus est, *Fortis*

Matth. 27, 46.

μου, ἰσχυρέ μου, ἱνατί ἐγκατέλιπές με; Ταῦτα δὲ ὅτι p. 491
τοῖς ὑπὸ τοῦ Σωτῆρος ἡμῶν κατὰ τὸν τοῦ πάθους [y] καιρὸν
εἰρημένοις ἰσοδυναμεῖ, πᾶς ὅστις οὖν ὁμολογῆσαι
10 ἄν. Ὥρα τοιγαροῦν ἀναμφιλόγως τὸν Ψαλμὸν οὐδ'
ἐφ' ἕτερον ἢ ἐπὶ μόνον αὐτὸν ἀναφέρειν, ἐπειδὴ αὐτῷ
μόνῳ καὶ οὐδ' ἑτέρῳ ἁρμόζει τὰ ἐμπεριεχόμενα. Ἄντικρυς
γοῦν ἐπ' αὐτῷ πεπληρωμένα τά τε ἄλλα ἀποδείκνυται,
καὶ δὴ [z] καὶ τὸ φάσκον ἐν τῷ Ψαλμῷ, *διεμερίσαντο τὰ
ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον
11 κλῆρον.* Καὶ τὴν κατάπαρσιν δὲ τῶν ἥλων, τῶν κατὰ
τῶν χειρῶν καὶ ποδῶν ἐπὶ τοῦ σταυροῦ προσηλωθέντων b
αὐτῷ, διαρρήδην ἐμφαίνει [a] λέγων, *ὤρυξαν χεῖράς μου, καὶ
πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου.* Καὶ τὰ
λοιπὰ δὲ μόνῳ ἂν ἐφαρμόσαι αὐτῷ, ὡς προϊὼν ὁ λόγος
παραστήσει· ἢ ὁ βουλόμενος ἐφ' ἕτερον [b] μεταλαβὼν
πρόσωπον, ἤτοι βασιλέως ἢ προφήτου ἢ καί τινος τῶν
12 πώποτε παρὰ Ἰουδαίοις θεοφιλῶν, δεικνύτω εἰ οἷός τε
εἴη ἐφαρμόζειν τὰ ἀναγεγραμμένα. Τίνι γὰρ τῶν πώ-

[y] καιρὸν om. S. [z] καὶ et mox τῷ add. P. ut vulg. S. [a] λέγων διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς καὶ ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. καὶ ὤρυξαν P.S. [b] μεταλαβεῖν] μεταλαβὼν P.

meus, fortis meus, quare dereliquisti me? Porro quod hæc eandem cum iis, quæ passionis tempore a Salvatore nostro dicta sunt, habeant vim, nemo utique negaverit. Tempus igitur jam nunc fuerit Psalmum ipsum absque controversia ad alium nullum referre quam ad illum: quandoquidem illi uni et nulli præterea alii, quæ in eo continentur, conveniunt. Planissime igitur in illo quum alia completa esse constat, quæ in hoc Psalmo leguntur, tum vero etiam illud quod ita ait, *Diviserunt vestimenta mea sibi, et super vestem meam miserunt sortem.* Trajectionem vero clavorum qui illius manibus ac pedibus in cruce affixi sunt evidentissime indicat, dum ait, *Foderunt manus meas et pedes meos, dinumeraverunt omnia ossa mea.* Sic etiam reliqua uni illi nec alii cuipiam præterea convenient, quemadmodum progressa longius oratio demonstrabit, aut certe quivis suo arbitratu quamvis aliam proferat personam aut regis, aut prophetæ, aut alicujus eorum qui quondam apud Judæos Dei amici et familiares extiterint, ostendatque, si possit, ea quæ ita descripta sunt huic convenire. Sed

ποτε κυοφορουμένων ἐπὶ τοσοῦτον παρῆν ἀρετῆς καὶ
δυνάμεως, ὥστε καθεστῶτι λογισμῷ καὶ ἀσυγχύτῳ c
ψυχῇ νηφαλίῳ τε φρονήματι Θεοῦ γνῶσιν ἀναλαβεῖν,
καὶ πᾶσαν ἐπὶ τὸν Θεὸν ἀναρτῆσαι αὐτοῦ τὴν ἐλπίδα,
ὥστ᾽ ἂν εἰπεῖν, ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς μη-
τρός μου, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπὶ
σε ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός μου Θεός μου
13 εἶ σύ. Τίς δὲ τοιοῦτος Θεῷ μεμελημένος ὄνειδος ἀνθρώ-
πων γέγονε καὶ ἐξουθένημα λαοῦ; ὑπὸ τίνων δὲ καὶ
ποδαπῶν μόσχων καὶ ταύρων χρὴ νοεῖν τὸν τοιόνδε d
κεκυκλῶσθαι; τί δὲ παθὼν ὁ δηλούμενος ὡσεὶ ὕδωρ
ἐξεχύθη; καὶ πῶς διεσκορπίσθη αὐτοῦ τὰ ὀστᾶ; πῶς δὲ
εἰς χοῦν θανάτου κατήχθη, καὶ καταχθεὶς εἰς χοῦν θανάτου
τὰ τοιαῦτα λαλεῖ ἔτι καὶ ζῇ καὶ φθέγγεται; τίνες δὲ
οἱ κύνες οἱ κυκλώσαντες αὐτὸν, ἕτεροι ὄντες παρὰ τοὺς
προωνομασμένους ταύρους καὶ μόσχους; ποία δὲ συν-
αγωγὴ πονηρευομένων τὰς χεῖρας οὐ μόνον ἀλλὰ καὶ
τοὺς πόδας τοῦ τηλικούτου ὤρυξαν, ἀποδύσαντές τε
αὐτὸν τὰ μέν τινα διείλοντο αὐτοῦ τῶν ἐνδυμάτων, τὰ
δὲ καὶ κλήρῳ λαχόντες ἔλαβον; τίς δὲ ἡ ῥομφαία καὶ

enim cui unquam eorum, quos in utero mater gestaverit, tantum virtutis tantumque virium adfuit, ut constanti cogitatione animoque imperturbato et mente sobria et erecta Dei cognitionem acceperit, et omnem suam spem in Deo collocaverit, usque adeo ut potuerit dicere, *quoniam tu es qui extraxisti me de ventre matris meæ, spes mea ab uberibus matris meæ, in te projectus sum ex utero, de ventre matris meæ Deus meus es tu.* Quis porro unquam ubi ipse tantæ curæ Deo fuerit, post *opprobrium hominum et abjectio populi* factus est? a quibus autem et cujusmodi vitulis aut tauris intelligendum est hunc fuisse circundatum? et quid tandem huic ipsi accidit, *ut quasi aqua effusus sit?* et quomodo ejusdem *ossa dispersa sunt?* et qua ratione *in pulverem mortis deductus est?* et simul ac in talem pulverem est deductus, adhuc et talia loquitur et vivit et vocalem se præstat? et quinam alii canes illum circundederunt præter eos, quos dixit et tauros et vitulos? quod vero consilium malignantium non solum manus sed etiam pedes hujusce de quo sermo est foderunt? qui etiam postquam eundem exuerunt, partem quidem vestimentorum

ὁ κύων καὶ ὁ λέων; τίνες δὲ οἱ λεγόμενοι μονοκέρωτες,
τὸν δηλούμενον περιέχοντες; πῶς δὲ μετὰ τὴν πρὸς p. 492
τοσούτους πάλην, μετὰ τὸ εἰς χοῦν θανάτου καταχθῆναι,
ἐπαγγέλλεται τὸ ὄνομα τοῦ πατρὸς διηγεῖσθαι, οὐ πᾶσιν,
ἀλλὰ μόνοις τοῖς ἑαυτοῦ ἀδελφοῖς; τίνες τε οἱ ἀδελφοί,
τίς τε ἡ ἐκκλησία, περὶ ἧς φησὶν ὁ τὰ τοιαῦτα παθών,
ἐν μέσῳ ἐκκλησίας ὑμνήσω σε; οἷς καὶ ἐπιλέγει, ὡς ἄρα
οὐχ ἓν τὸ Ἰουδαίων ἔθνος, πάντα δὲ τὰ πέρατα τῆς γῆς
[c]συναισθήσονται, καὶ ἐπιστραφήσονται πρὸς Κύριον, καὶ
προσκυνήσουσιν ἐνώπιον αὐτοῦ πᾶσαι αἱ πατριαὶ τῶν ἐθνῶν;
Καὶ σὺ δὲ παρὰ σαυτῷ βασανίσας ἑκάστην λέξιν τοῦ
Ψαλμοῦ θέα εἰ δυνατὸν ἐπὶ τὸν τυχόντα ἀναφέρειν τὰ b
14 θεσπιζόμενα. Ἀλλ' οὐκ ἂν εὕροις ἑτέρῳ [d]τῳ ἐφαρμόττειν
αὐτὰ ἢ μόνῳ [e]τῷ Σωτῆρι ἡμῶν, ὃς πάντων πιστότατος
ἂν εἴη καὶ ἀληθέστατος, εἰς ἑαυτοῦ πρόσωπον ἀνειληφὼς
τὴν ἀπὸ τοῦ Ψαλμοῦ φωνήν, ὡς ἐμαρτύρησαν οἱ εὐαγγελισταί· ὁ μὲν Ματθαῖος δι' ὧν παρεθέμεθα αὐτοῦ λέξεων, ὁ δὲ Μάρκος δι' ὧν καὶ αὐτὸς ὧδέ πως ἱστορεῖ λέγων, γενομένης δὲ ὥρας ἕκτης σκότος ἐγένετο ἐφ' ὅλης

[c] συναισθήσονται] μνησθήσονται S. [d] τῳ om. S. [e] τῷ add. S.

ipsius divisere, partem vero jactis sortibus arripuerunt? et quænam framea illa? quis canis? quis leo? qui item illi qui dicuntur unicornes eum, de quo sermo est, obsidentes? et qua fiducia post tantam contra id genus luctam, ac postquam *in pulverem mortis deductus est,* pollicetur se nomen patris sui narraturum non omnibus sed solis suis fratribus? et qui tandem hi fratres? quænam vero ecclesia hæc, de qua is qui talia pertulit, ita loquitur, *In medio ecclesiæ laudabo te?* quibus etiam illud adjungit, *quod utique non una Judaica gens, sed omnes fines terræ reminiscentur et convertentur ad Dominum, et adorabunt in conspectu ejus omnes familiæ gentium.* Cæterum tu quoque ubi per te ipsum singula ejusdem Psalmi verba exploraveris, facile intelliges utrum ea quæ in ipso continentur ad vulgarem quempiam referri possint: quod quum feceris, certe non invenies cui tandem illa conveniant præter unum Salvatorem nostrum, qui omnium et fidelissime et verissime hujusce Psalmi voces in suam personam assumpsit, quemadmodum evangelistæ testificati sunt: Matthæus quidem illis verbis quæ antea retulimus, Marcus autem iis quibus

τῆς γῆς ἕως ὥρας ἐνάτης. Καὶ τῇ ἐνάτῃ ὥρᾳ ἐβόησεν ὁ
Ἰησοῦς φωνῇ μεγάλῃ λέγων· [f]Ἠλεὶ Ἠλεὶ λαμᾶ σαβα- c
χθανὶ, ὅ ἐστι μεθερμηνευόμενον, ὁ Θεὸς ὁ Θεός μου, εἰς τί
ἐγκατέλιπές με; καί τινες τῶν ἀκουσάντων ἔλεγον, Ἠλίαν
φωνεῖ.

15 Φέρε δὴ οὖν τούτοις ἀκολούθως ἴδωμεν, ὅπως εἰς
αὐτὸν ἀνενεχθήσεται τὰ διὰ τοῦ Ψαλμοῦ δηλούμενα.
Καὶ πρῶτόν γε διαλάβωμεν τὴν φάσκουσαν προγραφὴν,
εἰς τὸ τέλος, ἢ, κατὰ τὸν Ἀκύλαν, τῷ νικοποιῷ, ἢ, κατὰ
16 τὸν Σύμμαχον, ἐπινίκιος ὑπὲρ τῆς ἀντιλήψεως. Ταῦθ'
ἡμᾶς ὑπεισέρχεται, ὅτι τὸ μὲν σωτήριον πάθος, ὡς αἱ
λέξεις τῶν εὐαγγελιστῶν παρέστησαν σκότους γενομένου d
ἀπὸ ὥρας ἕκτης ἕως ὥρας ἐνάτης, ἀμφὶ τὴν ἐνάτην συν-
ετελέσθη, ὅτε καὶ τὴν φωνὴν ἀφῆκε τὴν μεγάλην τὰ
μικρῷ πρόσθεν δεδηλωμένα εἰπὼν, ὥστε ὁμολογεῖσθαι
σαφῶς τὸ πάθος αὐτοῦ ἀμφὶ τὴν ἑσπέραν νυκτὸς ἐπ-
17 ελαυνούσης γεγονέναι. Τὰ δὲ τῆς ἐκ νεκρῶν ἀναστά-
σεως, ἥτις ἦν ἀντίληψις τοῦ πατρὸς ἀντιλαμβανομένου
καὶ εἰς ἑαυτὸν ἐκ τῶν τοῦ θανάτου χωρίων ἐπισπωμένου

[f] ἠλὶ ἠλὶ λεμᾶ P. ἠλὶ (semel) λεμᾶ S.

etiam ille, utpote qui in hunc modum narret, *Et facta hora sexta tenebræ factæ sunt super totam terram usque ad horam nonam. Et hora nona exclamavit Jesus voce magna dicens, Eli Eli lema sabachthani, quod est ex interpretatione, Deus Deus meus, ad quid dereliquisti me? Et quidam ex audientibus dicebant, Heliam vocat.* Marc. 15, 33.

Age igitur posthac ipso ordine videamus qua ratione ea quæ in hoc Psalmo continentur ad illum referenda sint. Ac primum inscriptionem ipsam tractemus, quæ talis est, *in finem*, vel quemadmodum Aquila edidit, *victoriæ authori*, vel etiam ut Symmachus, *ad victoriam pro susceptione.* Hæc sane nobis veniunt in mentem, propterea quod salutaris illa passio, ut scripta evangelistarum demonstrant, perfecta est circiter horam nonam, *factis jam tenebris, ab hora sexta usque ad horam nonam*, qua sane hora etiam vocem magnam emisit, et ea quæ paulo ante recitavimus protulit, ut plane sit confitendum illius passionem ad vesperam nocte adventante fuisse. At reditus ejusdem a mortuis, quæ fuit susceptio patris illum suscipi-

καὶ λαμβάνοντος αὐτὸν, ἀμφὶ τὴν ἕω γέγονεν, ὡς αὖθις
18 ἀπὸ τῆς τῶν εὐαγγελιστῶν μαρτυρίας παρίσταται. Ὁ
γοῦν Λουκᾶς φησὶ, τῇ δὲ μιᾷ τῶν σαββάτων ἦλθον ὄρθρου
βαθέως ἐπὶ τὸ μνημεῖον φέρουσαι ἃ ἡτοίμασαν ἀρώματα,
δηλονότι αἱ γυναῖκες, καί τινες σὺν αὐταῖς. Εὗρον δὲ τὸν p. 493
λίθον ἀποκεκυλισμένον ἐκ τοῦ μνημείου. Εἰσελθοῦσαι δὲ
οὐχ εὗρον τὸ σῶμα, διὰ τὸ ἤδη τὸν Σωτῆρα ἡμῶν ἐκ νεκρῶν
19 ἐγηγέρθαι. Τοῦτο δὲ αὐτὸ καὶ ὁ Μάρκος δηλοῖ λέγων,
καὶ λίαν πρωῒ, τῇ μιᾷ τῶν Σαββάτων ἔρχονται ἐπὶ τὸ
μνημεῖον, [g] ἔτι ἀνατείλαντος τοῦ ἡλίου, καὶ ἔλεγον πρὸς
ἑαυτὰς, τίς ἀποκυλίσῃ ἡμῖν τὸν λίθον ἀπὸ τῆς θύρας τοῦ
μνημείου; ἦν γὰρ μέγας σφόδρα. [h] Ἔρχονται, καὶ εὑ-
ρίσκουσιν αὐτὸν ἀποκεκυλισμένον. Ἦν δὲ ἤδη ἐγηγερ- b
μένος. Ἔχεις καὶ παρὰ τῷ Ἰωάννῃ τὴν αὐτὴν μαρτυρίαν,
λέγοντι, τῇ δὲ μιᾷ τῶν σαββάτων ἔρχεται Μαρία ἡ Μαγ-
δαληνὴ πρωῒ εἰς τὸ μνημεῖον ἔτι σκοτίας οὔσης, καὶ βλέπει
20 τὸν λίθον ἠρμένον ἐκ τοῦ μνημείου. Καὶ ὁ Ματθαῖος δὲ,
εἰ καὶ ὀψὲ σαββάτων εἴρηκεν, ἀλλ' ἐπιφέρει λέγων, [i] τῇ
ἐπιφωσκούσῃ εἰς μίαν σαββάτων, ἦλθε Μαρία ἡ Μαγδα-
ληνὴ, καὶ ἡ ἄλλη Μαρία θεωρῆσαι τὸν τάφον, καὶ ἰδοὺ

[g] Vid. Casaub. in Baron. p. 673. [h] καὶ ἔρχονται S. cum interp.
[i] τῆς ἐπιφωσκούσης] τῇ ἐπιφωσκούσῃ P.

entis et ad seipsum ex regionibus mortis adtrahentis atque assumentis, circa auroram fuit, quemadmodum rursus evangelistarum
Luc. 24, 1. testimonio confirmatur. Siquidem Lucas hæc ait: *Una autem Sabbatorum valde diluculo venerunt ad monumentum ferentes, quæ paraverant aromata*, mulieres videlicet, *et nonnulli cum eis. Invenerunt autem lapidem revolutum a monumento: et ingressæ non invenerunt corpus, propterea quod jam tum Salvator noster a morte erat excitatus.* Hoc
Marc. 16, 2. vero ipsum Marcus quoque ostendit sic dicens, *Et valde mane una Sabbatorum veniunt ad monumentum orto jam sole, et dicebant ad se invicem, Quis revolvet nobis lapidem ab ostio monumenti? Erat quippe magnus valde.* Et veniunt, et inveniunt eum revolutum. Erat autem jam tum excitatns. Habes apud Joannem quoque idem testimonium
Jo. 20, 1. hoc modo, *Una autem sabbatorum venit Maria Magdalene mane ad monumentum, quum adhuc tenebræ essent, et videt lapidem sublatum a*
Matth. 28, 1. *monumento.* Matthæus quoque, tametsi *sero sabbatorum* dixit, at-

21 σεισμὸς ἐγένετο μέγας. Ἄγγελος γὰρ Κυρίου καταβὰς
ἐξ οὐρανοῦ προσελθὼν ἀπεκύλισε τὸν λίθον ἀπὸ τῆς θύρας c
τοῦ μνημείου. Ταῦτα δὲ ἀναγκαίως παρεθέμην εἰς παρά-
στασιν τῆς ἐν τῷ Ψαλμῷ προφητευομένης ἑωθινῆς
22 ἀντιλήψεως. Ἐπεὶ γὰρ τὰ περὶ τοῦ πάθους τοῦ Σω-
τῆρος ἡμῶν σημαίνει, οὐ μὴν κατέληξεν ἡ κατ' αὐτὸν
οἰκονομία ἐν τῷ πάθει, τέλος δὲ τοῦ πάθους ἡ ἐκ νεκρῶν
ἀνάστασις ἦν καὶ ἡ ἀντίληψις ἡ ἑωθινὴ, εἰκότως ὁ λόγος
τῷ παραδόξῳ τέλει τὴν γραφὴν ἀνατίθεται, ὡς τῆς ὑπο-
θέσεως ἁπάσης καὶ τῶν πρὸ τοῦ τέλους παθημάτων d
τῆς ἐκ νεκρῶν ἀναστάσεως καὶ τῆς ἀντιλήψεως τῆς
23 ἑωθινῆς ἕνεκεν [k] γενομένων. Εἰπὼν γοῦν ὁ Σωτὴρ καὶ
Κύριος ἡμῶν τὸ, ὁ Θεὸς ὁ Θεός μου πρόσχες μοι, ἱνατί
ἐγκατέλιπές με· καὶ ἑξῆς ἐπαγαγὼν τὸ, ἐγὼ δέ εἰμι
σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα
λαοῦ· καὶ ἔτι προσθεὶς τὸ, περιεκύκλωσάν με μόσχοι
πολλοὶ, ταῦροι πίονες περιέσχον με, καὶ σαφῶς τὸν θάνα-
τον αὐτοῦ προμαρτυρόμενος διὰ τὸ εἰς χοῦν θανάτου
κατήγαγές με, ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ
πονηρευομένων περιέσχε με, ὤρυξαν χεῖράς μου καὶ πόδας

[k] γενομένων] γενομένης P.

tamen adjungit, *Ea quæ illucescit in unam Sabbatorum, venit Maria Magdalene, et alia Maria videre sepulchrum, et ecce terræmotus factus est magnus. Angelus enim Domini descendens de cælo accessit, et revolvit lapidem ab ostio monumenti.* Hæc addidi necessario, ut ostenderem quænam sit ea quæ in Psalmo prædicitur susceptio matutina. Nam quum significet ea quæ ad passionem Salvatoris nostri pertinent, nec in passione desierit ea quæ ad ipsum spectat dispensatio, passionis vero finis ipsa fuerit a morte ad vitam restitutio et matutina susceptio, merito oraculum huic fini admirabili ipsam dedicat scripturam, non secus ac si omne hujusmodi argumentum et earum vexationum quæ finem ipsum, reditum utique de morte ad vitam, antecesserunt et susceptionis matutinæ causa inductum sit. Ubi ergo Salvator ac Dominus illud dixit, *Deus Deus meus respice in me, quare dereliquisti me?* ac deinceps illud addidit, *Ego autem sum vermis et non homo, opprobrium hominum, et abjectio populi:* necnon

μου· καὶ ἔτι τὰ ἀμφὶ τῷ πάθει συμβεβηκότα αὐτῷ
σημήνας διὰ τοῦ, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ
24 ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Ταῦτα καὶ τὰ
τούτοις παραπλήσια προειπών, οὐκ ἐπὶ τούτοις ἔστη,
ἀλλ' ἐπιλέγει, οἱ φοβούμενοι τὸν Κύριον, αἰνέσατε αὐτόν, p. 494
ὅτι οὐκ ἐξουδένωσεν, οὐδὲ προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ,
οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ
25 κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ μου. Πῶς δ' ἂν
ἔλεγεν εἰσηκοῦσθαι, εἰ μὴ πάντως τετυχήκει τῶν εὐχῶν,
καὶ ὧν ἐν τοῖς πρόσθεν [1]ἐδεδέητο, ὅτε ἔλεγε τὸ, εἰς χοῦν
θανάτου κατήγαγές με. Ῥῦσαι ἀπὸ ῥομφαίας τὴν ψυχήν
26 μου, καὶ ἐκ χειρὸς κυνὸς τὴν μονογενῆ μου; Ταῦτα γὰρ
εὐξάμενος, καὶ δεηθεὶς ἐκ τούτων ῥυσθῆναί τε καὶ σωθῆναι, τυχὼν ὧν ηὔξατο, ἐπιλέγει, οὐκ ἐξουδένωσεν οὐδὲ b
προσώχθισε τῇ δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ' ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν ἐπήκουσέ μου· σαφῶς τὴν μετὰ θάνατον ἀναβίωσιν αὐτοῦ δηλῶν, ἥτις γέγονεν κατὰ τὴν ἑωθινὴν ἀντίληψιν,

[1] ἐδεῖτο ἢ ἐδεδέητο τὲ ἔλεγεν S.

illud subjecit, *Circundederunt me vituli multi, tauri pingues obsederunt me,* et evidenter suam mortem denuntiavit ex illo, *in pulverem mortis deduxisti me: quoniam circundederunt me canes multi, congregatio malignantium obsedit me, foderunt manus meas et pedes meos.* Præterea ubi etiam ea quæ sub ipsam passionem sibi evenerunt significavit illis verbis, *Diviserunt vestimenta mea sibi, et super vestem meam miserunt sortem,* hæc atque his similia ubi prædixit, non intra hæc stetit, sed adjunxit, *Qui timetis Dominum, laudate eum, quoniam non sprevit neque moleste tulit deprecationem pauperis, neque avertit faciem suam a me, et quum clamarem ad eum, exaudivit me.* Qua autem ratione diceret se exauditum, si non consecutus esset quæ optaverat, quæque superius deprecatus fuerat, quum dixit illud, *In pulverem mortis deduxisti me, eripe a framea animam meam, et de manu canis unicam meam?* Hæc enim quum orasset, ac se ex his eripi et liberari precatus fuisset, tum ea ipsa consecutus quæ oraverat adjungit, *Non sprevit neque moleste tulit deprecationem pauperis, neque avertit faciem suam a me, et quum clamarem ad eum, exaudivit me:* ubi evidenter suum de morte ad vitam reditum significat, qui

ἣν ἑξῆς προϊὼν ὁ Ψαλμὸς παρέστησεν εἰπών, σὺ δὲ
Κύριε μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν ἀντίληψίν μου
πρόσχες. Ποίαν δὴ ἀντίληψιν, ἀλλ' ἣν καὶ ἡ προ-
γραφὴ τοῦ Ψαλμοῦ ᾐνίττετο;
27 Ἀλλὰ ταῦτα μὲν ἡμῖν εἰρήσθω εἰς τὴν τοῦ Ψαλμοῦ
προγραφήν. Εἰς δὲ τὸ [m] Ἠλεὶ Ἠλεὶ λαμᾶ σαβαχθανὶ,
εἰρημένον μὲν ὑπὸ τοῦ Σωτῆρος ἡμῶν αὐτοῖς Ἑβραϊκοῖς c
ὀνόμασι περὶ τὸν τοῦ πάθους καιρὸν κείμενον δὲ καὶ ἐν
τῷ Ψαλμῷ, ὅρα μή τις ἔγκειται βαθυτέρα θεωρία παρ'
28 Ἑβραίοις· [n] Ἐλωεὶμ γὰρ ὁ Θεὸς ὀνομάζεται. Καὶ
τοῦτο διὰ πάσης σχεδὸν εὕροις ἂν τῆς γραφῆς· ἐπεὶ
καὶ κυρίως οὕτως παρὰ τοῖς Ἑβδομήκοντα ἔτι καὶ νῦν
τῇ Ἑβραίων ὀνομάζεται φωνῇ. [o] Φέρονταί γε μὴν παρ'
αὐτοῖς ἐπὶ τῆς θείας προσηγορίας καὶ ἕτεραι τινὲς ἐκ-
φωνήσεις, ὥσπερ οὖν καὶ τὸ Σαδδαὶ, καὶ τὸ Ἰαὼ, καὶ
29 [p] τὸ Ἦλ, καὶ ἄλλα τούτοις παραπλήσια. Ὁ δὴ οὖν
μετὰ χεῖρας Ψαλμὸς ἀπὸ τοῦ [q] Ἦλ Ἠλεὶ Ἠλεὶ λαμᾶ d
σαβαχθανὶ περιέχει, ᾧ κέχρηται καὶ ὁ Κύριος ἡμῶν, οὐ

[m] ἠλὶ ἠλὶ λεμᾶ S. et inf. [n] ἐλεεὶμ P. ut vulg. S. [o] σημ S. in marg. [p] τὸ add. P. [q] ἦλ om. P.S. interp.

sub matutinam susceptionem extitit, quam Psalmus deinceps longius progressus indicavit, ubi dixit, *Tu autem Domine ne amoveas longius auxilium meum, ad susceptionem meam respice.* Sed quam tandem aliam susceptionem nisi eam quam inscriptio Psalmi significavit?

Cæterum hæc quidem dicta sint a nobis in ipsam Psalmi inscriptionem: in illo autem, *Eli Eli lema sabachthani,* quod quum a Salvatore nostro ipsis Hebraicis nominibus dictum sit sub ipsum passionis tempus in Psalmi initio positum est, vide quæso ne qua insit profundior contemplatio apud Hebræos: nam Eloim Deus nominatur. Et hoc per totam propemodum scripturam invenies: quando vel proprie sic apud LXX etiam nunc Hebraica voce nominatur. Apud ipsos tamen Hebræos aliæ nonnullæ feruntur appellationes ad divinam naturam significandam, ut illud, Saddai, ut illud, Iao, ut illud El, aliaque his similia. Ergo Psalmus qui nunc in manibus est illud *Eli Eli lema sabachthani* initio habet, quo etiam Salvator noster usus est, non autem illud, Eloim. Proinde Aquila quum diversitatem Dei appellationis, quæ ex ipso Eloim significatur, apud Hebræos vidisset, illud de quo nunc agimus, in illo, Eli Eli, non ita quemad-

30 μὴν ἀπὸ τοῦ Ἐλωείμ. Ὁ γοῦν Ἀκύλας [r] διαφορὰν
εἰδὼς τῆς παρ' Ἑβραίοις Θεοῦ προσηγορίας ἐκ τῶν
Ἐλωεὶμ σημαινομένης, τὸ νῦν δηλούμενον ἐν τῷ Ἠλεὶ
Ἠλεὶ οὐκ ἠξίωσεν ὁμοίως τοῖς λοιποῖς ὁ Θεὸς ὁ Θεός
μου [s] μεταβαλὼν εἰπεῖν, ἀλλὰ [t] ἰσχυρέ μου ἰσχυρέ μου· τὸ
δ' ἀκριβές ἐστιν, ἰσχύς μου ἰσχύς μου. Ὥστε κατὰ τὴν
τούτου διάνοιαν τὸν ἀμνὸν τοῦ Θεοῦ τὸν ἡμέτερον Σω-
τῆρα φάσκοντα τὸ Ἠλεὶ Ἠλεὶ πρὸς τὸν πατέρα λέγειν,
31 ἰσχυρέ μου ἰσχυρέ μου ἱνατί ἐγκατέλιπές με. Καὶ τάχα
ἐπεὶ ἐγκατέλιπεν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, τούτου [u] χάριν p. 495
[ἐσταυρώθη], ὥς φησιν ὁ ἀπόστολος, καὶ γὰρ ἐσταυ-
ρώθη ἐξ ἀσθενείας, καὶ ζῇ ἐκ δυνάμεως Θεοῦ, [x] ὡς μὴ
σταυρωθεὶς [y] εἴη ἄν, εἰ μὴ ὁ ἰσχυρὸς αὐτοῦ καταλελοίπει
32 αὐτόν. Καὶ ὅρα εἰ μὴ ἔπρεπε τὸν ἀμνὸν τοῦ Θεοῦ, τὸν
ὡς πρόβατον ἐπὶ σφαγὴν ἀχθέντα καὶ ὡς ἀμνὸν ἐναν-
τίον τοῦ κείροντος ἄφωνον, τὰς οἰκείας δυνάμεις ἀνα-
τιθέναι τῷ Θεῷ, καὶ μηδὲν ἴδιον ἔχειν ἡγεῖσθαι ἢ μόνον
τὸν πατέρα· διὸ καὶ ἰσχυρὸν τὸν πατέρα αὐτοῦ [z] ἀπο-
καλεῖ, ὡς καὶ ἐν ἑπτακαιδεκάτῳ Ψαλμῷ ἰσχὺν [a] ἑαυτοῦ b

[r] διφθορὰν S. [s] μεταβάλλων] μεταβαλὼν P. [t] ἰσχυρέ μου semel S. [u] χάριν ἐσταυρώθη] ἐσταυρώθη om. P.S. [x] ὡς] ὃς S. [y] εἴη add. P. [z] ἀποκαλεῖν] ἀποκαλεῖ P. et γρ. ED. PARIS. [a] ἑαυτῷ] ἑαυτοῦ P.

modum reliqui quum converteret enunciandum putavit, sed, *fortis meus, fortis meus*, quare dereliquisti me? quod quidem si exquisitius eloqui volueris, dices, *robur meum, robur meum.* Quare ex hujus interpretatione agnus Dei, qui est noster Salvator, dum illud Eli Eli dicit ad patrem, illud dicit, *Fortis meus, fortis meus, quare dereliquisti me?* Et forsitan quod ipsum dereliquerit fortis suus, idcirco
2 Cor. 13, 4. crucifixus est, ut ait apostolus, *Etenim crucifixus est ex infirmitate, et vivit ex virtute Dei:* qui quidem nunquam cruci esset affixus, nisi fortis suus ipsum dereliquisset. Et sane inspice tu, quam bene convenerit, agnum Dei, qui ut ovis ad occidendum sit ductus et ut agnus coram tondente obmutuerit, suas vires ad ipsum Deum referre, et nihil proprium se habere arbitrari nisi unum patrem. Proinde etiam fortem suum ipsum patrem vocat, sane quemadmodum vel in decimo septimo Psalmo robur suum et firmamentum, et refugium

καὶ κραταίωμα καὶ καταφυγὴν τὸν πατέρα ὀνομάζει,
λέγων, ἀγαπήσω σε, Κύριε ἡ ἰσχύς μου, Κύριος στερέωμά
33 μου, καὶ καταφυγή μου, καὶ ῥύστης μου. Ὁ Θεός μου,
βοηθός μου, καὶ ἐλπιῶ ἐπ' αὐτὸν, ὑπερασπιστής μου, καὶ
κέρας σωτηρίας μου, καὶ ἀντιλήπτωρ μου. Καταλέλοιπεν
οὖν αὐτὸν ὁ ἰσχυρὸς αὐτοῦ, θελήσας αὐτὸν μέχρι θανάτου
καὶ θανάτου σταυροῦ κατελθεῖν, καὶ τοῦ κόσμου παντὸς
λύτρον καὶ ἀντίψυχον ἀποδειχθῆναι, καὶ καθάρσιον
34 γενέσθαι τῆς τῶν εἰς αὐτὸν πιστευσάντων ζωῆς. Ὁ δὲ c
αὐτίκα μάλα συναισθόμενος τῆς ἐνθέου καὶ πατρικῆς
βουλῆς, διαγνούς τε εἰ καί τις ἄλλος τὰ αἴτια τοῦ κατα-
λελεῖφθαι αὐτὸν ὑπὸ τοῦ πατρὸς, ἔτι πολὺ πλέον ἐτα-
πείνωσεν ἑαυτὸν, καὶ τὸν ὑπὲρ ἡμῶν θάνατον πολλῇ
τῇ προθυμίᾳ περιεβάλετο, ἐγένετό τε ὁ πανάγιος καὶ
εὐλογητὸς ὑπὲρ ἡμῶν κατάρα, καὶ ὁ μὴ γνοὺς ἁμαρτίαν,
ἁμαρτία, ἵνα ἡμεῖς γενώμεθα δικαιοσύνη Θεοῦ ἐν αὐτῷ. d
35 Καὶ ἔτι πρὸς τούτοις τὰς ἡμετέρας ἁμαρτίας ἀναμαξά-
μενος ἐσταυρώθη, ὃ ἐχρῆν ἡμᾶς τοὺς πρὶν ἀσεβεῖς
παθεῖν, ἀντίψυχον ἡμῶν καὶ ἀντίλυτρον γεγενημένος,
ὥστ' ἂν εὐλόγως εἰπεῖν ἡμᾶς τὸ προφητικὸν, αὐτὸς τὰς

eundem nominat, dum dicit, *Diligam te Domine robur meum, Dominus firmamentum meum et refugium meum, et liberator meus.* Ps. 18, 1.
Deus meus, adjutor meus, et sperabo in eum. Protector meus et cornu salutis meæ, et susceptor meus. Dereliquit ergo illum fortis suus, quum voluit illum *usque ad mortem et mortem crucis* descendere, et Phil. 2, 8.
pro universo mundo pretium, quo animæ redimerentur, exhiberi, et vitæ eorum qui in fidem ejus venissent expiationem fieri. Ille vero protinus divinum ac paternum decretum intelligens cognoscensque si quis unquam alius causas propter quas a patre esset relinquendus, multo etiam amplius seipsum demisit, mortemque pro nobis ingenti alacritate subivit, *factus*que est is qui erat et sanctissimus et bene- Gal 3, 13.
dictus *pro nobis execratio, et qui peccatum non novit, peccatum, ut nos* 2 Cor. 5, 21.
efficiamur justitia Dei in ipso. Ad hæc ubi peccata nostra detersit, tum cruci affixus est, quod quidem nos pati oportebat, et pro redimendis animis nostris ipse factus est pretium, usque adeo ut non immerito illud propheticum possimus dicere, *Ipse peccata nostra fert,* Es. 53, 4.

ἁμαρτίας ἡμῶν φέρει, καὶ περὶ ἡμῶν ὀδυνᾶται, καὶ αὐτὸς ἐτραυματίσθη διὰ τὰς ἁμαρτίας ἡμῶν, καὶ μεμαλάκισται διὰ τὰς ἀνομίας ἡμῶν, ἵνα τῷ μώλωπι αὐτοῦ ἡμεῖς ἰαθῶμεν. Κύριος *γὰρ παρέδωκεν αὐτὸν ταῖς ἁμαρτίαις*
36 *ἡμῶν.* Διόπερ ὡς παραδοθεὶς ὑπὸ τοῦ πατρὸς καὶ μαλα-
κισθεὶς καὶ τὰς ἀνομίας ἡμῶν ἀνειληφὼς, ὡς πρόβατον
ἐπὶ σφαγὴν ἤχθη. Συνᾴδει τούτοις καὶ [b] ὁ ἀπόστολος
λέγων, ὅς γε τοῦ ἰδίου υἱοῦ οὐκ ἐφείσατο, ἀλλ' ὑπὲρ ἡμῶν
37 *πάντων παρέδωκεν αὐτόν.* Κινῶν δὲ ἡμᾶς ἐπὶ ζήτησιν
τῆς αἰτίας δι' ἣν αὐτὸν ὁ πατὴρ κατέλιπε, φάσκει, *ἱνατί
με ἐγκατέλιπες;* τὸ δ' αἴτιον τοῦτο ἦν, ἡ τοῦ πάντος p. 496
ἀνθρώπων γένους ἀπολύτρωσις, τῷ τιμίῳ αἵματι ἐξαγο-
ραζομένη ἀπὸ τῆς πρὶν χαλεπῆς δουλείας, ἣν τοῖς
ἀοράτοις δεσπόταις, δαίμοσιν ἀκαθάρτοις καὶ πονηροῖς
38 ἄρχουσί τε καὶ πνεύμασι, καταδεδούλωντο. Καὶ ἄλλως
δὲ καταλέλοιπεν αὐτὸν ὁ πατὴρ [c] εἰς τὸ καὶ αὐτοῦ τοῦ Χριστοῦ τὴν ὑπὲρ ἀνθρώπων διάθεσιν ἀποδειχθῆναι. Διὸ μηδενὸς ἔχοντος ἐξουσίαν τῆς αὐτοῦ ψυχῆς ἑκὼν αὐτὸς ὑπὲρ ἀνθρώπων αὐτὴν τέθεικεν, ὥσπερ οὖν διδά-

[b] ὁ et mox τοῦ add. P. [c] εἰς τὸ add. P. omisso θελήσας post ἀποδειχθῆναι. Sic et S.

et pro nobis est in dolore. Et ipse vulneratus est propter peccata nostra, et elanguit propter iniquitates nostras, ut livore ejus nos sanaremur. Etenim tradidit illum peccatis nostris. Quocirca tanquam traditus a patre et languidus factus, et tanquam is qui peccata nostra assumpserit, ut ovis ad cædem est ductus. His concordat etiam apostolus dum ita ait, *Qui proprio filio non pepercit, sed pro omnibus nobis tradidit illum.* Cæterum excitans nos ad inquirendam causam cur ipsum pater deseruerit ait, *Quare me dereliquisti?* Causa porro hæc fuit, omnis humani generis redemptio ac liberatio, quæ pretioso illo sanguine facta est, a priore illa intolerabili servitute, qua sub visum effugientibus dominis, impuris utique dæmonibus et malignis principibus ac spiritibus, premebantur, et alia item ratione deseruit illum pater, ut illud scilicet ostenderetur, affectionem pro hominibus ipsius quoque Christi fuisse. Quapropter quum illius animæ jus et potestatem nemo haberet, volens ipse pro hominibus illam posuit, ita sane quemadmodum docet ipse dum ait, *Nemo tollet animam meam a*

Rom. 8, 32.

Jo. 10, 18.

σκει λέγων, οὐδεὶς αἴρει τὴν ψυχήν μου ἀπ' ἐμοῦ· ἐξουσίαν ἔχω θεῖναι αὐτὴν, καὶ ἐξουσίαν ἔχω πάλιν λαβεῖν b αὐτήν.

39 Ἑξῆς τούτοις φησὶ, μακρὰν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν παραπτωμάτων μου. Ἀνθ' οὗ ὁ μὲν Ἀκύλας μακρὰν ἀπὸ τῆς σωτηρίας μου ῥήματα βρυχήματός μου ἐξέδωκεν, ὁ δὲ Σύμμαχος, ἀφεστήκασιν ἀπὸ τῆς σωτηρίας μου οἱ λόγοι τῶν ὀδυρμῶν μου, καὶ καθ' ἑτέραν δὲ φερομένην ἑρμηνείαν πέμπτην εἴρηται, μακρὰν ἀπὸ τῆς σωτη-
40 ρίας μου οἱ λόγοι τῶν δεήσεών μου. Ὅρα δὴ οὖν ὅτι κατ' οὐδετέραν τούτων τὸ τῶν παραπτωμάτων μου εἴρηται, ὡς [d]συμβαίνειν ποτὲ σφάλματι γραφικῷ τοιαύτας τινὰς c ἐναλλαγὰς φέρεσθαι. Ἐκ δὲ τῆς τῶν πλειόνων ἑρμηνείας καταληπτέον, εἰ μὴ ἄρα τις [e]κἀνταῦθα τὰ ἡμέτερα [f]παραπτώματα ἐξοικειούμενον ταῦτα αὐτὸν εἰρηκέναι φήσειε.

41 Τούτοις ἑξῆς ἐπιλέγει, ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Ἀνθ' οὗ πάλιν ὁ Σύμμαχος, ὁ Θεός μου, φησὶ, βοήσω

[d] συμβαίνει] συμβαίνειν P. [e] κἀνταῦτα S. [f] πτώματα S. et sic γρ. ED. PARIS.

me, potestatem habeo ponendi eam, et potestatem habeo rursus sumendi eam.

Iis quæ dicta sunt, deinceps adjungit, *Longe a salute mea verba delictorum meorum.* Pro quo Aquila quidem, *Longe a salute mea verba fremitus mei,* exposuit, Symmachus autem, *Recesserunt a salute mea verba luctuum meorum,* necnon apud quintam, quæ fertur, interpretationem dicitur, *Longe a salute mea verba deprecationum mearum.* Ita vides in nulla harum conversionum quæ posterius dictæ sunt illud *delictorum meorum* haberi, quippe quum interdum librariis errantibus hujusmodi varietates libris contingere soleant. Ex multorum autem interpretatione investigandum est, utrum in his quispiam illum nostra delicta sua facientem talia enuntiasse dixerit.

His deinceps adjungit, *Deus meus clamabo per diem, et non exaudies, et per noctem et non ad insipientiam mihi:* pro quo rursus Symmachus, *Deus meus,* inquit, *clamabo interdiu et non exaudies, et noctu,*

ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, καὶ νυκτὸς, καὶ οὐκ ἔστι σιγή.
Θαυμάζει δὴ οὖν ἐν τούτοις τὸν πατέρα ὡς μὴ εἰσακού- d
οντα αὐτοῦ, [g]παράξενόν τι τούτου καὶ παρὰ τὸ σύνηθες
42 θεωρῶν· ὁ δὲ ἐφύλαττεν αὐτῷ τὴν ἀκοὴν εἰς τὸν ἐπι-
τήδειον τοῦ εἰσακουσθῆναι καιρόν. Οὗτος δὲ ἦν ὁ τῆς
ἀντιλήψεως τῆς ἑωθινῆς, καὶ ὁ τῆς ἐκ νεκρῶν ἀναστά-
σεως, καθ' ὃν, εἰ καί τινι [h]ἄλλῳ, καὶ αὐτῷ δικαίως ἂν
ἐλέχθη, [i]ἐν καιρῷ δέκτῳ ἐπήκουσά σου, καὶ ἐν ἡμέρᾳ σωτη-
ρίας ἐβοήθησά σοι. Ἰδοὺ νῦν καιρὸς εὐπρόσδεκτος, ἰδοὺ νῦν
43 ἡμέρα σωτηρίας. Λέγοιτο δ' ἂν ταῦτα καὶ ἑτέρως ὑπὸ
[k]τοῦ Σωτῆρος ἡμῶν, ὡς εἰωθότος μὲν ἀεὶ καὶ πάντοτε
εἰσακούεσθαι ὑπὸ τοῦ πατρὸς, νῦν δὲ πιστεύοντος εἰσ-
ακουσθήσεσθαι, ὡς εἰ σαφέστερον ἔλεγε, μὴ οἷόν τε
ἐστὶν, ὦ πάτερ, ἐμὲ τὸν σὸν μονογενῆ καὶ ἀγαπητὸν
υἱὸν μὴ εἰσακούεσθαι, βοῶντα καὶ [l]κεκραγότα πρός σε
τὸν ἐμαυτοῦ πατέρα; Διδάσκει γοῦν αὐτὸ τοῦτο ἐν τῷ p. 497
κατὰ Ἰωάννην εὐαγγελίῳ ἐπὶ τοῦ Λαζάρου, ὁπηνίκα
εἰπὼν, ἄρατε τὸν λίθον ἀπὸ τοῦ μνημείου, ἐπῆρε τοὺς
ὀφθαλμοὺς ἑαυτοῦ εἰς τὸν οὐρανὸν, καὶ εἶπε, Πάτερ εὐχα-

[g] ξένον τι τοῦτο] παράξενόν τι τούτου P. [h] ἄλλα S. [i] ἐν om. S.
[k] τοῦ add. P. [l] κραγότα S.

et non est silentium. Ergo in his patrem suum tanquam se non exaudientem admiratur, utpote quum novum hoc atque inusitatum inspiciat: illle autem huic audientiam ad idoneum exaudiendi tempus reservavit. Hoc vero fuit susceptionis matutinæ excitationisque a
2 Cor. 6, 2. morte ad vitam tempus, quo sane tempore, si quando ad alium quempiam, ad ipsum quoque juste dicendum fuit, *In tempore accepto exaudivi te, et in die salutis adjuvi te, ecce nunc tempus acceptabile, ecce nunc dies salutis.* Dici vero possunt hæc alia quoque ratione a Salvatore nostro, tanquam ab eo, qui consueverit semper quidem et in omnibus exaudiri a patre, nunc autem qui etiam fidem habeat se esse exaudiendum, non secus ac si planius diceret, nunquid fieri potest, o pater, ut ego unicus ac dilectus filius, dum ad te patrem meum clamo et vociferor, non exaudiar? Siquidem hoc ipsum ille idem docet in evangelio Joannis ubi de Lazaro sermo est. Nam
Jo. 11, 39. quum dixisset, *Tollite lapidem* a monumento, *sustulit deinde oculos suos ad cœlum et dixit, Pater, gratias ago tibi, quoniam audivisti me. Ego*

ριστῶ σοι ὅτι ἤκουσάς μου. Ἐγὼ δὲ ᾔδειν ὅτι πάντοτέ
44 μου ἀκούεις. Εἰ τοίνυν πάντοτε αὐτοῦ ἀκούει, οὐκ ἀμφι-
βάλλων ἀλλ' ἀκριβῶς ἐπιστάμενος ὅτι καὶ νῦν αὐτοῦ
εἰσακούσεται, ὡς ἀδυνάτου ὄντος τοῦ μὴ εἰσακούεσθαι
αὐτὸν, ἐρωτηματικῶς φησὶν, ὁ Θεός μου κεκράξομαι ἡμέ-
ρας, καὶ οὐκ εἰσακούσῃ; [m] ὑποστιζόντων ἡμῶν ἐν τῷ οὐκ b
εἰσακούσῃ, καὶ τὸ ἐναντίον ὑπονοούντων τῷ πύσματι.
45 Τοῦτο γοῦν διδάσκει μικρὸν ὕστερον, προϊὼν ἑξῆς ἐν
τῷ Ψαλμῷ, λέγων, οὐκ ἐξουδένωσεν οὐδὲ προσώχθισε τῇ
δεήσει τοῦ πτωχοῦ, οὐδὲ ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ ἀπ'
ἐμοῦ, καὶ ἐν τῷ κεκραγέναι με πρὸς αὐτὸν εἰσήκουσέ μου.
Πῶς οὖν ἀποφατικῶς λέγοι ἂν, ὁ Θεός μου κεκράξομαι
ἡμέρας, καὶ οὐκ εἰσακούσῃ, εἰ μὴ κατὰ τὴν ἀποδοθεῖσαν
ἡμῖν θεωρίαν; ἣν οἶμαι καὶ αὐτὸν αἰνίττεσθαι, λέγοντα, c
ὁ Θεός μου κεκράξομαι ἡμέρας, καὶ οὐκ εἰσακούσῃ; καὶ
46 νυκτὸς, καὶ οὐκ εἰς ἄνοιαν ἐμοί. Οὐ γὰρ εἰς ἄνοιαν, φησὶν,
ἐμοὶ λέγεται τὸ εἰσακούσῃ· οἶδα γὰρ αὐτὸς ὅπως τοῦτό
φημι, [n] πεπεισμένος, ὅτι πέφυκας οὐχ ὅτι γε ἐμοῦ μόνον
ἀντιλαμβάνεσθαι καὶ εἰσακούειν, ἀλλὰ καὶ πάντων τῶν

[m] στη^μ S. in marg. [n] πεπισμένος S.

autem sciebam quod semper me audis. Si igitur semper illum audit, nunc quoque non dubitans sed plane compertum habens se esse audiendum, et tanquam fieri non possit ut non audiatur, ex interrogatione ait, *Deus meus clamabo interdiu et non exaudies?* nobis videlicet interrogationis notam addentibus ad verbum *exaudies,* et contrarium ejus, quod interrogatum sit, subintelligentibus. Siquidem hoc ipsum paullo post sermone progressus ostendit deinceps in Psalmo dicens, *Non sprevit neque molestam habuit deprecationem pauperis, neque avertit faciem suam a me, et quum clamarem ad eum, exaudivit me.* Quomodo igitur negative illud dicetur *Deus meus clamabo interdiu, et non exaudies,* nisi ea ratione quam nos attulimus? quam sane rationem ipsum quoque arbitror significare dum dicit, *Deus meus clamabo interdiu, et non exaudies, et noctu, et non ad insipientiam mihi. Non enim ad insipientiam,* inquit, a me dicitur illud *exaudies:* novi enim ipse qua ratione hoc dicam, quippe qui fidem habeam te natura propensum esse ad suscipiendum atque audiendum

ἁγίων σου. Ἀεὶ γὰρ καὶ διὰ παντὸς ἐν τοῖς ἁγίοις σου
κατοικεῖς, καὶ σὺ εἶ ὁ παντὸς ἀνδρὸς θεοφιλοῦς, Ἰσραὴλ
47 προσαγορευομένου, ἔπαινος. Διά σε γὰρ παντὶ τῷ σε
περιέποντι οὐχ ὁ τυχὼν προσγίνεται ἔπαινος, καὶ ἐπί d
σοι οἱ πατέρες ἡμῶν ἤλπισαν, καὶ ἐλπίσαντες τῶν
ἐπαναστάντων [o] αὐτοῖς κακῶν [p] ἐρρύθησαν, καὶ πρός σε
ἐκέκραξαν, καὶ ἐσώθησαν. Ἐπί σοί τε ἤλπισαν, καὶ οὐ
48 κατῃσχύνθησαν. Ἐπειδὴ οὖν πάντες οἱ ἅγιοι τούτων
ἔτυχον παρά σου, κεκράξαντές τε εἰσηκούσθησαν καὶ
οὐ κατῃσχύνθησαν, πόσῳ δὴ πλέον ἐμοῦ τοῦ σοῦ ἀγα-
πητοῦ παιδὸς βοῶντος μᾶλλον ἁπάντων καὶ ἑτοιμότερον
εἰσακούσῃ; Εἰ δὲ καὶ ἀποθαυμαστικῶς φημὶ, κεκράξομαι
καὶ οὐκ εἰσακούσῃ; ἀλλ' οὐκ εἰς ἄνοιαν ὁ λόγος μοι
προφέρεται. Οἶδα γοῦν ὅπως τὴν εὐχὴν προφέρω, μὴ
ἐναβρυνόμενος μὴ δὲ ἐγκαυχώμενος, ἀλλ' ὡς ταπεινο-
49 φρονῶν. Ἐπεὶ γὰρ πρᾷός εἰμι καὶ ταπεινὸς τῇ καρδίᾳ,
ταπεινῶς καὶ τῇ ἐμαυτοῦ πρᾳότητι οἰκείως περὶ ἐμαυτοῦ
ταπεινὰ φθέγγομαι, οὕτω δὴ καὶ σκώληκα ἐμαυτὸν ὀνο- p. 498
μάζω. Τί γὰρ ἂν γένοιτο [q] σκώληκος ταπεινότερον;

[o] καὶ αὐτοῖς P. [p] ἐρύσθησαν S. [q] σκώλικος S.

non solum me, sed etiam omnes sanctos tuos. Semper enim et usquequaque *in tuis sanctis habitas,* idemque ipse es uniuscujusque Deo familiaris atque amici hominis, qui *Israel* appellari consueverit, *laus:* propter te enim ad omnem eum qui te complexus sit non vulgaris venire solet laus. Et in te patres nostri speraverunt, et quum sperarent ab ingruentibus in ipsos malis liberati sunt, et *ad te clamaverunt, et salvi facti sunt, atque in te speraverunt et confusi non sunt.* Si igitur omnes sancti hæc a te impetraverunt, et clamantes exauditi sunt non autem confusi, quanto magis me tuum dilectum filium clamantem præ cunctis absque mora exaudies? Quod si admirantis cujuspiam instar enuntio illud, *clamabo et non exaudies,* non tamen *ad insipientiam* profertur talis a me oratio. Novi enim ipse quo sensu meas preces enuntio, non gloriabundus videlicet neque jactabundus: nam quum sim mansuetus atque humilis corde, humili item more et meæ mansuetudini consentaneo humilia de meipso loquor. Proinde etiam meipsum vermem appello: et quid verme tandem esse

Ὅθεν οὐδ᾿ ἄνθρωπον ἐμαυτὸν εἴποιμ᾿ ἄν, εἰς τοσαύτην
ταπείνωσιν ἐκ τοῦ οἰκείου μεγέθους κατελθὼν ὥστε καὶ
σκώληκος μηδὲν δοκεῖν διαφέρειν, διὰ τὸ καὶ μέχρι
θανάτου καὶ τῆς τοῦ σώματος φθάσαι φθορᾶς. Πόθεν
γὰρ ἄλλοθεν γεννηθείη σκώληξ ἢ ἀπὸ σωμάτων φθο-
ρᾶς, εἰς ἣν καὶ αὐτὸς κατελθὼν, εἰκότως ἐμαυτὸν σκώ-
50 ληκα καὶ οὐκ ἄνθρωπον γινώσκω. Διὸ καὶ γέγονα
ὄνειδος ἀνθρώπων, καὶ ἐξουδένημα λαοῦ, οὐκ ἂν γενόμενος
οὐδὲ ὄνειδος ἀνθρώπων οὐδὲ ἐξουδένημα, εἰ μὴ μέχρι b
σκώληκος ἐφθάκειν παρὰ τὸν τοῦ πάθους καιρόν. Τηνι-
καῦτα γοῦν θεωροῦντές με ἐπὶ τοῦ σταυροῦ ἀνηρτημένον,
ἐξεμυκτήρισαν, καὶ ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησάν τε
κεφαλὴν λέγοντες, Ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν,
51 *σωσάτω αὐτὸν, ὅτι θέλει αὐτόν.* Ταῦτα μὲν οὖν ἅπαντα
διὰ τοῦ Ψαλμοῦ σαφῶς περὶ τῶν μελλόντων γενή-
σεσθαι μακροῖς ποθ᾿ ὕστερον χρόνοις ἐθεσπίζετο, τέλους
δὲ ἐτύγχανεν, ὁπότε, κατὰ τὸν Ματθαῖον, σταυρωθέντων
σὺν αὐτῷ δύο λῃστῶν, ἑνὸς ἐκ δεξιῶν, καὶ ἑνὸς ἐξ c
εὐωνύμων τοῦ Σωτῆρος, οἱ *παραπορευόμενοι* ἐβλα*σφήμουν*
αὐτὸν κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, [s]Οὐαὶ

[s] οὐὰ S. et sic infra.

possit humilius? Sic ne hominem quidem meipsum dixerim, quum utique ad tantam humilitatem relicta mea magnitudine descenderim, ut etiam verme nihilo præstantior videri possim, propterea quod usque ad mortem et usque ad interitum corporis pervenerim. (Etenim qua tandem alia ratione factus sit vermis, nisi qua corpora solent corrumpi?) ad quem sane interitum quum ipse quoque descenderim, merito meipsum vermem et non hominem agnosco: ex quo etiam factus sum *opprobrium hominum et abjectio populi*, qui quidem nunquam id genus factus essem, nisi usque ad vermis conditionem sub ipsum passionis tempus progressus essem. Tunc igitur videntes me in cruce suspensum, *subsannaverunt, et locuti sunt labiis, et moverunt caput dicentes, Speravit in Domino, eripiat eum, salvum faciat eum quoniam vult eum.* Hæc igitur plane omnia in Psalmo de iis quæ tam longo post tempore futura erant prædicta sunt, eademque suum finem sunt consecuta, quo tempore, ut est apud Matthæum, cruci affixis cum eo duobus latronibus, uno ad dextram altero ad

ὁ καταλύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν,
σῶσον σεαυτὸν, εἰ υἱὸς εἶ τοῦ Θεοῦ, κατάβηθι ἀπὸ τοῦ
52 σταυροῦ. Ὁμοίως δὲ καὶ οἱ ἀρχιερεῖς ἐμπαίζοντες μετὰ
τῶν πρεσβυτέρων καὶ γραμματέων ἔλεγον, Ἄλλους ἔσωσεν,
ἑαυτὸν οὐ δύναται σῶσαι. Εἰ βασιλεὺς τοῦ Ἰσραὴλ ἐστι,
καταβάτω νῦν ἀπὸ τοῦ σταυροῦ, καὶ πιστεύσομεν αὐτῷ.
Εἰ πέποιθεν ἐπὶ τὸν Θεὸν, ῥυσάσθω νῦν αὐτὸν, εἰ θέλει αὐτόν.
Εἶπε γὰρ ὅτι υἱὸς Θεοῦ εἰμί. Κατὰ δὲ τὸν Λουκᾶν, d
εἱστήκει ὁ λαὸς θεωρῶν, καὶ ἐξεμυκτήριζον αὐτὸν οἱ ἄρχοντες
σὺν αὐτοῖς λέγοντες, Ἄλλους ἔσωσε, σωσάτω ἑαυτὸν, εἰ
53 οὗτός ἐστιν ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ ὁ ἐκλεκτός. Κατὰ
δὲ τὸν Μάρκον, καὶ οἱ παράγοντες ἐβλασφήμουν αὐτὸν,
κινοῦντες τὰς κεφαλὰς αὐτῶν, καὶ λέγοντες, Οὐαὶ ὁ κατα-
λύων τὸν ναὸν, καὶ ἐν τρισὶν ἡμέραις οἰκοδομῶν αὐτὸν, σῶσον
σεαυτὸν, καὶ κατάβηθι ἀπὸ τοῦ σταυροῦ. Ὁμοίως καὶ οἱ
ἀρχιερεῖς ἐμπαίζοντες εἰς ἀλλήλους μετὰ τῶν γραμματέων
ἔλεγον, Ἄλλους ἔσωσεν, ἑαυτὸν οὐ δύναται σῶσαι. Ὁ
Χριστὸς ὁ βασιλεὺς τοῦ Ἰσραὴλ καταβάτω νῦν ἀπὸ τοῦ
54 σταυροῦ, ἵνα ἴδωμεν καὶ πιστεύσωμεν αὐτῷ. Ταῦτα γὰρ
τί ἂν διαφέροι τῶν ἐν τῷ Ψαλμῷ προαναπεφωνημένων

Matth. 27, 39. sinistram, *qui illac præteribant, mala in illum congerebant moventes capita sua, et dicentes, Vah qui destruis templum et in tribus diebus ædificas, salvum fac teipsum: si filius Dei es, descende de cruce. Similiter et principes sacerdotum illudentes cum senioribus et scribis, dicebant, Alios salvos fecit, seipsum non potest salvum facere. Si rex Israel est, descendat nunc de cruce, et credemus ei. Si confisus est Deo, liberet nunc eum, si vult eum. Dixit enim, Filius Dei sum.* Ut
Luc. 23, 35. vero est apud Lucam, *Stabat populus spectans, et subsannabant eum principes cum eis dicentes, Alios salvos fecit, salvum faciat seipsum, si*
Marc. 15, 29. *hic est Christus filius Dei electus.* At secundum Marcum, *Prætereuntes blasphemabant eum, moventes capita sua, et dicentes, Vah qui destruis templum et in tribus diebus ædificas illud. Salvum fac teipsum, et descende de cruce. Similiter et principes sacerdotum illudentes inter se cum scribis, dicebant, Alios salvos fecit, seipsum non potest salvum facere. Christus rex Israel descendat nunc de cruce, ut videamus et credamus ei.* Hæc namque in quo tandem ab iis differunt, quæ in Psalmo prædicta sunt illis verbis, *Ego autem sum vermis et non*

ἐν τῷ, ἐγὼ δέ εἰμι σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος p. 499
ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ. Πάντες οἱ θεωροῦντές με
ἐξεμυκτήρισάν με, ἐλάλησαν ἐν χείλεσιν, ἐκίνησαν κεφαλήν,
ἤλπισεν ἐπὶ Κύριον, ῥυσάσθω αὐτὸν, σωσάτω αὐτὸν, ὅτι θέλει
55 αὐτόν. Καὶ μὴ θαυμάσῃς εἰ ταῦτα κατὰ τὸ πάθος τοῦ
Σωτῆρος ἡμῶν εἴρητό τε καὶ πεπλήρωτο, ὁπότε εἰσέτι
δεῦρο παρὰ πᾶσιν ἀνθρώποις τοῖς μηδέπω τὴν εἰς αὐτὸν
πίστιν ἀνειληφόσιν ὄνειδος ἀνθρώπων νενόμισται. Τί
γὰρ ἂν αἴσχιον καὶ παντὸς ὀνείδους χεῖρον τοῦ σταυρω-
θῆναι; Ἀλλὰ καὶ ἐξουδένημα λαοῦ ἐστὶ τοῦ ἐκ περιτομῆς, b
παντὸς αὐτῶν τοῦ ἔθνους εἰσέτι νῦν καὶ σήμερον χλευά-
ζειν καὶ ἐξουθενεῖν καὶ καταπτύειν εἰωθότος αὐτοῦ· ὅθεν
καὶ εἰκότως ὁ ἀπόστολος, ἡμεῖς δὲ κηρύσσομεν Χριστὸν
ἐσταυρωμένον, Ἰουδαίοις μὲν σκάνδαλον, ἔθνεσι δὲ μωρίαν.
56 Καὶ τὰ ἑξῆς δὲ εἰρημένα ἐν τῷ Ψαλμῷ εἰσέτι καὶ νῦν
εὕροις ἂν παρὰ τοῖς πολλοῖς περὶ τοῦ αὐτοῦ λεγόμενα.
Ταῦτα μὲν οὖν περὶ τῆς διαλαβούσης αὐτὸν εἰσέτι τότε
περιστάσεως ηὔχετο. Εἰδὼς δὲ μὴ χείρονα οὖσαν τῆς
τοῦ θανάτου συμφορᾶς τὴν πρώτην αὐτοῦ εἰς σάρκα
ἔνδεσιν καὶ τὴν ἐκ θηλείας καὶ παρθένου γένεσιν, κατὰ c

homo, opprobrium hominum et abjectio populi. Omnes videntes me subsannaverunt me, locuti sunt labiis, et moverunt caput. Speravit in Domino, eripiat eum, salvum faciat eum, quoniam vult eum. Noli autem mirari si hæc sub ipsam Salvatoris nostri passionem et dicta sunt et completa, quando hodie quoque apud omnes homines, quicunque nondum in illius fidem venerunt, opprobrium hominum habetur. Quid enim turpius et omni probro vilius, quam cruci esse affixum? sed nonne etiam populi Judaici abjectio est? quippe quum universa illa natio etiam nunc et in hunc usque diem et irridere et negligere et despuere illum consueverit. Proinde apostolus *merito,* 1 Cor. 1, 23.
nos autem, inquit, *prædicamus Christum crucifixum, Judæis quidem scandalum, gentibus autem stultitiam.* Sed nec minus ea quæ sequuntur in Psalmo facile etiam nunc invenies a plerisque de illo dici. Hæc igitur pro afflictione quæ illum apprehendit etiam tunc orabat. Quum autem nihilo viliorem primam corporeæ naturæ assumptionem ortumque illum de fœmina et virgine ipsa mortis calamitate esse intelligeret, non incommode in iis quæ ad mortem pertinent etiam

καιρὸν ἐν τοῖς περὶ θανάτου τῶν τῆς γενέσεως αὐτοῦ μνημονεύει [t]λέγων πρὸς τὸν πατέρα, ὅτι σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπί σε ἐπερρίφην ἐκ μήτρας, ἐκ κοιλίας μητρός
57 μου Θεός μου εἶ σύ. Τούτων δὲ εἰκότως ἀναφέρει τὴν μνήμην εἰς παραμυθίαν τῆς τῶν παρόντων ἀπαλλαγῆς. Ὥσπερ γὰρ, φησὶ, γέγονάς μου βοηθὸς σῶμα ἀνθρώπειον ἀναλαβόντος, ὅτε καὶ ἐξ αὐτῆς τῆς κυοφορούσης με γαστρὸς σὺ αὐτὸς ὁ Θεός μου καὶ πατήρ μου ὥσπερ μαιούμενος τὴν ἐμοὶ κατεσκευασμένην ἐξ ἁγίου [u]Πνεύ- d ματος σάρκα ἐξέσπασας, τὴν ἑαυτοῦ δύναμιν ὀρέξας, [x]ὡς ἂν μή τις ἐνέδρα καὶ ἐπιβουλὴ ἐξ ἀντικειμένων δυνάμεων καὶ πονηρῶν πνευμάτων διαφθονουμένων τῇ εἰς ἀνθρώπους παρόδῳ μου γένοιτο· ἐπεὶ καὶ κατὰ τὴν πρώτην σύλληψιν σὺ πάλιν τὸ κατὰ γαστρὸς ἐπεσκίασας, ὡς ἂν [y]λάθῃ τοὺς ἄρχοντας τοῦ αἰῶνος τούτου ἡ ἐξ ἁγίου Πνεύματος τῆς ἁγίας παρθένου σύλληψις.
58 Ὅπερ μέγα μυστήριον ὁ σὸς ἀρχάγγελος ἐξέφηνε Γαβριὴλ, τῇ Μαρίᾳ εἰπὼν, Πνεῦμα ἅγιον ἐπελεύσεται ἐπί

[t] λόγων] λέγων S. [u] Πνεύματος om. S. [x] ὡς ἂν ἢ ἀνὰ ἑβραϊστὶ μή τις ἐνέδρα S. [y] λάθω] λάθῃ S.

ea quæ ad ortum spectant commemorat, sic ad patrem dicens: *Quoniam tu es qui extraxisti me de ventre, spes mea ab uberibus matris meæ. In te projectus sum ex utero matris meæ: Deus meus es tu.* Merito autem hæc meminit, ut seipsum consoletur, et a præsentibus malis avertat. Qui enim, inquit, fuisti mihi adjutor quum humanum corpus assumerem, quo tempore ex ipsius parturientis utero me tu ipse Deus meus et Pater meus, tanquam obstetricis fungens officio, pro ea quæ mihi de Spiritu sancto comparata erat carne, extraxisti, tua porrecta virtute da mihi jam nunc salutem, ne qua fraus aut ullæ insidiæ ab adversis potestatibus malignisque spiritibus, qui mihi etiam in accessu meo ad homines inviderunt, fiant, quoniam in prima item conceptione tu rursus quod in utero fui obumbrasti, ut principes sæculi hujus ipsa de Spiritu sancto et sancta virgine conceptio lateret. Quod sane ingens mysterium tuus archangelus Gabriel Mariæ indi-
Luc. 1, 35. cavit, dicens, *Spiritus sanctus superveniet in te, et virtus altissimi*

σε, καὶ δύναμις ὑψίστου ἐπισκιάσει σοι. Ὥσπερ οὖν ἡ p. 500
σὴ τότε τοῦ ὑψίστου δύναμις συλλαμβανόμενον μὲν ἐπεσκίασε, τικτόμενον δὲ ἐξέσπασεν ἀπὸ γαστρὸς μητρός μου, οὕτω πολλή μοι τυγχάνει παραμυθία, ὅτι καὶ τοῦ
59 θανάτου με πολὺ μᾶλλον ἀνασπάσεις. Καὶ τοῦτό γε ἐλπίζων, ἐπί σε πέποιθα τὸν ἐμαυτοῦ Θεὸν καὶ Κύριον καὶ πατέρα, καὶ πέποιθα οὐ νῦν πρῶτον ἀρξάμενος τῆς εἴς σε ἐλπίδος, ἀλλὰ καὶ ὅτε ἀπὸ μαστῶν μητρός μου τὴν νηπιώδη τροφὴν ἀναλαμβάνων ἐνομιζόμην ὁμοίως τοῖς τῶν ἀνθρώπων βρέφεσιν ἀτελὴς εἶναι καὶ ἄλογος· μὴ ὢν [z] γὰρ τοιοῦτος, εἰ καὶ σῶμά μοι ὅμοιον ἀνθρώποις b
ἦν, [a] ἀλλ' οὐ καὶ τὴν δύναμιν οὐδὲ τὴν οὐσίαν τοῖς πολλοῖς ὢν ἐμφερὴς, ἄνετος δὲ καὶ ἀπόλυτος, οἷά σου τοῦ Θεοῦ ἀμνὸς, καὶ ἐξ ἐκείνης τῆς ἡλικίας γαλουχούμενος,
60 λέγω δὴ ἀπὸ μαστῶν τῆς μητρός μου. Καὶ οὔπω τοῦτο μέγα τις ἡγήσεται, εἰ μάθοι ὅτι καὶ ἔτι πρότερον ἐπί σε ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μητρός μου Θεός μου εἶ σύ. Ἔτι γὰρ ἔνδον ἐν τῷ ταμείῳ τῆς κυοφορούσης με φερόμενος σὲ τὸν Θεόν μου ἑώρων, ἅτε

[z] γὰρ om. S. [a] ἀλλ' οὐ add. P.

obumbrabit tibi. Quemadmodum igitur tua tunc, qui es altissimus, virtus me in concipiendo obumbravit, in pariendo autem extraxit de ventre matris meæ, ita quoque non parva mihi adest consolatio, quod multo magis de morte sis extracturus. Atque equidem hoc sperans tibi confisus sum, qui meus Deus et Dominus et pater es: et confisus sum non nunc primum in te sperare incipiens, sed tunc quoque quum ab uberibus matris meæ infantilem alimoniam accipiens putabar, ut reliqui hominum infantes, imperfectus esse et absque usu rationis. Non enim eram talis, licet mihi cæteris hominibus simile esset corpus. Sed neque item vi neque substantia plerisque eram similis, verum potius liber ac solutus tanquam agnus tuus, qui Deus es, quum ab illa usque ætate lacte nutrirer, dico autem ab uberibus matris meæ. Cæterum hoc nondum quispiam magnum arbitrabitur, si intelliget, quemadmodum prius quoque *in te projectus sum ex utero, et de ventre matris meæ Deus meus es tu.* Quum enim adhuc intra cellam gestantis me in utero laterem, te tamen Deum meum videbam tanquam is, qui et inconfusus et imperturbatus in

[b] ἀσύγχυτος καὶ ἀθόλωτος ἐν τῇ τοσαύτῃ τῶν σαρκῶν c
κοινωνίᾳ διαμείνας, μᾶλλον δὲ ἀσώματος καὶ τότε ὤν, καὶ πάντων ἐλεύθερος δεσμῶν· οὕτως δὲ ἐπί σε ἐπερρίφην ἐκ μήτρας, καὶ ἀπὸ γαστρὸς μητρὸς Θεός μου ἦσθα, ὡς [c] αἰσθέσθαι τῆς ἐμῆς δυνάμεως ἔτι κυοφορουμένης πρὸς τῆς ἁγίας παρθένου τὸν ἐμὸν πρόδρομον Ἰωάννην καὶ αὐτὸν κατὰ γαστρὸς τῆς [d] Ἐλιζαβὲτ κυοφορούμενον, ὥστε ὑπὸ τῆς ἐμῆς θεότητος κινηθέντα σκιρτῆσαι ἐν ἀγαλλιάσει, καὶ Πνεύματος ἁγίου πλησθῆναι. Τούτων οὖν ἁπάντων ἀναφέρων τὴν μνήμην, d
61 καὶ διὰ παντὸς τὸν Θεόν μου καὶ πατέρα μου πρὸ τῶν ἐμῶν ὀφθαλμῶν τιθέμενος, εἰκότως καὶ κατὰ τὸν ἐνεστῶτα τοῦ περιέχοντός με πάθους καιρὸν, ὅτε σοὶ τῷ πατρὶ γενόμενος ὑπήκοος αὐθαίρετος καὶ ἑκὼν γέγονα *σκώληξ, καὶ οὐκ ἄνθρωπος, ὄνειδος ἀνθρώπων καὶ ἐξουδένημα λαοῦ*· καὶ νῦν ὅτε πάντες οἱ θεωροῦντές μου τὸ σῶμα τῷ σταυρῷ προσηλούμενον, ἀποτρόπαιον ἡγούμενοι ὁρᾶν πρᾶγμα, ἐξεμυκτήρισάν με, τοσαύτην κατ' ἐμοῦ χλεύην καὶ διασυρμὸν καταχέοντες, ὡς μὴ μόνον ἐν διανοίᾳ

[b] ἀσύγχητος S. [c] αἰσθεσθαί με ED. PARIS. et sic P.S. [d] ἐλιζαβὲθ] ἐλιζαβὲτ S.

tanta communicatione corporei oneris permansissem, ac potius incorporeus tunc quoque fuerim, et ab omnibus vinculis liber. Porro autem sic in te projectus sum ex utero, et sic de ventre matris meæ Deus meus es tu, ut meam virtutem quum adhuc in utero a virgine sancta gestarer meus quoque jam tum senserit præcursor Joannes,
Luc. 1, 41. qui etiam ipse in utero Elisabet gestabatur, usque adeo ut mea divinitate concitus exultatione exilierit, et Spiritu sancto repletus sit. Hæc igitur cuncta ad memoriam revocans, et omni tempore Deum meum et patrem meum ante oculos mihi constituens, merito et sub ipsum instans comprehendentis me passionis tempus, quum tibi patri factus obediens, sponte et volens *effectus sum vermis et non homo, opprobrium hominum et abjectio populi :* et nunc quum omnes meum cruci affixum corpus videntes, dum rem et fugiendam et ominosam putant se videre, me subsannaverunt, tantum adversum me irrisionis tantumque detractionis jactantes, ut de me non modo cogitantes ratiocinarentur animoque versarent nefaria, sed intrepide quoque

λογίζεσθαι καὶ ἐνθυμεῖσθαι περὶ ἐμοῦ τὰ ἀσεβῆ, ἀλλὰ
καὶ ἀφόβως φθέγγεσθαι καὶ ἐν φανερῷ λαλεῖν· ἐλάλη-
σαν γοῦν ἐν χείλεσιν, ἐκίνησαν κεφαλὴν, λέγοντες, Ἤλπισεν p. 501
62 ἐπὶ Κύριον, ῥυσάσθω αὐτόν. Καὶ νῦν γοῦν ὅτε τὰ τοιαῦτά
με περιέστηκε, σὲ τὸν πατέρα μου τὸν ἐκσπάσαντά με
ἐκ γαστρὸς μητρός μου, ἐφ' ὃν ἐπερρίφην ἐκ μήτρας,
εἰς ὃν ἤλπισα ἀπὸ μαστῶν, τὸν καὶ ἀπὸ γαστρὸς μη-
τρός μου γνωριζόμενόν μοι, καὶ γινωσκόμενον Θεὸν,
ἱκετεύω καὶ ἀντιβολῶ μὴ ἀποστῆναι ἀπ' ἐμοῦ, ὅτι θλίψις
63 ἐγγύς. Μέλλει γὰρ, φησὶ, καὶ ὅσον οὔπω πάρεστι καὶ
πλησιάζει συνέχον ἤδη καὶ ἐπικείμενόν μοι τὸ πάντων
ἔσχατον τῆς ὑπερβαλλούσης μου θλίψεως νέφος. Οὔπω
γὰρ ἐγὼ θλίψιν ταύτην τὴν νῦν περιέχουσάν με καλῶ b
οὔτε τὸν σταυρὸν, οὔτε τοὺς ἐξ ἀνθρώπων ὀνειδισμοὺς,
οὔτε τὰς χλεύας, οὔτε μὴν τὰ πρὸ τοῦ σταυροῦ συμβε-
βηκότα [e] μοι, τὰς μάστιγας, τὰς ὕβρεις, καὶ ὅσα ἄλλα
ἐπαροίνησαν εἰς ἐμὲ οἱ υἱοὶ τῶν ἀνθρώπων· ἀλλὰ γὰρ
ὁρῶ [f] τὴν μετὰ τοῦ σώματος ἀνάλυσιν κατ' αὐτὸν τὸν
θάνατον, καὶ τὴν εἰς ᾅδου κατάβασιν πλησιάζουσαν,
[g] καὶ τῶν ἀντικειμένων καὶ ἐχθρῶν τῷ Θεῷ δυνάμεων

[e] μοι add. P. om. S. [f] τὴν μετὰ—θάνατον καὶ add. P. cum interprete. [g] καὶ om. S.

loquerentur, et palam enuntiarent, (*siquidem locuti sunt labiis et moverunt caput, dicentes, Speravit in Domino, eripiat eum,*) et nunc igitur, ut dicebam, quum talia me circunsteterunt, te patrem meum, qui extraxisti me de ventre matris meæ, in quem projectus sum ex utero, in quo speravi ab uberibus, qui etiam de ventre matris meæ agnitus es mihi et interim agnosceris Deus, supplex oro ac precor ne recedas a me, quoniam in proximo est afflictio. Venit enim, inquit, et quanta nondum antehac adest atque appropinquat, quæ comprehendit jam et mihi instar extrema omnium immodicæ meæ afflictionis nubes. Neque enim ego per afflictionem hanc quæ nunc me circumstat crucem ipsam intelligo, neque probra ex hominibus, neque ludibria, neque vero ea quæ ante crucem mihi acciderunt, flagella, contumelias, et alia quæcunque debacchati sunt contra me filii hominum, sed video post solutionem corporis in ipsa morte et ad

ἐπανάστασιν. Διό φημι ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν
64 ὁ βοηθῶν. Πῶς γὰρ οὐχ ὑπερβάλλουσα ἦν καὶ μεγίστη
θλίψις αὕτη ἐκείνη, ἐν ᾗ οὐκ ἔστιν ὁ βοηθῶν; Ὁ μὲν
γὰρ ἐπὶ σωτηρίᾳ τῶν ἐν ᾅδου ψυχῶν παρῄει ἐκ [h] μακροῦ c
αἰῶνος τὴν ἄφιξιν αὐτοῦ περιμενουσῶν, καὶ κατῄει γε
θύρας χαλκᾶς συντρίψων, καὶ μοχλοὺς σιδηροῦς συν-
θλάσων, καὶ τοὺς πρὶν δεσμίους ᾅδου ἐλευθέρους ἀνήσων·
ὃ καὶ γέγονεν, ὅτε πολλὰ σώματα τῶν κεκοιμημένων
ἁγίων ἀναστάντα συνεισῆλθον αὐτῷ εἰς τὴν ἀληθῶς
65 ἁγίαν τοῦ Θεοῦ πόλιν· αἱ δὲ δυνάμεις αἱ ἀντικείμεναι
πρὸς τοῖς τῶν ἀνθρώπων κακοῖς [i] ἐπεστρατεύοντο αὐτῷ,
λύπην οὐ μικρὰν καὶ θλίψιν αὐτῷ παρέχουσαι, [k] ἀπο-
κλαομένῳ καὶ ἐπ᾽ αὐταῖς δι᾽ ὑπερβολὴν ἀγαθότητος. d
Ἀλλὰ γὰρ τήρει τίνα τρόπον ταῦτα πάντα λέλεκται, ὡς
ἐκ προσώπου αὐτοῦ ἐν μήτρᾳ κυοφορηθέντος, καὶ ἀπὸ
γαστρὸς μητρὸς γεγεννημένου, ὃν ἐφάσκομεν εἶναι τὸν
66 ἀμνὸν τοῦ Θεοῦ. Τούτῳ γὰρ καὶ συμβαίνει τὰ περὶ
τὸ πάθος, ὡς καὶ τὰ τῆς ἐνσάρκου γενέσεως ἥρμοζε.
Τὸ γοῦν γεννηθὲν καὶ ἀποθνήσκει· τὸ δὲ θνῆσκον οὐκ

[h] μακρῶν αἰώνων] μακροῦ αἰῶνος P. [i] ἀπεστρατεύοντο] ἐπεστρατεύοντο P. [k] καὶ ἀποκλαομένω S.

inferos descensu appropinquantem adversariarum et inimicarum Deo potestatum insolentem impetum. Quapropter dico *afflictionem in proximo esse, quoniam non est qui adjuvet.* Qui enim fieri potest, ut non immodica et maxima ipsa illa fuerit afflictio, in qua non fuerit qui adjuvaret? Ille enim pro earum animarum salute accedebat, quæ apud inferos ex longissimo tempore adventum ejus expectabant, et descendebat fores æreas contriturus, et vectes æreos confracturus, et eos, qui antea vincti apud inferos erant, in libertatem vendicaturus, quod ipsum etiam factum est, quando multa corpora eorum qui dormierant sanctorum surgentia simul cum eo ingressa sunt in vere sanctam Dei civitatem, adversantes vero potestates ut hominibus nocerent contra illum quasi in acie veniebant, mœrorem non parvum atque afflictionem illi afferentes, quippe qui etiam illas nimia bonitate defleret. Cæterum attende quemnam in modum cuncta hæc dicta sint, quasi ex persona ejus qui in utero sit gestatus, et de ventre matris natus, et quem dicebamus esse agnum Dei. Huic enim ipsi

ἄλλως θανάτου τυγχάνει, ἢ πρότερον ὁδεῦσαν διὰ γενέ-
67 σεως. Ταῦτ᾽ οὖν διέξεισιν ὁ Σωτὴρ καὶ Κύριος ἡμῶν, οὐ καθ᾽ ὃ ἄσαρκος καὶ ἀσώματος ὑπάρχει τὴν φύσιν, οὐδὲ καθ᾽ ὃ Θεοῦ Λόγος καὶ Θεὸς ἐπινοεῖται, ἀλλὰ καθ᾽ ὃ οἷός τε ἦν [l] ἐν τῇ πρὸς τὸν πατέρα εὐχῇ λέγειν, ὅτι p. 502
σὺ εἶ ὁ ἐκσπάσας με ἐκ γαστρὸς, ἡ ἐλπίς μου ἀπὸ μαστῶν τῆς μητρός μου. Ἐπί σε ἐπερρίφην ἐκ μήτρας, ἀπὸ γα-
68 στρὸς μητρός μου Θεός μου εἶ σύ. Οὗτος δὴ οὖν πρὸς τῷ πάθει γεγονὼς εὔχεται τὰ προκείμενα πρὸς τὸν πατέρα, καὶ τοσούτων, φησὶ, μελλόντων με περιστήσεσθαι ἀντικειμένων ἐνεργειῶν, καὶ δαιμόνων ἀκαθάρτων, καὶ πνευματικῶν πονηρίας, [m] καὶ ἐπὶ πᾶσι τοῦ πάντων χειρίστου αὐτοῦ δὴ τοῦ ἄρχοντος τοῦ αἰῶνος τούτου, οὓς τῆς κακίας ἕνεκεν θῆρας πονηροὺς ὀνομάζειν ἄξιον, καὶ ἤτοι ταύρους ἀγρίους, ἢ μόσχους, ἢ λέοντας, ἢ κύνας, b
μέλλων τε πρὸς ἅπαντας ἵστασθαι, καὶ μηδὲν ἀγαθὸν εἰς αὐτοὺς ἐνεργεῖν, τῷ μηδὲν παραδέχεσθαι αὐτοὺς τῶν ἐμῶν ἀγαθῶν δι᾽ ἄκραν κακίας ἕξιν, ἀλλὰ μὴ δὲ βοηθοῦ μὴ δὲ συνεργοῦ τυγχάνων τινὸς τῶν προειρημένων εἰς

[l] ἐν τῇ add. P. [m] καὶ om. S.

ita acciderunt quæ ad passionem spectant, quemadmodum quæ ad ortum in corpore conveniebant: nam quod ortum est, id etiam occidit: quod vero occidit, non alias mortem contingit, quam si prius per ortum ingressum sit. Hæc igitur exponit Salvator ac Dominus noster, non quatenus et carnis et corporis expers erat natura, neque quatenus Dei Verbum Deusque ipse intelligitur, sed quatenus idoneus erat in oratione ad patrem dicere, *Quoniam tu es qui extraxisti me de ventre, spes mea ab uberibus matris meæ. In te projectus sum ex utero. Ex ventre matris meæ Deus meus es tu.* Hic igitur dum in ipsa passione est, supplex ad patrem suum ea dicit, quæ jam exposita sunt. Et quum tam multæ, inquit, me circumventuræ sint copiæ ex adverso efficaces, et impuri dæmones, et spiritualia nequitiæ, et denique is qui omnium pessimus est, ipse inquam princeps sæculi hujus, (quos propter malitiam feras malignas nominare par est, et vel tauros agrestes, vel vitulos, vel leones, vel canes,) et me contra omnes stare oporteat, neque quidquam boni in eos sim collaturus, propterea quod ipsi propter supremum malitiæ habitum meorum bonorum

τὸν ὑπὲρ τῶν ἐν ᾅδου ψυχῶν ἆθλον, πῶς οὐκ ἂν εὐλόγως εἴποιμ' [n] ἂν καὶ ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν; Τὸ μὲν οὖν τὰς πονηρὰς καὶ ἀντικειμένας δυνάμεις μὴ συνεργεῖν αὐτῷ μὴ δὲ βοηθεῖν ἐπ' ἀγαθὸν αὐτῷ [o] κομιζομένῳ οὐδὲν ἦν θαυμαστόν· τὸ δὲ πάντων c
μέγιστον τῆς θλίψεως τῆς μάλιστα πιεζούσης αὐτὸν [p] τοῦτ' ἦν ἄρα, τὸ μηδένα μὴ δὲ τῶν αἰσίων καὶ δεξιῶν ἀγγέλων, μὴ δὲ μὴν τῶν θείων δυνάμεων, τολμᾶν ἐπιβαίνειν τοῖς τοῦ θανάτου βασιλείοις, μὴ δὲ συνεργεῖν
69 ἐπὶ βοηθείᾳ τῶν αὐτόθι ψυχῶν. Μόνῳ γὰρ αὐτῷ τοῦτ' ἀτρεμὲς ἦν, ἐπεὶ καὶ μόνῳ ἠνεῴχθησαν πύλαι θανάτου, καὶ μόνον αὐτὸν πυλωροὶ ᾅδου ἰδόντες ἔπτηξαν, αὐτός τε ὁ τὸ κράτος ἔχων τοῦ θανάτου, ὑπεκστὰς τῶν βασιλείων θρόνων, ἅτε μόνον αὐτὸν ἐπιγνοὺς ἑαυτοῦ κύριον, ἐλάλησεν αὐτῷ δεήσει καὶ ἱκετηρίᾳ μαλακῶς, κατὰ τὰ
70 δηλούμενα ἐν τῷ Ἰὼβ περὶ τούτων. Πλὴν ἀλλὰ τὴν ἀσεβῆ τοῦ τυράννου καταδυναστείαν τοσοῦτον ὁρῶν d

[n] ἂν καὶ add. P. [o] νομίζομεν ὅτι] νομιζομένῳ P. κομιζομένω S. et sic legisse videtur interpres. νομίζομεν ὅτι Stephano deberi videtur.
[p] τόδ'] τοῦτ' P.

capaces non sunt, neque adjutorem aut socium habeam quempiam eorum ipsorum qui dicti sunt in certamine mihi pro salute animarum ineundo, quæ sunt apud inferos, cur tandem non merito dixerim, quod *in proximo sit afflictio, et quod non sit qui adjuvet?* Cæterum malignas quidem atque adversas potestates non fuisse illi auxilio, neque succurrisse ad bonum properanti, mirari nihil necesse est: verum quod omnium maximum est, ex ea afflictione quæ illum maxime premebat, id sane fuit, ne faventium quidem ac propitiorum angelorum quempiam nec divinarum potestatum prorsus ullam ausam esse regias mortis domos invadere, atque ad auxilium animarum, quæ illic erant, sociam se præbere. Siquidem uni illi hoc immotum servabatur, quandoquidem uni etiam apertæ sunt portæ mortis, et unum illum orci janitores conspicati formidaverunt, ipseque ille qui mortis imperium habebat de regiis sedibus cedens, utpote qui unum illum suum Dominum cognosceret, cum illo est locutus deprecantium ac supplicantium more non minus ignaviter quam apud Job de his ipsis rebus scriptum est. Sed tamen nefariam illius tyranni impotentiam usque adeo cernens invaluisse, ut nullus alius cœlestium

ἰσχύουσαν, ὡς μηδένα ἄλλον τολμᾶν τῶν κατ' οὐρανὸν
ἐν τοῖς αὐτόθι χωρίοις συμπαρεῖναι αὐτῷ καὶ τῇ τῶν
αὐτόθι ψυχῶν συνεργεῖν σωτηρίᾳ, εἰκότως φησὶν, ὅτι
θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν, ἑνὸς μόνου τοῦ
κἀκεῖσε βοηθεῖν αὐτῷ δυναμένου καταλελοιπότος αὐτὸν,
ὡς ἂν εἰς πάντας ἀνακηρυχθείη τὸ λαμπρὸν καὶ ἐξαί-
ρετον τῆς ἰδίας αὐτοῦ προαιρέσεως τῆς τε κατὰ πάντων
71 νίκης. Καὶ ἐπειδήπερ ὁ μόνος αὐτῷ βοηθεῖν δυνάμενος
οὐκ ἦν αὐτῷ τότε βοηθὸς, εἰκότως ἀρχόμενος ἔλεγε τὸ
[q] Ἠλεὶ Ἠλεὶ λαμμᾶ σαβαχθανὶ, τοῦτ' ἔστι Θεέ μου Θεέ p. 503
μου ἱνατί ἐγκατέλιπές με; Συλλαμβανομένῳ μὲν οὖν καὶ
κυοφορουμένῳ ὑπὸ τῆς ἁγίας παρθένου τῷ δηλουμένῳ
ἡ πατρικὴ δύναμις συνῆν, ὅτε Πνεῦμα ἅγιον ἐπῆλθε τῇ
παρθένῳ, καὶ δύναμις ὑψίστου ἐπεσκίασεν αὐτῇ, αὐτός
τε ὁ πατὴρ τὸν γεννώμενον, ὡς ὁ λόγος παρέστησεν,
ἀπὸ τῆς γαστρὸς ἐξέσπασεν· ἀποδυομένου δὲ παρὰ τὸν
καιρὸν τοῦ πάθους πρὸς τὴν κατὰ τοῦ θανάτου πάλην,
72 οὐκέτι βοηθὸς αὐτῷ παρῆν. Τοῦτο γοῦν αὐτῷ μαρτυ-
ροῦντι πιστεύω. Τὸ γὰρ Ἠλεὶ Ἠλεὶ λαμμᾶ σαβαχθανὶ

[q] ἠλὶ ἠλὶ λεμᾶ ut supra S. et sic infra.

adesse illi in talibus locis auderet, atque ad earum animarum salutem, quæ illic detinebantur, socium se præbere, merito ait *afflictionem propius adesse, propterea quod non sit qui adjuvet,* quippe quum unus ille, qui potuisset etiam talibus in locis illi opitulari, ipsum deseruisset, ut videlicet illustre illud eximiumque incœptum illaque singularis adversus omnes victoria tanquam propria ipsius apud omnes prædicaretur. Itaque quum ille qui unus ipsi auxilio esse poterat tunc ipsi adjutor non esset, merito in ipso initio ait illud, *Eli Eli lema sabachthani, hoc est, Deus meus, Deus meus quare me dereliquisti?* Nam quum idem conciperetur, et in utero a sancta virgine gestaretur, tunc quidem paterna vis cum ipso erat, quo tempore Spiritus sanctus virgini supervenit, et virtus altissimi obumbravit illi, ipseque pater eum qui gignebatur, sicut oraculum indicavit, de ventre matris extraxit, quum autem sub ipsum passionis tempus ad luctam adversus mortem exueretur, non item illi tunc erat adjutor. Ego namque hoc ipsum illi testificanti credo: nam illud, *Eli Eli lema sabachthani,* quod ab ipso in cruce dictum est, necnon a Psalmo prophetice enun-

εἰρημένον αὐτῷ ἐπὶ τοῦ σταυροῦ, καὶ ὑπὸ τοῦ Ψαλμοῦ b προφητικῶς ἀναπεφωνημένον, καὶ ὅτι θλίψις ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν, τί ἕτερον ἐδήλου, ἢ ὅτι ὡς μέγας ἀθλητὴς τοῖς τοσούτοις ἀντιπάλοις προβεβλημένος ἦν, ἀγωνοθετοῦντος καὶ βραβεύοντος τοῖς γινομένοις τοῦ ἐπὶ πᾶσι Θεοῦ; Ἔφορον δ' οὖν τῶν πραττομένων παρεκάλει τὸν πατέρα καὶ πάρεδρον, ὡς ἂν δεξιὸν ἀλείπτην, αὐτῷ [r]συμπαρεῖναι, ταύτῃ μάλιστα ὅτε μὴ δ' ὑπῆρχεν αὐτῷ βοηθὸς ἕτερος, ἢ μόνος εἷς ὁ βραβευτὴς τῶν γινομένων.

73 Διό φησιν εὐχόμενος, μὴ ἀποστῇς ἀπ' ἐμοῦ, ὅτι θλίψις c ἐγγὺς, ὅτι οὐκ ἔστιν ὁ βοηθῶν. Ὁρῶν δὲ ἐνθέοις ὄμμασιν ἔτι ἐπὶ τοῦ ἰκρίου προσηρτημένου αὐτῷ τοῦ σώματος τὰς ἔξωθεν ἀμφὶ τὸν ἀέρα τοῦτον ἀσάρκους καὶ ἀνθρώποις ἀοράτους [s]δυνάμεις [t]δίκην οἰωνῶν ὠμοβόρων [u]καὶ τρόπον θηρίων περὶ αὐτὸν ἰλυσπωμένας, καὶ πρὸς τὸ μέλλον ὅσον οὔπω νεκρὸν ἔσεσθαι αὐτοῦ τὸ σῶμα, πανταχόθεν τε συρρεούσας τὰς ἀρχὰς καὶ ἐξουσίας τοῦ ἀέρος, τοῦ πνεύματος τοῦ νῦν ἐνεργοῦντος ἐν τοῖς υἱοῖς τῆς ἀπειθείας, καὶ ἔτι τοὺς ἀμφὶ τὴν γῆν διϊπταμένους d

[r] συμπαρῆναι] συμπαρεῖναι ut supra p. 502 D. [s] ἀμφὶ δυνάμεις ἢ καὶ οἰωνῶν τρόπων τε θηρίων ED. PARIS. [t] δίκην] ἢ καὶ P. [u] καὶ τρόπον] τρόπον τε P. et mox ἰλυσπομένας.

ciatum, itemque quod *afflictio prope adesset, et quod non esset qui adjuvaret,* quid tandem sibi aliud volunt, quam quod tanquam magnus certator tam multis tantisque adversariis ipse esset objectus, præfecto ejus certaminis et totius negotii gubernatore supremo omnium Deo? Præsidem ergo rerum gerendarum atque assessorem precabatur patrem, ut quasi peritissimus aliptes sibi adesset tunc maxime, quum alius ipsi adjutor adesse poterat nullus, præter unum ipsum qui totius negotii esset gubernator. Quocirca dum orat sic ait, *Ne recedas a me quoniam afflictio prope adest, quoniam non est qui adjuvet.* Divinis autem oculis cernens, quum adhuc illi corpus in ligno esset suspensum, extrinsecus circum hunc aërem versantes incorporeas et hominibus invisibiles potestates, quæ circum ipsum quasi crudivoræ aves et feræ advolvebantur, et ad mortuum cito futurum ipsius corpus undique confluentes principatus et potestates aëris hujus, ac spiritus, qui nunc efficaciam suam exercet in filiis contumaciæ, nec non circa

καθ' ὅλης τῆς τῶν ἀνθρώπων οἰκουμένης δαίμονας, εἰκὸς δ' ὅτι καὶ τοὺς ὑποχθονίους ἤδη καὶ τοὺς ἐν αὐτῷ ταρτάρῳ θῆρας ἀγρίους καὶ φοβεροὺς, περὶ ὧν Ἠσαΐας πρὸς τὸν ἐκπεπτωκότα τοῦ οὐρανοῦ [x]ἑωσφόρον ἀποτεινόμενος ἔλεγεν, ὁ ᾅδης κάτωθεν ἐπικράνθη συναντήσας σοι, συνηγέρθησάν σοι πάντες οἱ γίγαντες, ταῦτα δὴ οὖν ἅπαντα συνορῶν ἔξωθεν τὸ ἀνεσκολοπισμένον σῶμα κυκλοῦντα καὶ παρασκευαζόμενα κατ' αὐτοῦ, τὸ σύστημα αὐτῶν διαγράφει φάσκων, περιεκύκλωσάν με μόσχοι πολλοὶ, ταῦροι πίονες περιέσχον με. Ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα
74 αὐτῶν, ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος. Ψυχὴν γὰρ, p. 504
ὡς εἰκὸς, ἀνθρωπείαν καὶ τῇ τῶν πολλῶν παραπλησίαν, πλέον δὲ οὐδὲν ἡγούμενοι εἶναι τὴν τὸ σῶμα Ἰησοῦ κατασκηνοῦσαν, ἤνοιξαν τὸ στόμα οἱ προειρημένοι, ὡς ὁμοίως ταῖς ἄλλαις τῶν ἀνθρώπων ψυχαῖς καὶ αὐτὴν καταπιούμενοι. Διό φησιν, ἤνοιξαν ἐπ' ἐμὲ τὸ στόμα
75 αὐτῶν ὡς λέων ὁ ἁρπάζων καὶ ὠρυόμενος· οἷς ἑξῆς ἐπιλέγει, ὡσεὶ ὕδωρ ἐξεχύθην. Ὅπερ αἰσθητῶς μὲν καὶ κατὰ τὴν ἱστορίαν εἴποι ἄν τις πεπληρῶσθαι, ὅτε εἷς τῶν

[x] ἑωσφόρου S.

terram per totum orbem, qui incolitur ab hominibus, volitantes dæmones, credibile autem est vidisse infernas quoque ac tartareas belluas agrestes atque formidabiles, de quibus Esaias, ad eum qui de cœlo ceciderat luciferum sermonem intendens, ita loquebatur, *Infernus* Es. 14, 9.
subter conturbatus est in occursum adventus tui, suscitati sunt tibi omnes gigantes: hæc itaque omnia conspiciens suum extrinsecus cruci affixum corpus in orbem cingentia seque adversus ipsum comparantia, multitudinem eorum collectam describit, sic dicens, *Circumdederunt me vituli multi, tauri pingues obsederunt me. Aperuerunt super me os suum, ut leo rapiens et rugiens.* Etenim dum animam, ut par est, humanam et cæteris similem nec amplius præterea quidquam esse arbitrantur quod in corpore Jesu habitabat, belluæ, de quibus diximus, aperuerunt os suum, ut quemadmodum alias hominum animas consueverant, ita etiam hanc devorarent. Quapropter sic ait, *Aperuerunt super me os suum, tanquam leo rapiens et rugiens:* quibus deinceps adjungit, *Quasi aqua effusus sum.* Quod quidem vel ipsis sensibus percipi potuit, atque historia fidem faciente completum

στρατιωτῶν, κατὰ τὸν εὐαγγελιστὴν Ἰωάννην, τοῦ
ἀμνοῦ τοῦ Θεοῦ λόγχῃ τὴν πλευρὰν ἔνυξε, καὶ ἐξῆλθεν b
76 εὐθὺς ὕδωρ καὶ αἷμα. Πλὴν ἀλλὰ καὶ τὴν ὅλην τῆς
πνευματικῆς φύσεως νέκρωσιν δηλοῦν ἔοικε δι᾽ ὧν φησὶν,
ὡσεὶ ὕδωρ ἐξεχύθην, καὶ διεσκορπίσθη πάντα τὰ ὀστᾶ μου.
Ἐγενήθη ἡ καρδία μου ὡσεὶ κηρὸς τηκόμενος ἐν μέσῳ τῆς
κοιλίας μου. Ἐξηράνθη ὡς ὄστρακον ἡ ἰσχύς μου, καὶ ἡ
77 γλῶσσά μου κεκόλληται τῷ λάρυγγί μου. Τί γὰρ ἂν
ἄλλο ταῦτα πάντα σημαίνοι, ἢ νεκροῦ σώματος σύστα-
σιν; Ἐπιφέρει γοῦν εὐθὺς λέγων, καὶ εἰς χοῦν θανάτου c
κατήγαγές με. Ταῦτα μὲν οὔπω γενόμενα προβλέπων,
ὡς ἐγγὺς δὲ καὶ πλησίον ἤδη ἑστῶτα καὶ περικυκλοῦντα
78 αὐτὸν, ἔλεγεν. Αὖθις δὲ ἐπαναλαβὼν τὰ ἤδη προπε-
πραγμένα εἰς τὴν τῶν μελλόντων συμβήσεσθαι παρα-
μυθίαν, οἷα [y] ὑπέμεινεν ἐπιβουλευθεὶς διδάσκει λέγων,
ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ πονηρευομένων
περιέσχον με· διὰ τούτων, ὡς εἰκὸς, δηλῶν ὁμοῦ μὲν καὶ
τοὺς στρατιώτας, ὁμοῦ δὲ καὶ τοὺς ἐκ περιτομῆς ἐπανα-
στάντας αὐτῷ. Οἱ μὲν γὰρ στρατιῶται τοῦ Πιλάτου

[y] ὑπέμεινεν S.

est, quum videlicet unus militum, ut est apud evangelistam Joannem,
Jo. 19, 34. agni Dei *lancea latus aperuit, et exivit continuo aqua et sanguis.* Sed tamen totam spiritualis naturæ mortificationem significare videtur, ubi ait, *Quasi aqua effusus sum, et dispersa sunt omnia ossa mea. Factum est cor meum tanquam cera liquescens in medio ventris mei. Aruit tanquam testa virtus mea, et lingua mea adhæsit gutturi meo.* Quid enim aliud tandem universa hæc significent, quam mortui corporis conditionem? Proinde illico adjungit illud, *Et in pulverem mortis deduxisti me.* Hæc igitur dum providet nondum facta, ut adventantia tamen et de proximo imminentia, et seipsum jam jam circunvenientia, dicebat. Sed rursus repetitis iis quæ jam antea gesta sunt, ut seipsum de iis quæ post eventura erant consolaretur, quæ sustinuerit insidiis circumventus docet his verbis, *Quoniam circundederunt me canes multi. Congregatio malignantium obsedit me:* quibus sane verbis tum ipsos milites, tum etiam Judæos qui in seipsum con-
Matth. 27. 27. spiraverant, intelligi vult. *Siquidem milites Pilati suscipientes Jesum in prætorio, congregaverunt ad eum universam cohortem. Et exuentes*

παραλαβόντες τὸν Ἰησοῦν εἰς τὸ πραιτώριον, [z] συνήγαγον
ὅλην τὴν σπεῖραν ἐπ' αὐτὸν, καὶ ἐκδύσαντες αὐτὸν, χλα- d
μύδα κοκκίνην περιέθηκαν αὐτῷ, καὶ πλέξαντες στέφανον
ἐξ ἀκανθῶν ἐπέθηκαν ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ κάλαμον
ἐν τῇ χειρὶ αὐτοῦ, καὶ γονυπετήσαντες ἔμπροσθεν αὐτοῦ
ἐνέπαιζον αὐτῷ λέγοντες, Χαῖρε ὁ βασιλεὺς τῶν Ἰουδαίων,
καὶ ἐμπτύσαντες εἰς αὐτὸν, ἔλαβον τὸν κάλαμον, καὶ
79 ἔτυπτον εἰς τὴν κεφαλὴν αὐτοῦ. Καὶ ὅτε ἐνέπαιξαν αὐτῷ,
ἐξέδυσαν αὐτὸν τὴν χλαμύδα, καὶ ἐνέδυσαν αὐτὸν τὰ ἱμάτια
αὐτοῦ, καὶ ἀπήγαγον αὐτὸν εἰς τὸ σταυρῶσαι· μονονουχὶ
ἔργῳ πληροῦντες τὸ, ὅτι ἐκύκλωσάν με κύνες πολλοὶ,
συναγωγὴ πονηρευομένων περιέσχον με· ἀλλὰ καὶ τὸ, ὤρυξαν p. 505
χεῖράς μου καὶ πόδας μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ
μου, καὶ ἔτι τὸ, αὐτοὶ δὲ κατενόησαν καὶ ἐπεῖδόν με, καὶ
τὸ, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱμα-
τισμόν μου ἔβαλον κλῆρον, αὖθις ἐπληροῦτο, ὅτε ἥλοις
αὐτοῦ τὰς χεῖρας καὶ τοὺς πόδας τῷ σταυρῷ κατέπειραν,
καὶ ὁπηνίκα τὰ ἱμάτια αὐτοῦ λαβόντες διεμερίσαντο
80 ἑαυτοῖς. Ὁ γοῦν Ἰωάννης ἱστορεῖ λέγων, οἱ οὖν στρα-
τιῶται, ὅτε ἐσταύρωσαν τὸν Ἰησοῦν, ἔλαβον τὰ ἱμάτια αὐτοῦ,

[z] συνάγαγον S.

*eum chlamydem coccinam circundederunt ei. Et plectentes coronam
de spinis imposuerunt super caput ejus, et arundinem in dextera ejus.
Et genibus flexis ante eum, illudebant ei dicentes, Ave rex Judæorum.
Et expuentes in eum acceperunt arundinem, et percutiebant caput ejus.
Et postquam illuserunt ei exuerunt eum chlamydem, et induerunt eum
vestimentis suis, et abduxerunt eum ut crucifigerent :* propemodum re
ipsa complentes illud, *Quoniam circundederunt me canes multi : con-
cilium malignantium obsedit me.* Quin illud etiam, *Foderunt manus
meas et pedes meos, dinumeraverunt omnia ossa mea.* Item illud, *Ipsi
autem consideraverunt et inspexerunt in me :* et illud, *Diviserunt vesti-
menta mea sibi, et super vestem meam miserunt sortem.* Hæc inquam
omnia tunc completa sunt, quum in cruce et manus illius et pedes
clavis transfixerunt, et quum illius vestimenta accipientes, ea inter se
diviserunt. Nam eam rem Joannes exponit his verbis, *Milites igitur,* Jo. 19, 23.
*quum crucifixissent Jesum, acceperunt vestimenta ejus, et fecerunt qua-
tuor partes, unicuique militi partem et tunicam : quia vero tunica erat*

καὶ ἐποίησαν τέσσαρα μέρη, ἑκάστῳ στρατιώτῃ μέρος. Τὸν b
χιτῶνα δὲ, ὅτι ἄρραφος ἦν, ἐκ τῶν ἄνωθεν ὑφαντὸς δι' ὅλου,
εἶπον πρὸς ἀλλήλους, μὴ σχίσωμεν αὐτὸν, ἀλλὰ λάχωμεν
περὶ αὐτοῦ τίνος ἔσται, ἵνα πληρωθῇ ἡ γραφὴ ἡ λέγουσα,
Διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμόν
μου ἔβαλον κλῆρον. Οἱ μὲν οὖν στρατιῶται ταῦτα ἐποίουν.
81 Καὶ [a] ὁ Ματθαῖος δὲ τοῖς γεγενημένοις τοῦτον τὸν τρό-
πον μαρτυρεῖ λέγων, σταυρώσαντες δὲ αὐτὸν, διεμερίσαντο
τὰ ἱμάτια αὐτοῦ, βαλόντες κλῆρον, ἵνα πληρωθῇ τὸ ῥηθὲν
διὰ τοῦ προφήτου, διεμερίσαντο τὰ ἱμάτιά μου ἑαυτοῖς, καὶ c
ἐπὶ τὸν ἱματισμόν μου ἔβαλον κλῆρον. Καὶ καθήμενοι
82 ἐτήρουν αὐτόν. Κύνες δὲ ἦσαν κυκλοῦντες αὐτὸν καὶ
συναγωγὴ πονηρευομένων, οἱ ἐκ περιτομῆς ἄρχοντες τῶν
Ἰουδαίων, οἵ τε γραμματεῖς καὶ οἱ ἀρχιερεῖς, καὶ οἱ
Φαρισαῖοι, οἱ καὶ τὸ πᾶν ἀνασείσαντες πλῆθος ἐξαιτή-
σασθαι τὸ αἷμα αὐτοῦ καθ' ἑαυτῶν καὶ κατὰ τῶν ἰδίων
83 τέκνων. Σαφῶς γοῦν ὁ Ἡσαΐας κύνας αὐτοὺς ἀποκαλεῖ
φάσκων, πάντες κύνες ἐνεοὶ, οὐ δυνάμενοι ὑλακτεῖν. Δέον
γὰρ αὐτοὺς, εἰ καὶ μὴ ποιμένων τρόπον ἀνειλήφεσαν,
ἀλλὰ δίκην γοῦν ἀγαθῶν κυνῶν τὴν τοῦ δεσπότου d

[a] ὁ add. P. om. S.

inconsutilis a summo contexta per totum, dixerunt inter se, Ne scindamus eam, sed sortiamur de illa cujus sit, ut impleretur scriptura quæ dicit, Partiti sunt vestimenta mea sibi, et super vestem miserunt sortem : et milites quidem hæc fecerunt. Matthæus vero iisdem rebus gestis in hunc modum fidem facit, *Postquam autem crucifixerunt eum, diviserunt vestimenta ejus, sortem mittentes, ut impleretur quod dictum est per prophetam, Diviserunt vestimenta mea sibi, et super vestem meam miserunt sortem : et sedentes servabant eum.* Canes autem erant qui illum circundederant, et conventus malignantium, ipsi ad circuncisionem pertinentes magistratus Judæorum, et scribæ et principes sacerdotum et Pharisæi, qui etiam universam multitudinem compulerunt ut sanguinem illius et adversum seipsos et adversum filios suos peterent. Proinde Esaias plane illos canes vocat, dum dicit, *Omnes canes stupidi, qui nequeunt latrare.* Quum enim eos oporteret, tametsi pastorum morem non susceperant, attamen bonorum canum instar Domini sui rationalem gregem atque oves domus Israel custodientes docte

Matth. 27, 35.

Es. 56, 10.

λογικὴν ποίμνην καὶ τὰ πρόβατα τοῦ οἴκου Ἰσραὴλ φυλάττοντας ἐπιστημονικῶς ὑλακτεῖν, σαίνοντας μὲν καὶ ἐπιγινώσκοντας τὸν ἑαυτῶν δεσπότην καὶ ἀρχιποιμένα, πάσῃ τε φυλακῇ τὴν πεπιστευμένην αὐτοῖς ποίμνην φρουροῦντας, ὑλακτεῖν δὲ, εἰ ἄρα, κατὰ τῶν ἔξωθεν ἐπιβουλευόντων τῇ ποίμνῃ· οἱ δὲ κυνῶν τρόπον ἐνεῶν ὡς ἀληθῶς καὶ μεμηνότων τοὺς ὑλαγμοὺς ἔφερον, τὰ πρόβατα τοῦ ποιμένος ἐξαγριοῦντες, ὥστε εἰκότως αὐτοῖς ἁρμόζειν τὸ, *περιεκύκλωσάν με κύνες πολλοὶ, συναγωγὴ*
84 *πονηρευομένων περιέσχον με.* Καὶ πάντες [b]δὲ οἱ εἰς δεῦρο p. 506
τὸν ὅμοιον τρόπον ἐκείνοις διαπραττόμενοι ἐν τῷ βλασφημεῖν καὶ ὑλακτεῖν τὸν Χριστὸν τοῦ Θεοῦ οὐκ [c]ἂν ἀλλότριοι ἐκείνων λογισθεῖεν· ἀλλὰ καὶ οἱ δίκην τῶν τότε ἀσεβούντων στρατιωτῶν ἀνασταυροῦντες τὸν υἱὸν τοῦ Θεοῦ καὶ παραδειγματίζοντες οὐκ ἂν τῆς ἐκείνων
85 μακρὰν γένοιντο διαθέσεως. Πάντες οὖν εἰσέτι καὶ νῦν
οἱ τὸ σῶμα τοῦ Χριστοῦ, τουτέστι τὴν ἐκκλησίαν, [d]λωβώμενοι, χεῖρας αὐτοῦ καὶ πόδας καὶ προσέτι τὰ ὀστέα διαχειρίζονται, εἴ γε πάντες *ἓν σῶμά ἐσμεν ἐν Χριστῷ, ὁ δὲ καθ' εἷς ἀλλήλων μέλη,* καὶ οὐκ ἂν εἴποι

[b] δὲ suprasc. P. in textu S. [c] ἂν om. P. [d] λαβώμενοι P.

ac prudenter latrare, Dominumque suum ac pastorum principem demulcere atque agnoscere, omnique custodia creditum sibi gregem conservare, latrare autem si forte acerbius vellent, contra eos id facere qui extrinsecus gregi insidiarentur, ipsi contra, canum stupidorum reque vera insanientium instar, latratus suos emiserunt, et oves pastoris efferarunt, ut merito conveniat eis illud, *Circundederunt me canes multi, concilium malignantium obsedit me.* Quin etiam omnes quicumque in hunc usque diem itidem ut illi pergunt maledicere ac latrare adversus Christum Dei, ab illis diversi putandi non sunt. Nec minus ii, qui tunc in illum impie grassantium militum instar nunc filium Dei iterum cruci affigunt palamque ignominia afficiunt, non longe admodum ab illorum nefaria voluntate recedunt: omnes vero hi sunt, qui etiam nunc Christi corpus, hoc est, ecclesiam suscipientes, manus illius et pedes et ossa præterea dissipant, si modo omnes *unum corpus sumus in Christo Jesu, singuli autem singulorum* Rom. 12, 5.

ἡ κεφαλὴ τοῖς ποσὶ χρείαν ὑμῶν οὐκ ἔχω, ὡς οὐδὲ ταῖς b
86 χερσὶν οἱ ὀφθαλμοί. Κατὰ γοῦν τοὺς καιροὺς τῶν
διωγμῶν εἴ ποτέ τινα κατὰ τῶν μελῶν τοῦ Χριστοῦ
πρὸς τῶν ἐχθρῶν καὶ πολεμίων ἐνεργοῖτο, εἴποι ἂν καὶ
περὶ αὐτῶν οὐκ ἀκαίρως τὸ, ὤρυξαν χεῖράς μου, καὶ πόδας
μου, ἐξηρίθμησαν πάντα τὰ ὀστᾶ μου. Αὐτοὶ δὲ κατενόησαν
87 καὶ ἐπεῖδόν με. Τότε δὲ καὶ διαμερίζονται τὰ ἱμάτια
αὐτοῦ ἑαυτοῖς, καὶ ἐπὶ τὸν ἱματισμὸν αὐτοῦ βάλλουσι
κλῆρον, ὅτε τὸν τοῦ λόγου κόσμον, ἤτοι τὰς λέξεις τῶν
θείων γραφῶν, ἄλλοτε ἄλλως ἕκαστος διαφθείρων ἐπι-
σπᾶται, καὶ ὅτε τὰς περὶ αὐτοῦ δόξας διαστρόφοις
διδασκαλίαις ἀπολαμβάνουσιν, ὁποῖα σύνηθες τοῖς ἀθέοις c
αἱρεσιώταις ποιεῖν. Ἐπὶ πᾶσι τούτοις πρὸς τὸν ἑαυτοῦ
Θεὸν καὶ Κύριον καὶ πατέρα τὴν εὐχὴν ἀποτείνας ἐπι-
φέρει λέγων, σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου.
88 Ὡς γὰρ εἰς βραχὺ καταλειφθεὶς πρὸς τὴν τοῦ ἀγῶνος
ἐπίδειξιν, καὶ μόνος δίχα βοηθοῦ πρὸς τὸν θάνατον
ἀποδυσάμενος, εὖ εἰδὼς τὴν βοήθειαν τὴν παρὰ τοῦ
πατρὸς οὐκ ἄλλως αὐτῷ [e] γενήσεσθαι ἢ διὰ τῆς ἐκ

[e] γενήσεσθαι] γεγενῆσθαι P.

1 Cor. 12, 21. *invicem membra. Neque vero caput pedibus dixerit, opera vestra non indigeo, sicut nec manibus quidem oculi.* Illis ergo temporibus quibus insectationes grassantur, si qua forte Christi membra ab inimicis atque hostibus vexentur, non intempestive de illis tum quoque dixerit, *Foderunt manus meas et pedes meos, dinumeraverunt omnia ossa mea. Ipsi autem consideraverunt, et inspexerunt in me.* Tunc etiam dividunt ejus vestimenta sibi et in vestem ejus sortem mittunt, quum ipsius verbi ornatum, hoc est, divinarum scripturarum voces alias aliter unusquisque corrumpit et lacerat, item quum opiniones de illo perversis documentis excipiunt, cujusmodi sunt quæ nefarii hæretici facere solent. Post omnia hæc ad suum Deum et Dominum et patrem orationem intendens subjicit illud, *Tu autem Domine ne procul amoveas auxilium meum.* Siquidem tanquam in angustum redactus ad ipsam certaminis ostentationem, et solus absque adjutore adversus mortem nudatus, quum plane compertum haberet auxilium sibi a patre non aliter affore quam per restitutionem a morte ad vitam, merito in præsentia orat ex acie adversariorum

νεκρῶν ἀναστάσεως, εἰκότως ἐπὶ τοῦ παρόντος εὔχεται
διεξόδου τυχεῖν τῆς τῶν ἀντιπάλων παρατάξεως. Διό
φησι, σὺ δὲ, Κύριε, μὴ μακρύνῃς τὴν βοήθειάν μου, εἰς τὴν d
89 ἀντίληψίν μου πρόσχες. Διὰ γὰρ τῆς σῆς βοηθείας
ἡ ἀντίληψίς μοι γενήσεται, δι' ἣν ἀντίληψιν ὁ πᾶς
